ΟΜΗΡΟΥ

ΟΔΥΣΣΕΙΑ

ΣΥΝ ΤΟΙΣ ΣΧΟΛΙΟΙΣ,

ΒΑΤΡΑΧΟΜΥΟΜΑΧΙΑ

ΥΜΝΟΙ

ΕΠΙΓΡΑΜΜΑΤΑ

ΛΕΙΨΑΝΑ.

ΤΜΗΜΑ ΠΡΩΤΟΝ.

ΕΝ ΟΞΩΝΙΑ,

ᾳψπϐ'.

ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΟΔΥΣΣΕΙΑΣ Α

ΤΟΥ ΟΜΗΡΟΥ

ΡΑΨΩΔΙΑΣ.

ΘΕΩΝ ἀγορὰ γίνεται περὶ τῆς Ὀδυσσέως εἰς Ἰθάκην πομφθῆναι ἀπὸ τῆς Καλυψοῦς νήσου· μετὰ δὲ ἡ Ἀθηνᾶ εἰς Ἰθάκην παραγίνεται πρὸς Τηλέμαχον, ὁμοιωθεῖσα Μέντῃ βασιλεῖ Ταφίων. γινομένης δὲ ὁμιλίας, παρακινήσασα ἡ Ἀθηνᾶ Τηλεμάχῳ, παρακελεύσεται αὐτῷ τοὺς τῆς πατρὸς ζητῆσαι, εἰς Πύλον μὲν, πρὸς Νέστορα, εἰς Σπάρτην δὲ, πρὸς Μενέλαον, ἀπιέναι, ἔμφασιν δοῦσα ὡς ζῶντος ἔτι. καὶ τὰ μνηστήρων γίνεται εὐωχία.

ΟΔΥΣΣΕΙΑΣ Α

ΤΟΥ ΟΜΗΡΟΥ

ΡΑΨΩΔΙΑΣ.

Ἄλφα, θεῶν ἀγορὴ, Ὀδυσῆϊ Παλλὰς Ἀθήνη.

ΑΝΔΡΑ μοι ἔννεπε Μοῦσα πολύτροπον, ὃς μάλα πολλὰ
Πλάγχθη, ἐπεὶ Τροίης ἱερὸν πτολίεθρον ἔπερσε·
Πολλῶν δ' ἀνθρώπων ἴδεν ἄστεα, καὶ νόον ἔγνω·
Πολλὰ δ' ὅγ' ἐν πόντῳ πάθεν ἄλγεα ὃν κατὰ θυμὸν,
Ἀρνύμενος ἥν τε ψυχὴν καὶ νόστον ἑταίρων· 5

1 ΑΝΔΡΑ. Νῦν τὸ φύσ. ἀ γδ ἰυρίσκει) δύο ἐπίθετα ἄνδρ. κυρίᾳ ἢ συσπειρικῶν. δηλοῖ δὲ καὶ τὸ ἀνδρεῖον ἀνδρὸς ἀκριτίσαντο, καὶ τὸ ἀνδρὸς ἡλικίαν ἔχοντα. ὡς πρὸ νεῶν γε μετ' ἀνδρῶν ἴζῃ ἀριθμῷ, καὶ τὸ γήμαντα, ἄνδρα μὲ ὦ ἔδοσάν μοι πατὴρ καὶ πότνια μήτηρ. Ἐ τὸ φύσ, ἄνδρις κίκλησκον, καὶ διζανοί τε γυναῖκες. ΕΝ. Εἰπέ. ΠΟΛ. Ἐπὶ πολλὰ πείσαντα τὴν Ἀθήναιαν, σωτῆρα, ἢ πολλῶν ἤμπειρον πόνων.

2 ΠΛΑ. Ἐπλανήθη. ΕΠ. Αὐτὸ ἀφ' ἑαυτῷ τὸν Τροίαν. ΙΕ. Διὰ τὸ πιπαχῆσθαι ὑπὸ θεῶν, ἢ ἀπὸ τῶν θεὸς τὸν Δία εὐσέβειαν. ΕΠ. Ἐπέρθησεν.

3 ΑΣΤ. Πόλεις.

4 ΑΛΓ. Ἐπεῦται πικτέον, εἶτα ὃν κατὰ θυμὸν ἀρνύμενον, τὸ ἀφ' ἑαυτῷ σωζόμενον καὶ σώζων ἑαυτὸν, καὶ τὰς ἑπείρας, ἢ αὐτὸ ἀπὸ κακοπαθούμενον τῶν ἑαυτῷ ψυχῶν, καὶ τῶν ἀς τὸ οἶκον τιμωρίαν, ὑπὲρ τῶν ἑταίρων. οἷον αὐτὸς λοιδόσθαι θέλων, ἵνα σώσῃ τὰς ἑπείρας, ἀφλεκτέον ἐπὶ τῷ καὶ νόστον. ΠΟΝ. Θαλάσσῃ. ΟΝ. Κατὰ τὴν ἑαυτῶν ψυχήν.

5 ΑΡ. Ἀντικατακοσμεῖ. ΗΝ. Τὸν ἑαυτῶν νόστον ὃν φησὶν, τῶν ἴσως δὲ ἐπάνοδον.

Ἀλλ' ὅδ' ὡς ἑτάρους ἐρρύσατο ἰέμενός περ·
Αὐτῶν γὰρ σφετέρῃσιν ἀταθαλίῃσιν ὄλοντο·
Νήπιοι, οἳ κατὰ βοῦς Ὑπερίονος ἠελίοιο
Ἤσθιον· αὐτὰρ ὁ τοῖσιν ἀφείλετο νόστιμον ἦμαρ.
Τῶν ἀμόθεν γε, θεὰ, θύγατερ Διὸς, εἰπὲ καὶ ἡμῖν.
Ἔνθ' ἄλλοι μὲν πάντες ὅσοι φύγον αἰπὺν ὄλεθρον,
Οἶκοι ἔσαν, πόλεμόν τε πεφευγότες ἠδὲ θάλασσαν.
Τὸν δ' οἶον νόστου κεχρημένον ἠδὲ γυναικὸς,
Νύμφη πότνι' ἔρυκε Καλυψὼ δῖα θεάων
Ἐν σπέεσι γλαφυροῖσι, λιλαιομένη πόσιν εἶναι.
Ἀλλ' ὅτε δὴ ἔτος ἦλθε περιπλομένων ἐνιαυτῶν,
Τῷ οἱ ἐπεκλώσαντο θεοὶ οἶκόνδε νέεσθαι
Εἰς Ἰθάκην, ὅδ' ἔνθα περυγμένος ἦεν ἀέθλων,
Καὶ μιν οἵσι φίλοισι· θεοὶ δ' ἐλέαιρον ἅπαντες,
Νόσφι Ποσειδάωνος· ὁ δ' ἀσπερχὲς μενέαινεν

6 ΕΡ. Ἔσωσιν. ΙΕΜ. Καί περ σφῶν θυμέμενος.

7 ΣΦΕ. Ταῖς ἑαυτῶν. ΑΤ. Φρενοβλαβείαις. ΟΔ. Ἀπώλοντο.

8 ΝΗ. Ἄφρονες, ἀνόητοι. ΟΙ. Ἐμνήσθη τούτων ἐπεὶ οὐ πᾶσαι ἐρίστας ἀδικήσαντες, ἀπώλοντο. ΥΠ. Ἐπιθυμικῶς δ' ἠλίου. ἀπὸ δ' ὑπὲρ ἡμᾶς εἶναι. Ἡσίοδος δὲ Ὑπερίονος αὐτὸν ἐγγυαλόγησεν.

9 ΝΟΣ. Τῷ τῆς ἀνακυμιδὸς ἡμέρᾳ.

10 ΤΩΝ. Τῶν φεὶ τὸν Ὀδυσσέα, ὁπόθεν θέλεις πάλιν ἀπὸ που μέρους ἐξαμένη διηγᾶ ἡμῖν. ΑΜ. Πόθεν. ἐπὶ λέξις τοῦ Ἀπικῶν. ἢ ἀπό που μέρους, ὁπόθεν θέλεις. ΘΥ. Ἀντὶ τοῦ ὦ Μοῦσα. ΕΙ. Ὡς σὺ οἶδας, ἵνα καὶ ἡμεῖς γνῶμεν.

11 ΑΙ. Δεινὸν, χαλεπόν.

12 ΟΙ. Εἰς τὰ οἰκεῖα, ἐπὶ τῆς οἰκίας.

13 ΟΙ. Μόνον, ὀπεῖον. ΝΟΣ. Τῆς οἴκαδε ἐπανόδου, ἢ ἡ γυναικὸς, οἰκείως σεσιγήκει ἵνα καὶ φρονήσῃ καὶ ἧς ἐρᾷσης.

14 ΠΟΤ. Σιμιὴ, ἔντιμον, σιωπαμία. ΕΡ. Κατῆχεν, σκάλυνεν. ΚΑ. Ἄτλαντος θυγάτηρ. ΔΙΑ. Ἐνδεξιάτη.

15 ΣΠΕ. Σπηλαίοις. ΓΛΑ. Κοίλοις, βαθέσιν. ΑΙ. Ἐπιθυμοῦσα. ΠΟ. Ἄνδρα.

16 ΠΕΡ. Περιερχομένων, πλειουμένων.

17 ΤΩ. Ἐν ᾧ αὐτῷ. ΕΠΕ. Εἱμαρμένον χθονὸς ἐπέβησαν.

18 ΕΝ. Τότε, χρονικὸν ἐπίρρημα καὶ τόπου. ΠΕ. Διαπεφυγώς. ΑΕΘ. Κακοπαθειῶν.

19 ΟΙ. Τοῖς ἑαυτοῦ. ΕΛ. Ἡλίου.

20 ΝΟΣ. Χωρὶς. ΟΔ. Οὕτω δ' ὅλως. ΜΕΝ. Ἐχολᾶτο, ὠργίζετο.

Ἀτιθέω

Ἀντιθέῳ Ὀδυσῆι, πάρος ἣν γαῖαν ἱκέσθαι.
Ἀλλ' ὁ μὲν Αἰθίοπας μετεκίαθε τηλόθ' ἐόντας,
(Αἰθίοπας, τοὶ δίχθα δεδαίαται, ἔσχατοι ἀνδρῶν,
Οἱ μὲν δυσομένου ὑπερίονος, οἱ δ' ἀνιόντος,)
Ἀντιόων ταύρων τε καὶ ἀρνειῶν ἑκατόμβης.
Ἔνθ' ὅγε τέρπετο δαιτὶ παρήμενος· οἱ δὲ δὴ ἄλλοι
Ζηνὸς ἐνὶ μεγάροισιν Ὀλυμπίου ἀθρόοι ἦσαν.
Τοῖσι δὲ μύθων ἦρχε πατὴρ ἀνδρῶν τε θεῶν τε·
Μνήσατο γὰρ κατὰ θυμὸν ἀμύμονος Αἰγίσθοιο,
Τόν ῥ' Ἀγαμεμνονίδης τηλεκλυτὸς ἔκτανεν Ὀρέστης·
Τῆ ὅγ' ἐπιμνησθεὶς, ἔπε' ἀθανάτοισι μετηύδα·
"Ὢ πόποι, οἷον δή νυ θεὸς βροτοὶ αἰτιόωνται·
"Ἐξ ἡμέων γάρ φασι κάκ' ἔμμεναι, οἳ δὲ καὶ αὐτοὶ
"Σφῆσιν ἀτασθαλίῃσιν ὑπὲρ μόρον ἄλγε' ἔχουσιν.
"Ὡς καὶ νῦν Αἴγισθος ὑπὲρ μόρον Ἀτρεΐδαο

21 ΑΝ. Ἰσθίῳ καὶ ἀριστῷ. ΠΑ. Πελὶν, πρότερον.

22 ΜΕ. Μετῆλθεν. ΤΗΛ. Μακρὰν οἰκοῦντας.

23 ΔΙΧ. Διχῶς, εἰς δύο. ΔΕΔ. Νενεμημένοι, μεμερισμένοι εἰσίν. οἱ μὲν γὰρ αὐτῶν ἐπ' ἀνατολὰς εἰσιν, οἱ δὲ ἐπὶ δυσμάς. πρὸς ἣν δὲ νέαν κίζεσθαι αὐτὰς λέγουσιν.

24 ΔΥΣ. Τῇ μὲν δύσιν ἡλίου. βάλλεται δὲ ἐπὶν τὰς Αἰθίοπας, τὰς μὲν δύσιν ὁρᾷς. ΑΝ. Ἀνατέλλοντος. τὰς ἀνατολικὰς δηλοῖ.

25 ΑΝ. Μεταληψόμενος. ΕΚΑ. Μεγάλης θυσίας.

26 ΔΑΙ. Εὐωχίᾳ. ΠΑΡ. Παρὼν, μετεχόντων.

27 ΟΔ. Τῇ τ' Ὀλύμπου οἰκοῦντος. ΑΘΡ. Ὁμοῦ.

28 ΤΟΙ. Ἐν τούτοις δὲ τοῖς θεοῖς. ΜΥ. Λόγων. ΗΡ. Προκαθήρχετο. ΠΑ. Ὁ Ζεύς.

29 ΜΝΗ. Ὑπεμνήσθη. ΑΙ. Ἦτοι καλῶς μὲν μοιχεύσας, ἢ δὲ κτείνας γλυκὺ ἀκαθὲς.

30 ΤΟΝ. Οὕτινα δή. ΤΗ. Οὐ πρόρρησιν δίξας διέρχεται.

31 ΜΕΤ. Ἐν αὐτοῖς εἶπεν.

32 Ω. Ὦ πάπαι. ἴσι δὲ ἐπίρρημα χειλικισμοῦ δηλωτικόν. ΑΙ. Αἰσχύνεται.

33 ΕΞ. Ἐξ ἡμῶν. ΦΑ. Λέγουσι. ΟΙ. Τὸ ἐξῆς· οἱ δὲ καὶ αὐτοὶ σφῆσιν ἀτασθαλίαις, ὅ ἐστι ταῖς ἑαυτῶν εὐ ἴσῳ τῷ αὐτοὶ αἴτιοί εἰσιν. οἱ δὲ περισσὸν τὸ καὶ σύνδεσμον. ἢ τάχιον οἱ δέ.

34 ΑΤ. Ἀτασθαλίαις, ἁμαρτίαις. ΥΠ. Ὑπὲρ τὸ πεπρωμένον.

" Γῆμ' ἄλοχον μνησῆν, ἣ δ' ἔκτανε νοσήσαντα,
" Εἰδὼς αἰπὺν ὄλεθρον, ἐπεὶ πρό οἱ εἴπομεν ἡμεῖς,
" Ἑρμείαν πέμψαντες εὔσκοπον Ἀργειφόντην,
" Μήτ' αὐτὸν κτείνειν, μήτε μνάασθ' ἄκοιτιν.
" Ἐκ γὰρ Ὀρέσταο τίσις ἔσται Ἀτρείδαο,
" Ὁππότ' ἂν ἡβήσῃ τε καὶ ἧς ἱμείρεται ἄκης.
" Ὣς ἔφαθ' Ἑρμείας· ἀλλ' οὐ φρένας Αἰγίσθοιο
" Πεῖθ' ἀγαθὰ φρονέων· νῦν δ' ἀθρόα πάντ' ἀπέτισε.
Τὸν δ' ἡμείβετ' ἔπειτα θεὰ γλαυκῶπις Ἀθήνη·
" Ὦ πάτερ ἡμέτερε Κρονίδη, ὕπατε κρειόντων,
" Καὶ λίην κεῖνός γε ἐοικότι κεῖται ὀλέθρῳ·
" Ὣς ἀπόλοιτο καὶ ἄλλος ὅτις τοιαῦτά γε ῥέζοι.
" Ἀλλά μοι ἀμφ' Ὀδυσῆι δαΐφρονι δαίεται ἦτορ
" Δυσμόρῳ, ὃς δὴ δηθὰ φίλων ἄπο πήματα πάσχει,
" Νήσῳ ἐν ἀμφιρύτῃ, ὅθι τ' ὀμφαλός ἐστι θαλάσσης,

36 ΓΗ. Ἔγημεν. ΑΛ. Γαμετὴν. ΜΝΗ. Τὴν ἐκ μνηστείας γαμαμένην γυναῖκα. ΝΟΣ. Ὑποβάψαντα, ἐπιτηλήσαντα.

37 ΕΙ. Ἐπιστάμενον. ΠΡΟ. Προεἰπομεν αὐτῷ.

38 ΑΡ. Τὸν ἀρχὸν φόνου ἢ ἀρνητικόν. ἢ τὸ φονεύσαντα Ἄργον, τὸ πολυόμματον κῦνα, ὃς ἐφύλαττε τὴν Ἰώ.

39 ΚΤΕΙ. Ἀντὶ τοῦ ἀπολεῖν, φονεῦσαι. ΜΝΑ. Μνηστεύσεσθαι.

40 ΤΙ. Ἀντὶ τῆς ἐκδικήσεως, τιμωρίας, κόλασις. ΕΣ. Γενήσεται. ΑΤ. Μετὰ τοῦτο ὑποστατέον, ἢ τότε Ἀτρείδου Ἀγαμέμνονος ἢ Ὀρέστου.

41 ΗΒΗ. Ἀκμαίᾳ. ΙΜ. Ἐπιθυμεῖ.

42 ΑΛΛ. Καὶ τότε δηλονότι δύο ἐκεῖ ἡκασιν αἱ σὺν ἁρμονίαι. αἱ ἐξ ἧς ἥκασιν ἢ θέλει.

43 ΑΘ. Ὁμοῦ πάντα. ΑΠ. Ἀπόδωκεν.

45 ΥΠ. Ἐνδοξότατε, ὑπερίσχυε. ΚΡΕΙ. Βασιλέων, ἀρχόντων.

46 ΑΙ. Πάντ' ἂν εἴη. ΕΟΙ. Ὁμοίως. ΟΛ. Θανάτῳ.

47 ΩΣ. Ἐμφανίσει τὰς μνηστῆρας. ΡΕ. Ἐπιτιλοίη, πυρὶ τὸ αἷμα πάντων.

48 ΔΑΙ. Πολυμόφρονι. δαΐς γὰρ ἡ μάχη. ὅταν δὲ ἐπὶ τῆ Πηνελόπης λίγῃ δολοκακίᾳ καταφρόνας, τυτίσι μεμφθῇ, ἐξ ἧς τοῦ σωτῆρος καὶ σώφρονα βούλεται δηλῶν. ΔΑΙ. Διακόπτει. Τὸ γὰρ καίτοι ἐρώσης.

49 ΔΥΣ. Κακομόρῳ. ΔΗ. Πολλά. ΑΠ. Πορρω τῶν φίλων.

50 ΑΜ. Τῇ κύκλῳ τῇ ὑπὸ θαλάσσης περιρρεομένῃ. ΟΘ. Ἀντὶ τοῦ ὅπου. ΘΑ. Μέση τῆς περὶ αὐτὴν θαλάσσης. ΟΜΦ. Τὸ μεσοπέλαγον.

" Νῆσος

" Νῆσος δενδρήεσσα· θεὰ δ' ἐν δώμασι ναίε
" Ἄτλαντος θυγάτηρ ὀλοόφρονος, ὅς τε θαλάσσης
" Πάσης βένθεα οἶδεν, ἔχει δέ τε κίονας αὐτὸς
" Μακρὰς, αἳ γαῖαν τε καὶ οὐρανὸν ἀμφὶς ἔχουσι·
" Τοῦ θυγάτηρ δύστηνον ὀδυρόμενον κατερύκει·
" Αἰεὶ δὲ μαλακοῖσι καὶ αἱμυλίοισι λόγοισι
" Θέλγει, ὅπως Ἰθάκης ἐπιλήσεται. αὐτὰρ Ὀδυσεὺς
" Ἱέμενος καὶ καπνὸν ἀποθρώσκοντα νοῆσαι
" Ἧς γαίης, θανέειν ἱμείρεται. οὐδέ νυ σοί περ
" Ἐντρέπεται φίλον ἦτορ Ὀλύμπιε. ἠ νύ τ' Ὀδυσεὺς
" Ἀργείων παρὰ νηυσὶ χαρίζετο ἱερὰ ῥέζων
" Τροίῃ ἐν εὐρείῃ; τί νύ οἱ τόσον ὠδύσαο Ζεῦ;
Τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
" Τέκνον ἐμὸν, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων;
" Πῶς ἂν ἔπειτ' Ὀδυσῆος ἐγὼ θείοιο λαθοίμην;
" Ὃς πέρι μὲν νόον ἐστὶ βροτῶν, πέρι δ' ἱερὰ θεοῖσιν
" Ἀθανάτοισιν ἔδωκε τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν;

51 ΝΑΙ. Οἰκῶ.

52 ΟΔ. Ὀλυμπίου. ἐπὰ πολίμιοι τοῖς θεοῖς. οἱ δὲ, τὸ ἐξῆς θαλάσσης. οἱ δὲ ἰδιάσαντες, ἵνα ᾖ, ὃς τὰ ὅλων φρονεῖ τὰ θ. αὐτὸς γὰρ ὁ Ἄτλας τὸν κόσμον βαστάζων παραδίδοται. ἢ ἐγίγραπται καὶ τῶν ἀρχαίων γεγραφὼς ὀλοόφρον, ἅτε τὸς μὴ νοήσας σωσίπολις τὸ ο σ.

53 ΒΕΝ. Βαθη. ΕΧ. Νεῶν ἐπιμιλᾶται· ὡς κἀκεῖ, καί μοι κῆπον ἔχει πολυδένδριον. ἢ κρατεῖ καὶ βασιλεύει. ΚΙ. Στύλας.

54 ΕΧ. Διέργουσιν.

55 ΤΟΥ. Τύτυ. ΔΥΣ. Ἄβλιον. ΟΔ. Ἀποκλαιόμενον.

56 ΑΙ. Παραλογισμοῖς ἢ ἐυνοίκοις, καὶ οἷον συγγενικοῖς τοῖς μετ' ἐμπειρίας σωτικοῖς καὶ σωσιλοίσιν.

57 ΘΕΑ. Ἀπατᾷ. ΕΠΙ. Ἐπιλάθηται, ἀμνημονήσῃ.

59 ΓΑΙ. Ἐπαῦξω σικτίον. τὸ γὰρ ὅλον, ὁ σώτειρον ἐπιθυμῶν κρατὸν τῆς πατρίδος ἰδεῖν νῶι ἐύχεται ἀλλὰ τὰ κρείττονα πιλάτησιν.

60 ΕΝ. Μείζατερπὲς λαμπάδι. ΟΥ. Ἐκεῖνο μὲ τὰ περ αὐτὸ ἐπιθύων. σὺ δὲ κιχαρισμένος ἐλαμπάδιος.

61 ΡΕ. Θύων, πρέπων.

62 ΕΥ. Πλατεῖα. ΤΙ. Διακὴ δὲ αὐτῷ. ΩΔ. Ἐχολώθης, ἀργίσθης.

66 ΠΕ. Ἀντὶ δὲ, ὡδὲ ἐστὶ ἀπάντων καὶ σωσίσι, ἐ ἐυσεβέσι.

" Ἀλλὰ

" Ἀλλὰ Ποσειδάων γαιήοχος ἀσκελὲς αἰὲν
" Κύκλωπος κεχόλωϑ', ὃν ὀφθαλμοῦ ἀλάωσεν,
" Ἀντίθεον Πολύφημον, ὃν κράτος ἐστὶ μέγιστον
" Πᾶσι Κυκλώπεσσι· Θόωσα δέ μιν τέκε νύμφη,
" Φόρκυνος ϑυγάτηρ ἁλὸς ἀτρυγέτοιο μέδοντος,
" Ἐν σπέεσι γλαφυροῖσι Ποσειδάωνι μιγεῖσα.
" Ἐκ δὴ Ὀδυσῆα Ποσειδάων ἐνοσίχθων
" Οὔτι κατακτείνει, πλάζει δ' ἀπὸ πατρίδος αἴης.
" Ἀλλ' ἄγεϑ', ἡμεῖς ὅσδε φρασώμεϑα πάντες
" Νόστον, ὅπως ἔλθῃσι· Ποσειδάων δὲ μεθήσει
" Ὃν χόλον· ὃ μὲν γάρ τι δυνήσεται ἀντία πάντων,
" Ἀθανάτων ἀέκητι ϑεῶν, ἐριδαινέμεν οἷος.
Τὸν δ' ἠμείβετ' ἔπειτα ϑεὰ γλαυκῶπις Ἀθήνη·
" Ὦ πάτερ ἡμέτερε Κρονίδη, ὕπατε κρειόντων,
" Εἰ μὲν δὴ νῦν τοῦτο φίλον μακάρεσσι ϑεοῖσι,
" Νοστῆσαι Ὀδυσῆα δαΐφρονα ὄνδε δόμονδε,
" Ἑρμείαν μὲν ἔπειτα διάκτορον Ἀργειφόντην

68 ΓΑΙ. Ὁ τὴν γῆν ἔχων, ἢ ὑπὸ τὴν γῆν ἐχόμενος. ΑΣ. Ἀμετακινήτως. καὶ στερρῶς τὴν σκιλῶν, ἢ ἀδιαλείπτως καὶ ἄκαιρον σφοδρῶς. ΑΙ. Αἰεὶ καὶ διαπεπτωκότος.

69 ΚΕ. Ὥρμησεν. ΑΛ. Ἐτύφλωσεν.

70 ΑΝ. Νῦν τὸν ἐναπειλήσαντα τοῖς ϑεοῖς, τὸν ἀσεβῆ. ΟΟΥ. Οὔτινα. ΕΣ. Ὑπῆρχεν.

71 ΘΟ. Μήτης Πολυφήμου Κύκλωπος κυρίως ὄντως λεγομένη.

72 ΦΟΡ. Ἐνάλιος δὲ ϑεὸς ὁ Φόρκυς. ΜΕ. Βασιλεύοντα. σωφρόνως γὰρ τοὺς ὑπάρχας βασιλεῖς ἔλεγον. ἢ σωκαπλίου μίδοντος τὸν ἀσίαν, ὅτι τὸν ἀπηλαίους διὰ Ποσειδῶνα χρυσηϑῆναι τὸν Κύκλωπα.

73 ΜΙ. Κοινωνήσασα.

74 ΕΚ. Ἐκ πάντης δὴ τῆς αὐτίας. ΕΝ. Ὁ τὴν γῆν κινῶν. ἔνοσις γὰρ ἡ κίνησις.

75 ΚΑ. Ἀναιρεῖ. ΠΛΑ. Πλανᾶσθαι ποιεῖ. ΑΠΟ. Πόρρω.

76 ΠΕ. Βλαδυσώμεϑα.

77 ΝΟΣ. Τὴν ἐπάνοδον. ΜΕ. Ἐάσῃ, παύσῃ.

78 ΑΝ. Ἀντικρύ.

79 ΑΕ. Ἀκουσίαν γνώμην. ΕΡΙ. Φιλονεικῶν.

82 ΦΙ. Προσφιλὴς, ἀρεστός.

83 ΝΟΣ. Ἐπανελθεῖν. ΟΝ. Εἰς τὴν ἑαυτῶν οἴκην.

84 ΔΙ. Ἀγιλὸν σαφῆ.

" Νῆσον

" Νῆσον ἐς Ὠγυγίην ὀτρύνομεν, ὄφρα τάχιστα
" Νύμφῃ εὐπλοκάμῳ ἔπῃ νημερτέα βάλλω,
" Νόστον Ὀδυσσῆος ταλασίφρονος, ὥς κε νέηται·
" Αὐτὰρ ἐγὼν Ἰθάκηνδ' ἐσελεύσομαι, ὄφρά οἱ υἱὸν
" Μᾶλλον ἐποτρύνω, καί οἱ μῦθος ἐν φρεσὶ θείω,
" Εἰς ἀγορὴν καλέσαντα καρηκομόωντας Ἀχαιούς,
" Πᾶσι μνηστήρεσσιν ἀπειπέμεν, οἵτε οἱ αἰεὶ
" Μῆλ' ἀδινὰ σφάζουσι, καὶ εἰλίποδας ἕλικας βοῦς.
" Πέμψω δ' ἐς Σπάρτην τε καὶ ἐς Πύλον ἠμαθόεντα,
" Νόστον πευσόμενον πατρὸς φίλου, ἤν πού ἀκούσῃ,
" Ἠδ' ἵνα μιν κλέος ἐσθλὸν ἐν ἀνθρώποισιν ἔχῃσιν.

Ὣς εἰπὼν, ὑπὸ ποσσὶν ἐδήσατο καλὰ πέδιλα,
Ἀμβρόσια, χρύσεια, τά μιν φέρον ἠμὲν ἐφ' ὑγρὴν,
Ἠδ' ἐπ' ἀπείρονα γαῖαν ἅμα πνοιῇς ἀνέμοιο·
Εἵλετο δ' ἄλκιμον ἔγχος, ἀκαχμένον ὀξέϊ χαλκῷ,
Βεβλῆ, μέγα, στιβαρὸν, τῷ δάμνησι σίχας ἀνδρῶν
Ἡρώων, τοῖσίν τε κοτέσσεται ὀβριμοπάτρη·
Βῆ δὲ κατ' Οὐλύμποιο καρήνων αἰζησὶ·
Στῆ δ' Ἰθάκης ἐνὶ δήμῳ, ὑπὶ προθύροις Ὀδυσῆος,

85 ΩΓ. Ἡ Καλυψὼ νῆσΦ. ΟΤ. Παρορμήσωμεν, ἐπιξώμεν.
86 ΕΥ. Εὐκόμῳ, ἀπὸ μίσης καλῆ.
87 ΤΑ. Τῇ ἑαυτῆ φρονήσῃ πάντα ἀσυμίνουΘ. ΝΕ. Ἐπανέλθῃ.
89 ΕΠ. Παρορμήσω.
90 ΑΧ. Τὰς Ἰθακησίας.
91 ΑΠ. Ἀπαγορεῦσαι. ΟΙ. Οἱ πῆες αὐτῇ.
92 ΑΔ. Ἤτοι λιπὰ ἀΘὴς σύγκρισιν τῆ βοῶν, ἢ ἀπὸ δ ἀδίτως, ἵνα ἢ πυκνῶς καὶ στιβαρῶς. ΕΛ. Ἑλικηδὸν κέρατα ἔχοντας.
93 ΗΜ. Ἀμμάδη.
94 ΠΕΥ. Ἀκουσόμενος. ΗΝ. Ἐάν που.
97 ΑΜ. Τίμια. ΤΑ. Ἄπιρ αὐτήν.
98 ΑΠ. Τὴν πέρας καὶ τέλΘ μὴ ἔχουσαν. λέγει ἢ τὴν γῆν. ΑΜ. Ἴσα ἀτέμῳ.
99 ΕΙ. ἈθεΘοῦντι μὴ ἀστείσκων. ὅπ ἐν τῇ τ ἸλιάδΘ καλῶς. ΑΚ. Ἐσταμωμένον.
101 ΚΟ. Ὀργισθήσεται. ΟΒ. Γυναῖκα.
102 ΒΗ. Ἔδη, ἐπεμύθη.
103 ΔΗ. Τόπῳ ἐν Ἰθάκῃ, ὅπΒ ἦν τὸ Ὀδυσσέως βασίλειον.

Οὐδὲ ἐπ' αὐλείῃ· παλάμῃ δ' ἔχε χάλκεον ἔγχος,
Εἰσομένη ξείνῳ Ταφίων ἡγήτορι Μέντῃ.
Εὗρε δ' ἄρα μνηστῆρας ἀγήνορας· οἱ μὲν ἔπειτα
Πεσσοῖσι προπάροιθε θυράων θυμὸν ἔτερπον,
Ἥμενοι ἐν ῥινοῖσι βοῶν ἃς ἔκτανον αὐτοί.
Κήρυκες δ' αὐτοῖσι καὶ ὀτρηροὶ θεράποντες,
Οἱ μὲν ἄρ' οἶνον ἔμισγον ἐνὶ κρητῆρσι καὶ ὕδωρ,
Οἱ δ' αὖτε σπόγγοισι πολυτρήτοισι τραπέζας
Νίζον, καὶ προτίθεντο, ἰδὲ κρέα πολλὰ δατεῦντο.
Τῶν δὴ πολὺ πρῶτος ἴδε Τηλέμαχος θεοειδὴς·
Ἧστο γὰρ ἐν μνηστῆρσι φίλον τεθυμένος ἦτορ,
Ὀσσόμενος πατέρ' ἐσθλὸν ἐνὶ φρεσὶν, εἴ ποθεν ἐλθὼν
Μνηστήρων τ' μὲν σκέδασιν κατὰ δώματα θείη,
Τιμὴν δ' αὐτὸς ἔχοι, καὶ κτήμασιν οἷσιν ἀνάσσοι.
Τὰ φρονέων, μνηστῆρσι μεθημένος, εἶσιδ' Ἀθήνην·
Ἦ δ' ἰθὺς προθύροιο, νεμεσσήθη δ' ἐνὶ θυμῷ
Ξεῖνον δηθὰ θύρῃσιν ἐφεστάμεν· ἐγγύθι δὲ σεῖο

104 ΟΥ. Βαθμῷ, φλιᾶς. ΠΑ. Τῇ χειρί.

105 ΤΑ. Τάφῳ ἡ νήσῳ τ' Ἐχινάδων, ἣν κατοίκουν Τηλεβόαι.

106 ΑΓ. Ἄγαν αὐθάδεις, ὑβριστάς.

107 ΠΕΣ. Τοῖς κύβοις, ἀπὸ δὲ τῶ παίζειν ἐχρημάτησαι, ἢ παρὰ τὸ πίπτειν. πτωτοὶ γὰρ οἱ ψῆφοι. ΠΡΟ. Ἐμπεσοῦσιν.

108 ΗΜ. Διὰ τέτο τὸ βίαιον ἐμφαίνῃ τῶν μνηστήρων τὸ τὰς βύρσας ὑποστρωννύειν τοῖς θρόνοις καθημένοις. ΓΙ. Βύρσαις. ΕΚ. Ἀνεῖλον.

109 ΟΤ. Δρασικοί.

111 ΠΟ. Παυσαχόθην πεπεδημένοις.

112 ΝΙ. Ἀπέπαυσον. ΙΔΕ. Αὐτὸ δὲ καὶ. ΠΡΟ. Προετίθεσαν. ΔΑ. Ἐμίελζον.

114 ΤΕ. Τεθυμωρημένῳ τῷ ψυχῷ.

115 ΟΣ. Ἀνειδωλοποιήμῳ, προσδεκῶν, ἢ τοῖς ὀφθαλμοῖς ὑποδεδειγμένον.

116 ΣΚΕ. Σκηπτισμὸν, φυγήν. ΘΕΙ. Ποινοῦ.

117 ΚΤΗ. Δώμασι. ΑΝ. Βασιλεύοι.

118 ΤΑ. Ταῦτα ἀνθυμεῖται. ΜΕ. Σωῒ αὐτοῖς καθημένῳ.

119 ΙΘ. Ἐπ' εὐθείας ὡς ἐπὶ τὸ πρόθυρον ὁρᾷ ἐνδον, ἀλλὰ πρὸς τῷ ἐν τῇ τυκτῷ καλαμίτῃ ὀπῇ. ΝΕ. Μεμπτὸν ἡγήσατο.

Χεῖρ᾽ ἕλε δεξιτερὴν, καὶ ἐδέξατο χάλκεον ἔγχος,
Καί μιν φωνήσας ἔπτερα πτερόεντα προσηύδα·
" Χαῖρε ξεῖνε· πάρ᾽ ἄμμι φίλησεαι, αὐτὰρ ἔπειτα
" Δείπνα πασάμενος μυθήσεαι ὅττεό σε χρή.
Ὣς εἰπὼν ἡγεῖθ᾽, ἡ δ᾽ ἕσπετο Παλλὰς Ἀθήνη·
Οἱ δ᾽ ὅτε δὴ ῥ᾽ ἔντοσθεν ἔσαν δόμου ὑψηλοῖο,
Ἔγχος μὲν ῥ᾽ ἔστησε φέρων πρὸς κίονα μακρὴν,
Δουροδόκης ἔντοσθεν ἐϋξέστης, ἔνθά περ ἄλλα
Ἔγχε᾽ Ὀδυσσῆος πελασίφρονος ἵστατο πολλά.
Αὐτίκα δ᾽ ἐς θρόνον εἶσεν ἄγων, ὑπὸ λῖτα πετάσας
Καλὸν, δαιδάλεον, ὑπὸ δὲ θρῆνυς ποσὶν ἦεν.
Πὰρ δ᾽ αὐτὸς κλισμὸν ἕτο ποικίλον, ἔκτοθεν ἄλλων
Μνηστήρων, μὴ ξεῖνος ἀνιηθεὶς ὁρυμαγδῷ,
Δείπνῳ ἀδήσειεν, ὑπερφιάλοισι μετελθών,
Ἠδ᾽ ἵνα μιν ποθὲι πατρὸς λοπιχομένοιο ἔροιτο.
Χέρνιβα δ᾽ ἀμφίπολος προχόῳ ἐπέχευε φέρουσα
Καλῇ, χρυσείῃ, ὑπὲρ ἀργυρέοιο λέβητος,

123 ΦΙ. Φιλοφρονηθήσῃ, ξενισθήσῃ.
124 ΔΕΙ. Τῷ κῦ τὴν ἡμέραν ἀρίστα. ΜΥ. Εἰς λόγους ἥξεις ἢ λίξεις. ΟΤ. Εἰ πινές σι χρέαι εἰσί.
127 ΚΙ. Στύλον.
128 ΔΟΥ. Δορυδοκήσῃ. νοητέον ἢ ἀπεξύσθαι τὰς κίονας, κῦ ὑπτιοῦσθαι ἀποτίθεσθαι τὰ δόρατα. ΕΝ. Ἔστιθεν. ΕΥ. Καλῶς ἐξεσμένης.
130 ΛΙ. Λιπαρὸν ἀφεψιλαιον. ΠΕΤ. Ἁπλώσας.
131 ΔΑΙ. Ποικίλον. ΘΡΗ. Ὑποπόδιον.
132 ΚΑΙ. Δίφρον, ἀνάκλιτον ἔχοντα κανδίδρων. ΘΕ. Ἀπήνην. ΕΚ. Χωρὶς, ἰδίᾳ, ἐξωθεν.
133 ΑΝ. Λυπηθέις. ΟΡ. Κυρίως μὲ τῷ ὑπὸ ὀρῇ ψόφῳ. ἴσι γὰρ κῦ τὸ ἴτυμον ὁρομαγδῷ, νῦν ἢ ἀντὶ τῦ θορύβου.
134 ΑΔ. Ἀηδὼς ἀχθηδόνι. ΥΠ. Ὑπερηφάνοις, ὑπερπαύδοις. ΜΕ. Συνειλῶν.
135 ΑΠ. Ἀποίτο, ἀποδημοῦντος. ΕΡ. Ἐρωτήσειε, πύθοιτο.
136 ΧΕΡ. Τὰ ἐπὶ τῶν χειρῶν ὕδωρ. ΑΜ. Θεράπαινα, ἀπὸ τῦ ἐφ᾽ τῷ δέσποινα πολεῖσθαι, ὅπερ ἐστὶν ἀνακρίφιος. ΠΡΟ. Ἀγγεῖον εὐσχυτικῶ. ἀπὸ τῦ χέειν τὸ ὑδωρ, τῦ καθ᾽ ἡμᾶς ξίσῃ. ΕΠ. Ἐπίσαλον.
137 ΑΕ. Τῷ καθ᾽ ἁμᾶς χερνίβα.

Νίψαντ'· παρὰ δὲ ξεστὴν ἐτάνυσσε τράπεζαν.
Σῖτον δ' αἰδοίη ταμίη παρέθηκε φέρουσα,
Εἴδατα πολλ' ἐπιθεῖσα, χαριζομένη παρεόντων.
Δαιτρὸς δὲ κρειῶν πίνακας παρέθηκεν ἀείρας
Παντοίων, παρὰ δέ σφι τίθη χρύσεια κύπελλα.
Κήρυξ δ' αὐτοῖσι θαμὰ ἐπώχετο οἰνοχοεύων.
Ες δ' ἦλθον μνηστῆρες ἀγήνορες· οἱ μὲν ἔπειτα
Ἑξείης ἕζοντο κατὰ κλισμούς τε θρόνους τε·
Τοῖσι δὲ κήρυκες μὲν ὕδωρ ἐπὶ χεῖρας ἔχυσαν,
Σῖτον δὲ δμωαὶ παρενήνεον ἐν κανέοισιν,
Οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
Κῆροι δὲ κρητῆρας ἐπεξέψαυλο τοῖοῖο.
Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἔντο
Μνηστῆρες, τοῖσιν μὲν ἐνὶ φρεσὶν ἄλλα μεμήλει,
Μολπή τ' ὀρχηστύς τε· (τὰ γάρ τ' ἀναθήματα δαιτός.)
Κήρυξ δ' ἐν χερσὶ κίθαριν εὐηκαλλέα θῆκε
Φημίῳ, ὅς ῥ' ἤειδε παρὰ μνηστῆρσιν ἀνάγκῃ.

138 ΞΕ. Τῷ καλῶς ἐξισμένην, ἢ κατασκευασμένην. ΕΤ. Ἐξίτεινε, παρέθηκε.

139 ΑΙ. Αἰδοῦς ἀξία, τιμία. ΤΑ. Ταμιεύουσα, φύλαξ.

140 ΕΙ. Βρώματα, ἐδίσματα. ΧΑ. Ἐκ τῶν παρόντων ἐπιδιδοῦσα.

141 ΔΑΙ. Μάγειρος, ὁ ἁρμόζων τὰ κρέα.

142 ΠΑ. Παρ' αὐτοῖς δέ.

143 ΘΑ. Τὸ ἁρμόδιον τῷ κήρυκος δηλοῖ. ΘΑ. Πυκνῶς, σωρηδόν. ΕΠ. Ἐπορεύετο. ΟΙ. Οἰνοχοῶν, χειρῶν.

144 ΑΓ. Ἄχαν αὐχμώδεις.

145 ΕΖ. Ἐκαθέζοντο. ΚΛΙ. Δίφρους, καθέδρας.

146 ΕΧ. Ἐπέσχλον.

147 ΠΑΡ. Παρεσώρευον, ἐκ τούτου δὲ τὸ πλῆθος τῶν ἐδισμάτων ἐμφαίνει. ΚΑΝ. Κανισκίοις.

148 ΟΝ. Τὰ ὄνησιν ἐμποιοῦντα ἐδίσματα. ΙΑΛ. Ἐδίδοσαν, ἐξίτεινον.

150 ΑΥ. Ἐπειδὴ δέ. ΠΟ Βρώσεως. ΕΞ. Ἐπλήρωσαν τὴν ἐπιθυμίαν.

151 ΤΟΙ. Πιθανῶς ἵνα ὁ Τηλέμαχος καιρὸν σχῇ. ΜΕ. Ἔμελλεν.

152 ΜΟΛ. Ἡ μετ' ᾠδῆς παιδιά. ἡ ᾠδή. ΟΡ. Ὄρχησις. ΑΝ. Τῆς εὐωχίας τὸ κόσμημα. ἡ μεταφορὰ ἀπὸ τῶν τοῖς θεοῖς ἀναθημένων.

153 ΚΙ. Κιθάραν. ΠΕΡ. Ἄχαν ἐκπεπτωκώς.

154 ΟΣ. Προαπεφώνησε ἵνα ὁ Φήμιος σωθῇ ἐν τῇ μνηστηροφονίᾳ. ΗΕΙ. Ἥδιν.

Ἧτοι

Ἦτοι ὁ Φορμίζων ἀνεβάλλετο καλὸν ἀείδειν
Αὐτὰρ Τηλέμαχος πρὸς Φ γλαυκῶπιν Ἀθήνην,
Ἄγχι σχὼν κεφαλήν, ἵνα μὴ πρὸς πάντα ἀΐοιαθ' οἱ ἄλλοι,
" Ξεῖνε φίλ', εἰ καί μοι νεμεσήσεαι ὅ, τι κεν εἴπω;
" Τέρπεσι μὲν ταῦτα μέλῃ, κίθαρις γε ἀοιδή,
" Ῥεῖ· ἐπεὶ ἀλλότριον βίοτον νήποινον ἔδουσιν
" Ἀνέρος, ὅ δή κε λεύκ' ὀστέα πύθεται ὄμβρῳ,
" Κείμῃ ἐπ' ἠπείρου, ἢ εἰν ἁλὶ κῦμα κυλίνδῃ·
" Εἰ κείνόν γ' Ἰθάκῃσδε ἰδοίατο νοστήσαντα,
" Πάντες κ' ἀρησαίατ' ἐλαφρότεροι πόδας εἶναι,
" Ἢ ἀφνειότεροι χρυσοῖό τε ἐσθῆτός τε.
" Νῦν δ' ὁ μὲν ὡς ἀπόλωλε κακὸν μόρον, ὐδέ τις ἡμῖν
" Θαλπωρὴ, εἴπέρ τις ὀπιχθονίων ἀνθρώπων
" Φησὶν ἐλεύσεσθαι· γ δ' ὤλετο νόστιμον ἦμαρ.
" Ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
" Τίς, πόθεν εἰς ἀνδρῶν; ποῦθι τοι πόλις ἠδὲ τοκῆες;
" Ὁππόθι δ' ἐπὶ νηὸς ἀφίκεο; πῶς δέ σε ναῦται
" Ἦγαγον εἰς Ἰθάκην; τίνες ἔμμεναι εὐχετόωνται;

155 ΦΟΡ. Κιθαρίζων. ΑΝ. Ἀνεκρούετο, ᾠδοιμαίζετο.
157 ΑΓ. Ἐγγὺς ᾠδοποιικόν. ΠΕΥ. Ἀκούσειαν.
158 ΝΕ. Μίμνῃ. Ο. Ὅπερ ἄν.
159 ΑΟΙ. Ὠδήν.
160 ΡΕΙ. Τὸ ἐξῆς ἐπεὶ ῥᾳδίως ἀλλότριον. ΒΙ. Περιουσίαν. ΝΗ. Ἀτιμώρητον, ἀνεκδίκητον. ΕΔ. Ἐσθίουσιν.
161 ΟΥ. Οὗ τινος. ΠΥ. Σήπῃ.
162 ΕΠ. Ἐπὶ τῆς γῆς. ΕΙΝ. Ἐν τῇ θαλάσσῃ. ΚΥ. Κυλίῃ.
163 ΙΔ. Θεάσαιντο, ἴδοιεν.
164 ΑΡ. Εὔξαιντο.
165 ΑΦ. Πλουσιώτεροι.
166 ΩΣ. Οὕτως ὡς ἔχει. ΑΠ. Ἀπώλετο, ἀπέθανεν.
167 ΘΑΛ. Ἐλπὶς, σωτηρία, ἀσφάλεια, σκέπη.
168 ΦΗ. Φαίη, ἄπῃ. ΕΛ. Ἐλθεῖν. ΩΛ. Ἀπώλετο. ΝΟΣ. Ἢ εἰς τὰ οἰκεῖα ἐπάνοδον.
170 ΕΙΣ. Ὑπάρχεις. ΠΟ. Πῦ. ΤΟ. Γονεῖς.
171 ΟΠ. Ὁπποίας. ΝΗ. Νεὼς, πλοίου. ΑΦ. Παρεγένου.
172 ΕΥ. Καυχῶνται.

" οὐ

" Οὐ μὲν γάρ τι σε πεζὸν ὀΐομαι ἐνθάδ' ἱκέσθαι·
" Καί μοι τῦτ' ἀγόρευσον ἐτήτυμον, ὄφρ' εὖ εἰδῶ
" Ἦε νέον μεθέπεις, ἦ ἦ πατρώϊός ἐσσι
" Ξεῖνος· ἐπεὶ πολλοὶ ἴσαν ἀνέρες ἡμέτερον δῶ
" Ἄλλοι, ἐπεὶ καὶ κεῖνος ὀπίτροφος ἦν ἀνθρώπων.
Τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
" Τοιγὰρ ἐγώ τοι ταῦτα μάλ' ἀτρεκέως ἀγορεύσω,
" Μέντης Ἀγχιάλοιο δαΐφρονος εὔχομαι εἶναι
" Υἱὸς, ἀτὰρ Ταφίοισι φιληρέτμοισιν ἀνάσσω.
" Νῦν δ' ὧδε ξὺν νηῒ κατήλυθον ἠδ' ἑτάροισι,
" Πλέων ἐπὶ οἴνοπα πόντον ἐπ' ἀλλοθρόους ἀνθρώπους,
" Ἐς Τεμέσην μετὰ χαλκόν· ἄγω δ' αἴθωνα σίδηρον.
" Νηῦς δέ μοι ἥδ' ἔχεται ἐπ' ἀγρῷ νόσφι πόληος,
" Ἐν λιμένι Ῥείθρῳ, ὑπὸ Νηΐῳ ὑλήεντι.
" Ξεῖνοι δ' ἀλλήλων πατρώϊοι εὐχόμεθ' εἶναι
" Ἐξ ἀρχῆς, εἴπερ τε γέροντ' ἔρηαι ἐπελθὼν
" Λαέρτιον ἥρωα· τὸ δὴ οὐκέτι φασὶ πόλινδε

173 ΟΥ. Πεζὸν μ' γάρ σε ἀδωκότα ἐλθεῖν.

174 ΑΓ. Εἰπέ. ΕΤ. Ἀληθίς. ΕΥ. Ἀσφαλῶς γνῶ.

175 ΗΕ. Ἦ νεωτὶ πρὸς ἡμᾶς ἔρχη. ΜΕ. Μετέρχη, ἐλήλυθας.

176 ΙΣ. Ἐπίστιον. ΔΩ. Δῶμα, οἴκημα.

177 ΕΠ. Ἐπιστροφὴν καὶ ἐπιμέλειαν ἐποιεῖτο τῶν ἀνθρώπων, ἢ ὃ λόγον ἐποιεῖτο πάντες ἄνθρωποι, ἢ ἐπερχόμενος καὶ ἐπιδημῶν. ΕΠΙ. Σωσιανεπιφόρμιος.

181 ΦΙΛ. Νεωτερίοις.

182 ΩΔΕ. Οὐδὲ πάλαι κεῖται παρὰ τὴν ποιητὴν τὸ ὧδε τοπικὸν, ἀλλὰ ἀντὶ τοῦ ἄτας.

183 ΟΙΝ. Μίλανα πόντον. ΑΛΛ. Ἀλλοδαπὸς, ξένους, βαρβάρους.

184 ΤΕ. Τιμίσι πόλις Κύπρῳ, καὶ δὲ πνας Ἰταλίας, ἢ νῦν Ἐρετρίσιον καλοῦσι. ΜΕ. Διὰ χαλκόν. ΑΓ. Κομίζω. ΑΙ. Μίλανα, ἀντὶ τοῦ αἰθαλόεντα, ἢ λαμπρὸν ἀπὸ τοῦ αἴθοπος πυρός.

185 ΝΗ. Τὸ ἡ δὲ ἀναφορικῶς εἴρηκεν, ἀντὶ τοῦ δεικτικῶς. ΝΗ. Ναῦς. ΗΔ. Αὕτη.

186 ΕΝ. Ὁμοῦ τῇ οὐ Ἰθάκῃ λιμένες τὸ Ῥεῖθρον, ἀπὸ τοῦ συμβεβηκότος, ἐπειδὴ ἄκρουν ἔχει. ἢ ἀπὸ τοῦ συῤῥεῖν εἰς αὐτὸν χειμάῤῥους πολλὰς ἀπὸ Νήϊος ὄρους. ΝΗ. Τῶν πρὸς ἀπόδυσιν νεῶν εὐθέτῳ ὄρει τῆς Ἰθάκης. ΥΛ. Ὑλώδη.

188 ΕΙ. Ἐρωτήσεως.

" Ἔρχεαι,

" Ἔρχεσθ', ἀλλ' ἀπάνευθεν ἐπ' ἀγρῷ πήματα πάσχειν
" Γρηῒ σὺν ἀμφιπόλῳ, ἥ οἱ βρῶσίν τε πόσιν τε
" Παρτιθεῖ, εὖτ' ἄν μιν κάματος κατὰ γυῖα λάβῃσι,
" Ἑρπύζοντ' ἀνὰ γυνὸν ἀλωῆς οἰνοπέδοιο.
" Νῦν δ' ἦλθον· δὴ γάρ μιν ἔφαντ' ὀπιδήμιον εἶναι
" Σὸν πατέρ'· ἀλλά νυ τὴν γε θεοὶ βλάπτουσι κελεύθῳ.
" Οὐ γάρ πω τέθνηκεν ὀπὶ χθονὶ δῖος Ὀδυσεύς,
" Ἀλλ' ἔτι που ζωὸς κατερύκεται εὐρεῖ πόντῳ,
" Νήσῳ ἐν ἀμφιρύτῃ· χαλεποὶ δέ μιν ἄνδρες ἔχουσιν,
" Ἄγριοι, οἵ πού κεῖνον ἐρυκανόωσ' ἀέκοντα.
" Αὐτὰρ νῦν τοι ἐγὼ μαντεύσομαι, ὡς ἐνὶ θυμῷ
" Ἀθάνατοι βάλλουσι, καὶ ὡς τελέεσθαι ὄΐω,
" Οὔτέ τι μάντις ἐὼν, οὔτ' οἰωνῶν σάφα εἰδώς·
" Οὔτι ἔτι δηρόν γε φίλης ἄπο πατρίδος αἴης
" Ἔσεται, ὀδ' εἴπερ τε σιδήρεα δέσματ' ἔχῃσι·
" Φεύσεται ὥς κε νέηται, ἐπεὶ πολυμήχανός ἐστιν.
" Ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
" Εἰ δὴ ἐξ αὐτοῖο τόσος πάις εἰς Ὀδυσῆος.

190 ΑΠ. Ἄπειμι, μακρόν. ΠΗ. Κακόν.

191 ΓΡ. Γραῦ. ΒΡ. Τροφέν. ΠΟ. Ποτόν.

192 ΠΑΡ. Παρατίθῃ. ΕΥΤ. Ὁπότ' ἂν αὐτόν.

193 ΕΡ. Μετὰ ὀδύνης καὶ ἀνίας ἀρίμαχ βαδίζοντα ἀμφὶ τὸ γῆρας. ΓΟΥ. Τὸ γονυπετοῦν καὶ κάλλιστον. ΑΛ. Ἀμπλοφύτου γῆς. ΟΙ. Οἰνοφόρου.

194 ΕΦ. Εἶπεν. ΕΠΙ. Ἐπιδημοῦντα.

195 ΒΛΑ. Ἐμποδίζουσιν.

197 ΖΩ. Ζῶν. ΚΑΤ. Κατίσχουσι, κωλύουσι. ΕΥ. Πλατεῖ, μεγάλῳ.

198 ΑΜ. Τῇ ὑπὸ θαλάσσης ἀφιεμένῃ.

199 ΕΡ. Ἐπίσχουσι, κωλύουσιν. ΑΕ. Ἄκοντα καὶ μὴ βουλόμενον.

202 ΟΥ. Οὐδαμῶς. ΟΙ. Ὀρνιθοσκοπίας ἔμπειρος, ἢ οἰωνιστὴς ὤν.

204 ΔΕΣ. Δεσμοί. ἔθος ἦν Ἀττικοῖς τὰ χρήσιμα ἀδελφίως λέγειν. διὸ δὴ δίσματα, καὶ διὸ δὴ ξίω ξίσμαι. ΕΧ. Κατίσχει, φυλάσσει.

205 ΦΡ. Διανοηθήσεται. ΝΕ. Ἀνακομίζηται. ΠΟΛ. Πολύτροπος, συνετός.

207 ΑΥ. Ἐξ αὐτοῦ.

" Αἴνως

" Αἰνῶς γὰ κεφαλήν τε καὶ ὄμματα καλὰ ἔοικας
" Κείνῳ· ἐπεὶ θαμὰ τοῖον ἐμισγόμεθ' ἀλλήλοισι,
" Πρίν γε τ' ἐς Τροίην ἀναβήμεναι, ἔνθά περ ἄλλοι
" Ἀργείων οἱ ἄριστοι ἔσαν κοίλης ἐνὶ νηυσίν.
" Ἐκ τοῦδ', ὅτ' Ὀδυσῆα ἐγὼν ἴδον, ὅτ' ἐμὲ κεῖνος.
Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
" Τοί γὰ ἐγώ τοι ξεῖνε μάλ' ἀτρεκέως ἀγορεύσω,
" Μήτηρ μέν τ' ἐμέ φησι γ' ἔμμεναι· αὐτὰρ ἔγωγε
" Οὐκ οἶδ'· ἀ γάρ πω τις ἐὸν γόνον αὐτὸς ἀνέγνω.
" Ὡς δὴ ἔγωγ' ὄφελον μάκαρος νύ τευ ἔμμεναι υἱὸς
" Ἀνέρος, ὃν κτεάτεσσιν ἑοῖς ἔπι γῆρας ἔτελμε·
" Νῦν δ' ὃς ἀποθμότατος γένετο θνητῶν ἀνθρώπων,
" Τῶ μ' οὐκ φασὶ γενέσθαι· ἐπεὶ σύ με τοῦτ' ἐρεείνεις.
Τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
" Οὐ μέν τοι γλωχῖνα γε θεοὶ νώνυμον ὀπίσω
" Θῆκαν· ἐπεὶ σέ γε τοῖον ἐγείνατο Πηνελόπεια.
" Ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
" Τίς δαὶς, τίς δὲ ὅμιλος ὅδ' ἔπλετο; τίπτε δέ σε χρεώ;
" Εἰλαπίν' ἦὲ γάμος; ἐπεὶ οὐκ ἔρανος τάδε γ' ἐστίν.

208 ΑΙ. Νῦν ἀντὶ τῆλε. ΕΟΙ. Ὁμοίως εἶ.
209 ΘΑ. Συχνῶς. ὕστερος καὶ νῦν ἡμεῖς. ΤΟΙ. Τοιοῦτον. ΕΜ. Ἐμιγνύμεθα.
213 ΠΕΠ. Σεσιφισμένος, πεπαιδευμένος, σωστὸς εἶ. ΕΚ. Ἐξ ἐνείνε τῆς χρόνε.
216 ΓΟ. Γενήτορα. ΑΝ. Ἐπίγνω.
217 ΟΦ. Ὤφειλον. ΝΥ. Δή ποτε.
218 ΚΤΕ Κτήμασι. ΕΠΙ. Ἐπὶ τοῖς ἰδίοις. ΕΤ. Κατέλαβε.
219 ΑΠ. Δυσυχέστατος.
220 ΕΡ. Ἐρωτᾷς, πυθάνῃ.
222 ΝΩ. Ἀνώνυμον, ἄδοξον.
225 ΔΑ. Εὐωχία. ΟΜ. Ἄθροισμα, πλῆθος. ΕΠ. Ὑπάρχει. ΧΡ. Χρεία.
226 ΕΙ. Ἡ μεγάλη εὐωχία. οὐ γὰρ ἄλλως τὰς συμφορὰς εὐωχοῦνται. ΕΡ. Ὡς δὲ ἐράνε κοσμιώτερα καὶ εὐπλειστέρα ὄντος, τὰ ἑκάτερα. ὁ μὲν γὰρ γάμος ἐξ αἰλοιπὰ εὐωχίαν, φιλίαν τινὶ γίνονται. ὁ δὲ ἔρανος ὡς ἔκαστος τὰ κοσμήσειεν. ΕΡ. Τὸ ἀπὸ συμβολῆς δεῖπνον.

" Ὡς

" Ὣς τέ μοι ὑφρίζοντες ὑπερφιάλως δοκέουσι
" Δαίνυδ' κατὰ δῶμα. νεμεσήσαιτό κεν ἀνὴρ
" Αἰχεα πολλὸν ὁρόων, ὅστις τινυτός γε μετέλθοι.
Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα.
" Ξεῖν', ἐπεὶ ἆρ δὴ ταῦτά μ' ἀνείρεαι ἠδὲ μεταλλᾷς,
" Μέλλει μέν πού οἶκος ὅδ' ἀφνειὸς κ' ἀμύμων
" Ἔμμεναι, ὄφρ' ἔτι κεῖνος ἀνὴρ ὐπιδήμιος ἦεν·
" Νῦν δ' ἑτέρως ἐβάλοντο θεοὶ, κακὰ μηδιόωντες,
" Οἳ κεῖνον μὲν ἄϊστον ἐπὶ ποίησαν ἁπάντων
" Ἀνθρώπων· ἐπεὶ ὅ κε θανόντι περ ὧδ' ἀκαχοίμην,
" Εἰ μετ' ὀϊς ἑτάροισι δάμη Τρώων ἐνὶ δήμῳ,
" Ἠὲ φίλων ἐν χερσὶν, ἐπεὶ πόλεμον τολύπευσε·
" Τῷ κέν οἱ τύμβον μὲν ἐποίησαν πανάχαιοὶ,
" Ἠδέ κε καὶ ᾧ παιδὶ μέγα κλέος ἤρατ' ὀπίσσω·
" Νῦν δέ μιν ἀκλειῶς Ἅρπυιαι ἀνηρείψαντο·
" Οἴχετ' ἄϊστος, ἄπυστος, ἐμοὶ δ' ὀδύας τε γόους τε
" Κάλλιπεν· οὐδ' ἔτι κεῖνον ὀδυρόμενος γεναχίζω

227 ΔΟ. Δεικῆσι, φαίνονται.
228 ΝΕ. Μνηστῆρες ἡγήσαιτο.
229 ΑΙΣ. Αἰχύνας. ΠΙ. Σώφρων, σωστός. ΜΕ. Ἐπέλθοι.
231 ΑΝ. Ἀνερωτᾷς. ΜΕ. Ἐπιζητᾷς.
232 ΜΕΛ. Ὤφελεν. αὕτη ἡ λέξις ἐδίπολε κεῖται παρὰ τῷ ποιητῇ ὡς ἐν τῇ σωηθέᾳ χρονικῶς, ἀλλ' ἑκάστοτε, ἀντὶ τοῦ ἐάκει.
233 ΕΠ. Ἐπιδημῶν, παρών.
234 ΕΤ. Ἄλλως. ΕΒ. Ἐβούλοντο, ἤθελον. ΜΗ. Βλαδύμβροι.
235 ΑΙ. Ἀνιστόρητον, ἄφαντον.
236 ΑΚ. Λυπείμλων.
237 ΔΑ. Ἐδαμάσθη, ἀνηρέθη.
238 ΤΟΛ. Κατειργάσατο. μεταφορικῶς. καὶ γὰρ τὸν τῶν ἐρίων τὸν ἤδη κατειργασμένον ἄλησιν, τολύπην λέγομεν.
239 ΤΥΜ. Τάφον.
240 Ω. Ἰδίῳ. ΗΡ. Περιεποιήσαλο, ἀνιδιοίκητο.
241 ΑΚ. Ἀδόξως. ΑΡ. Δαίμονες. ἢ ἀνεμοι ἁρπακτικοί. ΑΝ. Ἀνήρπασαν.
242 ΑΙ. Ἀνιστόρητος, ἀφανής. ΑΠ. Ἀνήκεστος. ΟΔ. Λύπας. ΓΟ. Θρήνους.
243 ΚΑΛ. Κατέλιπεν. ΣΤ. Σπαράζω.

" Οἷον, ἐπεὶ νύ μοι ἄλλα θεοὶ κακὰ κήδε' ἔτευξαν.
" Ὅσσοι γὰρ νήσοισιν ὑπικρατέουσιν ἄριστοι,
" Δουλιχίῳ τε Σάμῃ τε καὶ ὑλήεντι Ζακύνθῳ,
" Ἠδ' ὅσσοι κραναὴν Ἰθάκην κατὰκοιρανέουσι,
" Τόσσοι μητέρ' ἐμὴν μνῶνται, τρύχουσι δ' οἶκον.
" Ἡ δ' οὔτ' ἀρνεῖται γυμερὸν γάμον, οὔτε τελευτὴν
" Ποιῆσαι δύναται· τοὶ δὲ φθινύθουσιν ἔδοντες
" Οἶκον ἐμόν· τάχα δή με διαπρήσουσι καὶ αὐτόν.
Τὸν δ' ἐπαλαστήσασα προσηύδα Παλλὰς Ἀθήνη·
" Ὤ πόποι, ἦ δὴ πολλὸν ὀπισχομένη Ὀδυσῆος
" Δεύῃ, ὅ κε μνηστῆρσιν ἀναιδέσι χεῖρας ἐφείη.
" Εἰ δὴ νῦν ἐλθὼν, δόμον ἂν πρώτῃσι θύρῃσι
" Σταίη, ἔχων πήληκα καὶ ἀσπίδα καὶ δύο δοῦρε,
" Τοῖος ἐὼν οἷόν μιν ἐγὼ πάρος τ' ἐνόησα
" Οἴκῳ ἐν ἡμετέρῳ πίνοντά τε τερπόμενόν τε,

244 ΕΠ. Ἐπειδή μοι. ΕΤ. Κατεσκεύασαν.

245 ΕΠ. Κρατοῦσιν, ἄρχουσι.

246 ΔΟΥ. Νήσῳ καὶ τῷ Κεφαλλωίαν. ΖΑ. Νήσῳ δὲ αὐτῇ τ' Κεφαλλωίας. ΣΑ. Τῷ Σάμου, Σάμῳ εἴπ. ἐστὶ γὰρ αὕτη καὶ τῷ Κεφαλλωίαν.

247 ΚΡΑ. Τραχεῖαν. ΚΑ. Βασιλεύουσι.

248 ΜΝΗ. Μνηστεύουσι. ΤΡΥ. Καταδαπανῶσι.

249 ΣΤΥ. Μισητὸν, φοβερόν. ΤΕ. Τίλῳ, πλέωσιν.

250 ΦΘΙ. Φθείρουσι, ἐλαττοῦσι. ΕΔ. Ἐσθίοντες.

251 ΤΑ. Αὕτη ἡ λέξις ὑ τίθεται παρὰ τῇ ποιητῇ διὰπικρὸς, ὡς ὂν τῇ σωτηρίᾳ, ἀλλ' ἐκάστοτε ἀντὶ τοῦ τυχὸν. ΔΙ. Διαφθείρουσι.

252 ΕΠ. Ἐπὶ τοῖς λεχθεῖσιν ὡς ἀλαστοὺς καὶ δεινοὺς ὄντας θανατωθήσεσθαι. ἐὰν δὲ ἡ χωλὸς ζῶν ε, παλαστήσασα ἴστω τῇ παλάστῃ, ὃ ἐστὶ τῷ ἀγκῶνι τ' χειρὸς, νύξασα. ΠΑΛ. Ἐπιτεπκὼς ἡ Ἀθηνᾶ, ἀπὸ δὲ πάλλειν τὸ δόρυ, ἢ ὅτι Παλλαντα ἀνεῖλεν ἐνα τ' γιγάντων.

253 Η. Ἀληθῶς, δή. ΠΟΛ. Ἐπιπεπλὺ λάπτηται τέτευς πυρίαν ὑποχεῖν.

254 ΔΕΥ. Ἐπὶ πολὺ λάπτ τέτευς πυρίαν ὑποχεῖν.

254 ΔΕΥ. Ἐνδεῖ, λάπτ. Ο. Ὅς τις δή, ὅς τις ἂν. ΕΦ. Ἐπιθάλλη.

255 ΕΙ. Εἴθε γάρ. ΔΟ. Οἴκων. ΕΝ. Ἐν αὐταῖς ταῖς πρώταις θύραις.

256 ΣΤ. Στῆ. ΠΗ. Περικεφαλαίαν. ΔΟΥ. Δόρατα. δυϊκῶς.

257 ΕΝ. Ἐπασπίμω.

258 ΟΙ. Τὸν ἀγαθὸν πᾶς δάκτυπ καιρὸς οἷος ἂν ᾖ ἐν τοῖς ἔργοις.

" Ἐξ

" Ἐξ Ἐφύρης ἀνιόντα παρ' Ἴλαν Μερμερίδαο,
" (Ὤχετο γὰρ κἀκεῖσε θοῇς ἐπὶ νηὸς Ὀδυσεύς,
" φάρμακον ἀνδροφόνον διζήμενος, ὄφρά οἱ ἔτι
" Ἰὸς χρίεσχ χαλκήρεας· ἀλλ' ὁ μὲν ἄρ οἱ
" Δῶκεν, ἐπεὶ ῥα θεὸς νεμεσίζετο αἰὲν ἐόντας·
" Ἀλλὰ πατὴρ οἱ δῶκεν ἐμός· φιλέεσκε γὰρ αἰνῶς)
" Τοῖος ἐὼν μνηςῆρσιν ὁμιλήσειεν Ὀδυσεὺς,
" Πάντες κ' ὠκύμοροί τε γλυοίατο πικρόγαμοί τε.
" Ἀλλ' ἤτοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται·
" Ἣ κεν νοςήσας ἀποτίσῃ, ἠὲ καὶ ἄχι,
" Οἵσιν ἐνὶ μεγάροισι· σὲ γὴ φράζεσχ ἄνωγα
" Ὅππως κεν μνηςῆρας ἀπώσεαι ἐκ μεγάροιο,
" Εἰ δ', ἄγε νῦν ξυνίει, καὶ ἐμῶν ἐμπάζεο μύθων,
" Αὔριον εἰς ἀγορὴν καλέσας ἥρωας Ἀχαιοὺς,
" Μῦθον τὲ φράσαι πᾶσι, θεοὶ δ' ἐπιμάρτυροι ἔςων·
" Μνηςῆρας μὲν ἐπὶ σφέτερα σκίδνασθαι ἄνωχθι·
" Μητέρα δ', εἴ οἱ θυμὸς ἐφορμᾶται γαμέεσχ,

259 ΕΦ. Πόλεως Θεσπρωτίας. Ἐφύρη ἢ τρεῖς εἰσὶν· ἥτις Θεσπρωτική, ἡ νῦν Κόρινθος, καὶ ἡ τρίτη Ἦλις. ΑΝ. Ἀνεχώρησεν. ΜΕΡ. Μερμέρου παιδός.

260 Ω. Ἀπῆλθε. ΘΟ. Ταχέως.

261 ΑΝ. Ἀνδρὸς φονεύσου. ΔΙ. Ζητῶν. ΟΙ. Αὐτῷ.

262 ΙΟΥ. Βίλη. ΧΡΙ. Προπαρεσκεύασεν ἵνα μὴ ζητῶμεν πῶς ἀπὸ μιᾶς πληγῆς ἀναιρεθῆναι οἱ μνηςῆρες. ΧΑΛ. Χαλκῷ ἠρμοσμένης.

263 ΝΕ. Ἐσθέσθαι, ἐνεγκίπτειν.

264 ΦΙ. Καὶ οἶδεν ὅτι κατ' ἐχθρῶν ςήσεται.

265 ΟΜ. Σπουδαιοτάτῳ.

266 ΓΕ. Γένοιτο. ΠΙ. Ἐπὶ κακῷ τῷ ἑαυτῶν τὸν γάμον τοῦτον μνησθησόμενοι.

267 ΘΕ. Ἐν τῇ τῶν θεῶν ἐξουσίᾳ ἐςί.

268 ΑΠ. Τιμωρίαν ἐπιτρέψῃ.

269 ΑΝ. Κελεύω.

270 ΑΠ. Ἀποθήσεις, ἐκβαλεῖς. ΜΕ. Τὸ οἶκον, τὸ οἰκέται.

271 ΞΥ. Νόησον, ἄκουσον. ΕΜ. Ἐπιτρίφου, ἀνεπαισθήτως, φρόντιζε.

273 ΠΕ. Εἰπέ. ΕΣ. Ἔσωσαν, ὑπερχέτωσαν.

274 ΣΦΕ. Τὰ ἴδια. ΣΚ. Σκεπτίζεσθαι. ΑΝ. Κέλευε.

275 ΜΗ. Τῇ ἀρχαίᾳ συνηθείᾳ ἐγγέγραπλο μᾶτιρ ἀντὶ θ μητήρ. τοῦτο ἀγνοήσας

" Ἀψ ἴτω ἐς μέγαρον πατρὸς μέγα δυναμένοιο.
" Οἱ δὲ γάμον τεύξωσι, καὶ ἀρτιεέσσιν ἔεδνα
" Πολλὰ μάλ', ὅσα ἔοικε φίλης ἐπὶ παιδὸς ἕπεσθαι.
" Σοὶ δ' αὐτῷ πυκινῶς ὑποθήσομαι, ἄνακτι πίθηαι,
" Νῆ' ἄρσας ἐρέτῃσιν ἐείκοσιν ἥτις ἀρίστη, 280
" Ἔρχεο πευσόμενος πατρὸς δὴν οἰχομένοιο,
" Ἤν τις τοι εἴπῃσι βροτῶν, ἢ ὅσαν ἀκούσῃς
" Ἐκ Διὸς, ἥτε μάλιστα φέρει κλέος ἀνθρώποισι.
" Πρῶτα μὲν ἐς Πύλον ἐλθὲ, καὶ εἴρεο Νέστορα δῖον·
" Κεῖθεν δὲ Σπάρτηνδε βοὴν ξανθὸν Μενέλαον· 285
" Ὃς γὰρ δεύτατος ἦλθεν Ἀχαιῶν χαλκοχιτώνων.
" Εἰ μέν κεν πατρὸς βίοτον καὶ νόστον ἀκούσῃς,
" Ἦτ' ἂν τρυχόμενός περ ἔτι τλαίης ἐνιαυτόν·
" Εἰ δέ κε τεθνειῶτος ἀκούσῃς, μηδέ τ' ἐόντος,
" Νοσήσας δ' ἤπειτα φίλην ἐς πατρίδα γαῖαν, 290

νοήσας τὴν αἰσθήσει τὸ α. ἢ σκεπτίον, μητέρα δὲ, ὑποκειμένης τῆς ἀφαιρετομένου. ΕΦ. Ἐπιθυμεῖ, αἰσθάνεται. ΓΑ. Γαμηθῆναι.

276 ΑΨ. Ἐπίρρημα σωματικόν. πάλιν, εἰς τὰ πρίσω, καὶ οὐ δεύτερα. ΙΤ. Ἀπίτω, ἀπερχέσθω, προδιέσθω. ΜΕ. Μίζα ἰσχύοντος ἐν τῇ οἰκδέναι.

277 ΤΕΥ. Ποιήσωσι, κατασκευάσωσι. ΑΡ. Ἑτοιμάσωσιν. ΕΕΔ. Δῶρα τὰ ἐνδύματα ὑπὸ τῶ γαμοῦντος τῇ γαμουμένῃ.

278 ΕΟΙ. Προσήκει, πρέπει. ΕΠ. Ἀκολουθεῖν.

279 ΠΥ. Πυκνῶς, σωστῶς. ΥΠ. Συμβουλεύσω. ΠΙ. Πειθῆς.

280 ΑΡ. Ἁρμόσας, εὐτρεπίσας. ΕΡ. Ἐρέτας, κωπηλάτας. ΕΕΙ. Εἴκοσιν.

281 ΕΡ. Ἀπέρχου. ΠΕΥ. Ἀκουσόμενος. ΟΙ. Ἀποδημοῦντος.

282 ΗΝ. Ἐάν τις.

283 Η. Κλεδόνα καὶ φήμην ἀγαθὴν ἀγγελομένων. ΚΛΕ. Νῦν κλεδόνα, τουτέστι κλέος καὶ δόξαν.

284 ΠΡΩ. Πέμπῃ αὐτὸν παιδοθησόμενον, καὶ ἅμα ἔνδοξον ἐσόμενον, ἐπὶ πατέρα ἀποδήμησιν. ΕΙ. Ἐρώτησιν.

285 ΚΕΙ. Ἐκεῖθεν. ΞΑΝ. Πυρρόν.

286 ΟΣ. Οὕτως γάρ. ΔΕΥ. Ἔσχατος.

287 ΒΙ. Βίον, ζωήν. ΗΤ. Καὶ πρ.

288 ΤΡΥ. Καταπονούμενος. ΤΛ. Καρτερήσειας, ὑπομείνειας.

289 ΤΕ. Τεθλασμένου, ἀπόντος.

" Σῆμα

" Σῆμα τέ οἱ χεῦσαι, ἐπὶ κτέρεα κτερείξαι
" Πολλὰ μάλ', ὅσσα ἔοικε· καὶ ἀνέρι μητέρα δόναι.
" Αὐτὰρ ἐπὴν δὴ ταῦτα τελευτήσῃς τε καὶ ἔρξῃς,
" Φράζεσθ' ὅ' ἤπειτα κατὰ φρένα καὶ κατὰ θυμὸν,
" Ὅππως κεν μνηστῆρας ἐνὶ μεγάροισι τεοῖσι
" Κτείνῃς, ἠὲ δόλῳ, ἢ ἀμφαδόν· ἐδέ τι σε χρὴ
" Νηπιάας ὀχέειν, ἐπεὶ οὐκ ἔτι τηλίκος ἐσσί.
" Ἦ οὐκ ἀΐεις οἷον κλέος ἔλλαβε δῖος Ὀρέστης
" Πάντας ἐπ' ἀνθρώπους, ἐπεὶ ἔκτανε πατροφόνηα
" Αἴγισθον δολόμηδιν, ὃς οἱ πατέρα κλυτὸν ἔκτα;
" Καὶ σὺ φίλος, (μάλα γάρ σ' ὁρόω καλόν τε μέγαν τε)
" Ἄλκιμος ἔσσ', ἵνα τίς σε καὶ ὀψιγόνων εὖ εἴπῃ.
" Αὐτὰρ ἐγὼν ἐπὶ νῆα θοὴν κατελεύσομαι ἤδη,
" Ἠδ' ἑτάρους, οἵ πού με μάλ' ἀχαλόωσι μιμνοντες.
" Σοὶ δ' αὐτῷ μελέτω, καὶ ἐμῶν ἐμπάζεο μύθων.
Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
" Ξεῖν', ἦτοι μὲν ταῦτα φίλα φρονέων ἀγορεύεις,
" Ὡς τε πατὴρ ᾧ παιδί, καὶ ὄφρα τε λήσομαι αὐτῶν·
" Ἀλλ' ἄγε νῦν ἐπίμεινον, ἐπειγόμενός περ ὁδοῖο,

291 ΣΗ. Τάφον. ΧΕΥ. Χώσαι, ἀντὶ τοῦ χῶσαι. ΚΤ. Ἐντάφια. ΚΤΕ. Ἐνταφιάσαι.
292 ΔΟΥ. Ἀντὶ τοῦ δός.
293 ΑΥ. Ἐπαὐ ἂν δῖ. ΤΕΛ. Τελεύσῃς, πληρώσῃς. ΕΡ. Πράξεις.
295 ΤΕ. Τοῖς σοῖς.
296 ΑΜ. Φαυερόν.
297 ΝΗ. Τὰ νέων φρονῶν καὶ φέρων, ἢ ὀχεῖσθαι ὑπὸ νεότητος, τουτέστιν ἄφρονα εἶναι. ΤΗ. Τηλικοῦτος μικρὸς, ἀντὶ τοῦ πάνυ νέος. ΕΣ. Ὑπάρχεις.
298 ΑΙ. Ἀκούεις, αἰσθάνῃ.
299 ΠΑ. Τὸν δὲ πατρὸς φονέα.
300 ΔΟ. Δόλια βουλευόμενον. ΕΚ. Ἀπέκλεινεν.
302 ΟΨ. Μεταγνοιτέρων. ΕΣ. Γινοῦ.
303 ΚΑ. Κατέρχομαι.
304 ΑΣ. Δυσπαραχίτας ἴσχει, δυσχεραίνει.
305 ΜΕ. Ἐν ἐπιμελείᾳ ἔσο. ΕΜ. Ἐπιστρέφα, ποίει καὶ σίου.
307 ΦΙ. Φιλοφρονέμεθα.
308 ΔΗ. Ἐπιλαθώμαι.
309 ΕΠ. Σπεύδων.

" Ὄφρα

" Ὄφρα λοεσσάμενός τε, τεταρπόμενός τε φίλον κῆρ,
" Δῶρον ἔχων ἐπὶ νῆα κίῃς, χαίρων ἐνὶ θυμῷ,
" Τιμῆεν, μάλα καλὸν, ὅ τοι κεμήλιον ἔστω
" Ἐξ ἐμεῦ· οἷα φίλοι ξεῖνοι ξείνοισι διδῶσι.
Τὸν δ' ἠμείβετ' ἔπειτα θεὰ γλαυκῶπις Ἀθήνη·
" Μή μ' ἔτι νῶϊ κατέρυκε, λιλαιόμενόν περ ὁδοῖο·
" Δῶρον δ' ὅ, τι κέ μοι δῶναι φίλον ἦτορ ἀνώγῃ,
" Αὖθις ἀνερχομένῳ δόμεναι οἰκόνδε φέρεσθαι,
" Καὶ μάλα καλὸν ἑλών· σοὶ δ' ἄξιον ἔστω ἀμοιβῆς.
Ἦ μὲν ἄρ' ὣς εἰποῦσ' ἀπέβη γλαυκῶπις Ἀθήνη,
Ὄρνις δ' ὡς ἀνόπαια διέπτατο· τῷ δ' ἐνὶ θυμῷ
Θῆκε μῆνος καὶ θάρσος, ὑπέμνησέν τε ἑ πατρὸς
Μᾶλλον ἔτ' ἢ τὸ πάροιθεν· ὁ δ' ᾔσθετο κὰδ δὲ θεὸν εἶναι.
Αὐτίκα δ' ἥρωας ἐπώχετο ἰσόθεος φώς·
Τοῖσι δ' ἀοιδὸς ἄειδε περικλυτὸς, οἱ δὲ σιωπῇ
Εἵατ' ἀκούοντες· ὁ δ' Ἀχαιῶν νόστον ἄειδε

310 ΑΟ. Λεσσάμενος. ΤΕ. Τερφθείς.
311 ΚΙ. Πορὼν δῆς.
312 ΤΙ. Τίμιον. ΚΕΙ. Ἀποθέτον κειμήλιον.
315 ΚΑ. Κάπηχι, κάλυε.
316 ΑΝ. Βάλῃ, πρόσταξον.
317 ΑΥ. Ὑποτρίφοντι ὡς τῆς Ἰταλίας. ΦΕ. Ἀποφέρειν.
318 ΑΞ. Ἀξίως ἀμείψασθαι, ἢ τὸ ναυτίον. παρ' ἐμοῦ καλὸν δῶρον λάβοις ἄν, ὥστε ἄξιον ἀμοιβῆς γενέσθαι. καὶ γὰρ οἱ ξενισθέντες ἐδίδοσαν δῶρα. Βιβλιεροφόντης δὲ χρυσοῦν ποτήριον. ΑΜ. Χάεστο.
319 Η. Αὖτη μέν. ΑΠ. Ἀπῆλθεν.
220 ΟΡ. Καθάπερ οἰ ὄρνις. ΑΝ. Εἶδος ὀρνέου. ἢ ἀφ' ὁπῆς· ἢ ἀέρατος· ἀφ' ὃ τὸ ὠὸς ὄρνις ταχέως ὁρμῆσαι. καὶ Ἀρίσταρχος δὲ φησιν ὄνομα ὀρνέου. ἢ ἀνόπαια ὡς φήνη εἰδομένη. ἔνιοι δὲ ἀπὸ τὰς ὤπας, ὅ ἐστι τὰς ὀφθαλμούς. ΔΙ. Διέπτη.
321 ΥΠ. Ἐπιμνησθῆναι ἐποίησεν.
323 ΘΑΜ. Ἐξεπλάγη, ἐθαύμασεν. ΟΙ. Ὑπενόησεν.
324 ΕΠ. Ἐπορεύετο. ΙΣ. Ὅμοιος θεῷ κατὰ δρεστῶν. ΦΩΣ. Ὁ ἀνήρ.
325 ΑΟΙ. Ὁ Φήμιος δηλονότι. ΑΕΙ. Ἡδέως. ΠΕ. Πειθόμενοι, ἔνδοξος.
326 ΕΙ. Ἐκθελζόντων.

Λυπρὸν

Λυγρὸν, ὃν ἐκ Τροίης ἐπετείλατο Παλλὰς Ἀθήνη.
Τῇ δ' ὑπερῳϊόθεν φρεσὶ σύνθετο θέσπιν ἀοιδὴν
Κύρη Ἰκαρίοιο περίφρων Πηνελόπεια·
Κλίμακα δ' ὑψηλὴν καταβήσατο οἷο δόμοιο,
Οὐκ οἴη, ἅμα τῇ γε δύ' ἀμφίπολοι δύ' ἕποντο.
Ἠδ' ὅτε δὴ μνηστῆρας ἀφίκετο δῖα γυναικῶν,
Στῆ ῥα παὰ σταθμὸν τέγεος πύκα ποιητοῖο,
Ἄντα παρειάων σχομένη λιπαρὰ κρήδεμνα·
Ἀμφίπολος δ' ἄρα οἱ κεδνὴ ἑκάτερθε παρέστη·
Δακρύσασα δ' ἔπειτα περισύδα θεῖον ἀοιδόν·

" Φήμιε, πολλὰ γὰρ ἄλλα βροτῶν θελκτήρια οἶδας,
" Ἔργ' ἀνδρῶν τε θεῶν τε, τά τε κλείουσιν ἀοιδοί·
" Τῶν ἓν γέ σφιν ἄειδε παρήμενος· οἱ δὲ σιωπῇ
" Οἶνον πινόντων· ταύτης δ' ἀποπαύε' ἀοιδῆς
" Λυγρῆς, ἥτέ μοι αἰεὶ ἐνὶ στήθεσσι φίλον κῆρ
" Τείρει· ἐπεί με μάλιστα καθίκετο πένθος ἄλαστον.
" Τοίην γὰρ κεφαλὴν πόθεω, μεμνημένη αἰεὶ
" Ἀνδρὸς ἐμοῦ κλέος εὐρὺ καθ' Ἑλλάδα καὶ μέσον Ἄργος.

327 ΑΥ. Χαλεπόν. ΕΠ. Προσέπαξε.

328 ΥΠ. Ἐκ δ' ἀναγαίης οἴκου, ἐκ δ' ὑπερώου. ΣΥΝ. Σωῆκεν, ἢ ἤκουσεν. ΘΕΣ. Θέσαν, ἐθαυμάσθη.

329 ΙΚ. Πάνιλόπης πατήρ. ΠΕ. Σωιτή.

330 ΚΑ. Κατῆλθεν. ΟΙΟ. Τοῦ ἑαυτῆς.

331 ΟΙ. Μόνη. ΔΥ. Τὸ πλῆρες δύο.

332 ΑΦ. Παρεγένετο.

333 ΣΤ. Παρεστάθη. ΤΕ. Κατεγέκ οἴκου. ΠΥ. Τῇ ἐπιμελῶς κατεσκευασμένῃ.

334 ΑΝ. Ἔμπροσθεν. προκαλυφαμένη τῷ καλύμματι. ΣΧΟ. Καλυψαμένη, κρύπτουσα. ΛΙ. Ἄπαλὰ, ἁβρά. ΚΡΗ. Ἐπὶ τῆς κεφαλῆς τεθέσμια.

335 ΚΕ. Προσώπης. ΕΚ. Ἐξ ἑκατέρᾳ μέρει.

337 ΘΕΛ. Τὰ θέλγοντα καὶ ἀπατῶντα τὰς ἀνθρώπους.

338 ΚΛ. Ὑμνῆσι, δοξάζῃσι.

339 ΣΙ. Μετὰ σιωπῆς.

340 ΠΙ. Πεπίτωσαν Ἀττικῶς.

341 ΛΥ. Χαλεπῆς.

342 ΤΕ. Καθαπαξῶ. ΚΑ. Καθήψατο. ΑΛ. Ἀνεπίλεκτον.

343 ΤΟΙ. Τοιοῦτον δ' ἄνδρα.

344 ΕΛ. Καλὰ τὸν Θετταλίαν, ἀπὸ μιᾶς πόλεως ὀνόματι Ἑλλάδα.

" Τὴν

Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
" Μῆτερ ἐμὴ, τί τ' ἄρ' αὖ φθονέεις ἐρίηρον ἀοιδὸν
" Τέρπειν ὅππη οἱ νόος ὄρνυται; ἀ νύ τ' ἀοιδοὶ
" Αἴτιοι, ἀλλά ποθι Ζεὺς αἴτιος, ὅστε δίδωσιν
" Ἀνδράσιν ἀλφηστῆσιν ὅπως ἐθέλῃσιν ἐκάστῳ.
" Τέτῳ δ' ἀ νέμεσις Δαναῶν κακὸν οἶτον ἀείδειν·
" Τὴν γὰ ἀοιδὴν μᾶλλον ὑποκλείεσ' ἄνθρωποι,
" Ὅτις ἀκηδόντεσσι νεωτάτη ἀμφιπέληται.
" Σοὶ δ' ὑποτλμάτω κραδίη καὶ θυμὸς ἀκούειν·
" Οὐ γὰ Ὀδυσσεὺς οἶος ἀπώλεσε νόστιμον ἦμαρ
" Ἐν Τροίῃ, πολλοὶ γὰ καὶ ἄλλοι φῶτες ὄλοντο.
" Ἀλλ' εἰς οἶκον ἰοῦσα τὰ σαυτῆς ἔργα κόμιζε,
" Ἰστὸν τ' ἠλακάτην τε, καὶ ἀμφιπόλοισι κέλευε
" Ἔργον ἐπιχεῖσθαι· μῦθος δ' ἄνδρεσσι μελήσει
" Πᾶσι, μάλιστα δ' ἐμοί· τὰ γὰ κράτος ἔς' ἐνὶ οἴκῳ.
Ἦ μὲν θαμβήσασα πάλιν οἰκόνδε βεβήκει·
Παιδὸς γὰ μῦθον πεπνυμένον ἔνθετο θυμῷ.
Ἐς δ' ὑπερῷ' ἀναβᾶσα σὺν ἀμφιπόλοισι γυναιξὶ,
Κλαῖεν ἔπειτ' Ὀδυσῆα φίλον πόσιν, ὄφρά οἱ ὕπνον

346 ΕΡ. Ἐπέρεσσιν, πεσσίωσι.
347 ΟΡ. Πρόφρων.
349 ΑΛ. Ἐφοδευτικοῖς, ἐπινοητικοῖς, σύντομος.
350 ΟΙ. Θάνατον.
351 ΕΠ. Ὑμνῶσι, δοξάζουσι.
352 ΑΚ. Ἀκούσι. ΝΕ. Περὶ πολλὰ λέγει συστελλόμενα.
353 ΕΠ. Ὑπερβάλλει.
355 ΕΝ. Διαφθορᾷ ἀνηκουστίου. Οὐ γὰ Ὀδυσσεὺς ὁ Τροίᾳ ἀπώλετο. ΦΩ. Ἄνδρες.
356 ΑΛΛ. Ἀγετῦν) ὑπαῦλα, ἐπὶ ἢ Ἐκβαλε κελεύσ. ΚΟ. Ἐπιμελέως ἔξιε.
357 ΗΛ. Ἐργάζου ἐργαλεῖον.
358 ΕΠ. Παρακάθου.
359 ΚΡΑ. Νῶν ἡ διατάξις.
360 ΘΑΜ. Ἐκπλαγεῖσα, θαυμάσασα. ΒΕ. Ἐπορεύετο.
361 ΠΕΠ. Σωστόν. ΕΝ. Ἐνέπλησε τῇ ψυχῇ, σωσῖαι.
362 ΥΠ. Τὰ ἀνάγκαι οἰκήματα.
363 ΟΦ. Μίχεις ἔστι, ἕως. ΟΙ. Αὐτῇ.

Ἤδυ

Ἡδὺ δ' ἐπὶ βλεφάροισι βάλε γλαυκῶπις Ἀθήνη.
Μνησῆρες δ' ὁμάδησαν ἀνὰ μέγαρα σκιόεντα,
Πάντες δ' ἠρήσαντο παραὶ λεχέεσσι κλιθῆναι.
Τοῖσι δὲ Τηλέμαχος πεπνυμένος ἤρχετο μύθων·
" Μητρὸς ἐμῆς μνησῆρες, ἐπαέρδιον ὕδερ ἔχουσες,
" Νῦν μὲν δαινύμενοι τερπώμεθα, μηδὲ βοητὺς
" Ἔστω· (ἐπεὶ τόγε καλὸν ἀκούειν ἐστὶν ἀοιδῆς
" Τοιῆσδ', οἵη ὅδ' ἐστί, θεοῖς ἐναλίγκιος αὐδήν.)
" Ἠῶθεν δ' ἀγορήνδε καθεζώμεθα πάντες,
" Πάντες, ἵν' ὑμῖν μῦθον ἀπηλεγέως ἀγορεύω,
" Ἐξιέναι μεγάρων· ἄλλας δ' ἀλεγύνετε δαῖτας,
" Ὑμὰ κτήματ' ἔδοντες, ἀμειβόμενοι κατὰ οἶκους.
" Εἰ δ' ὔμμιν δοκέει τόδε λωΐτερον καὶ ἄμεινον
" Ἔμμορε, ἀνδρὸς ἑνὸς βίοτον νήποινον ὀλέσσαι,
" Κείρετ', ἐγὼ δ' ἦ θεὸς ἐπιδώσομαι αἴ κεν ἔωμαι,
" Αἶψά πῃ Ζεὺς δῶσι παλίντιτα ἔργα γένεσθαι,
" Νήποινοί κεν ἔπειτα δόμων ἔντοσθεν ὄλοισθε.
Ὣς ἔφατ'· οἱ δ' ἄρα πάντες ὀδὰξ ἐν χείλεσι φύντες,

365 ΟΜ. Ἐθορύθησαν. ΑΝΑ. Κατὰ τοὺς οἴκους. ΣΚΙ. Σύσκια ἀφὸ τὸ ὑψος.

366 ΠΑΡ. Παρὰ κοίτους. ΚΛΙ. Συγχυθῆσθαι.

368 ΥΠ. Ὑπερήφανον, βιαίαν ὕβριν ἔχοντες.

369 ΔΑ. Εὐωχήμενοι. ΒΟ. Βοὴ, κραυγή.

372 ΚΙ. Ἐλθόντες. ΚΑ. Κοιμᾶσθε.

373 ΑΠ. Ἀποτόμως, στερρῶς. ΑΠ. Ἀπφαυσάμην.

374 Εᾶ. Ἐξιλησῖ, ἀντὶ τῦ ἐξίλησιν.

ΑΛ. Ἄλλως ἢ ἀφὸ φρονίδος ἔχειν εὐωχίας.

375 ΥΜ. Ὑμέτερα. ΑΜ. Ἐκ διαδοχῆς ἀκμήνους ἀποδεχόμενοι, καὶ ἀμειβόμενοι.

376 ΔΟ. Δοκεῖ, νομίζει. ΛΩ. Κρεῖττον, βέλτιον.

378 ΚΕΙ. Σωτήμως ἐσθίειν. ΕΠΙ. Ἐπικαλέσασθαι.

379 ΠΑ. Ὑπὲρ ὧν ἐξ ἑτέρου πατρὸς γένεσθαι.

380 ΟΛ. Ἀπόλοισθε.

381 ΟΔ. Ἐνδεκόντες τὰ χείλη.

Τηλέμαχον θαύμαζον, ὁ θαρσαλέως ἀγόρευε.
Τὸν δ' αὖ Ἀντίνοος προσέφη Εὐπείθεος υἱός·
" Τηλέμαχ', ἦ μάλα δή σε διδάσκουσιν θεοὶ αὐτοὶ
" Ὑψαγόρην τ' ἔμεναι, καὶ θαρσαλέως ἀγορεύειν,
" Μή σέ γ' ἐν ἀμφιάλῳ Ἰθάκῃ βασιλῆα Κρονίων
" Ποιήσειεν· ὅ τοι γενεῇ πατρώϊόν ἐστιν.
Τὸν δ' αὖ Τηλέμαχος προσεπυνθάνετο μῦθον ἀντίον ηὔδα·
" Ἀντίνο', ἦ μέν μοι κ' ἀγάσσεαι ὅ, τι κεν εἴπω;
" Καί κεν τῶτ' ἐθέλοιμι Διός γε διδόντος ἀρέσθαι.
" Ἦ φῂς τοῦτο κάκιστον ἐν ἀνθρώποισι τετύχθαι;
" Οὐ μὲν γάρ τι κακὸν βασιλευέμεν· αἶψά τε οἱ δῶ
" Ἀφνειὸν τελέθει, καὶ τιμήεντερος αὐτός·
" Ἀλλ' ἤτοι βασιλῆες Ἀχαιῶν εἰσὶ κἀ ἄλλοι
" Πολλοὶ ἐν ἀμφιάλῳ Ἰθάκῃ, νέοι ἠδὲ παλαιοί,
" Τῶν κέν τις τόδ' ἔχῃσιν, ἐπεὶ θάνε δῖος Ὀδυσεύς.
" Αὐτὰρ ἐγὼν οἴκοιο ἄνακτ' ἔσομ' ἠμετέροιο,
" Καὶ δμώων ἅς μοι λῆσατο δῖος Ὀδυσεύς.
Τὸν δ' αὖ Εὐρύμαχος Πολύβου παῖς ἀντίον ηὔδα·
" Τηλέμαχ', ἤτοι ταῦτα θεῶν ἐν γούνασι κεῖται,
" Ὅστις ἐν ἀμφιάλῳ Ἰθάκῃ βασιλεύσῃ Ἀχαιῶν·
" Κτήματα δ' αὐτὸς ἔχοις, καὶ δώμασιν οἷσιν ἀνάσσοις.

382 Ο. Διό. ΘΑΡ. Τολμηρῶς, καὶ παρρησίᾳ τοῦτος.
385 ΥΨ. Μεγαλορήμονα.
386 ΑΜ. Περιῤῥεομένην παντοχόθεν ὑπὸ τῆ θαλάσσης.
389 ΑΓ. Θαυμάσειας, ἢ φωνήσειας.
390 ΚΑΙ. Τὸ ἰδιοτρόπειν, Διὸς βουλομένου. Οὐ γὰρ ἐπὶ παντὶ κωλύει. ΑΡ. Ὑπενέγκασθαι.
391 Η. Ἦ ἄρα λέγεις.
392 ΒΑ. Βασιλεύειν.
393 ΤΙ. Τιμιώτερος.
396 ΕΧ. Ἐχέτω.
398 ΔΜΩ. Δῶλον, οἰκετῶν. ΛΗ. Λέγει δὲ κυρίως ἡ τῶν πολεμικῶν λαφύρων συναγωγή.
399 ΠΟ. Εὐρύμαχος.

Μὴ

" Μὴ γὰρ ὄγ' ἔλθοι ἀνὴρ ὅστις ἀέκοντα βίηφι
" Κτήματ' ἀποῤῥαίσῃ, Ἰθάκης ἔτι ναιετάωσης.
" Ἀλλ' ἐθέλω σε φέρεσθε θεὸν ξείνοιο ἔρεαθαι,
" Ὁππόθεν ὅτις ἀνὴρ, ποίης δ' ἐξεύχεται εἶναι
" Γαίης· πῶς δὲ νύ οἱ γλυκὴ ἠδὲ τοκῆες ἄρουρα·
" Ἦέ τοι ἀγγελίῃσι πατρὸς φέρῃ ἐρχομένοιο,
" Ἦ ἐὸν αὐτοῦ χρεῖος ἐελδόμενος τόδ' ἱκάνῃ.
" Οἷον ἀναΐξας ἄφαρ οἴχετ', οὐδ' ὑπέμεινε
" Γνώμεναι· οὐ μὲν γάρ τι κακῷ εἰς ὦπα ἐῴκῃ.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
" Εὐρύμαχ', ἦτοι νόστος ἀπώλετο πατρὸς ἐμοῖο,
" Οὔτ' ἂν ἀγγελίῃ ἔτι πειθόμαι, εἴ πόθεν ἔλθοι,
" Οὔτε θεοπροπίης ἐμπαίζομαι, ἥντινα μήτηρ
" Ἐς μέγαρον καλέσασθε θεοπρόπον ἐξερέηται.
" Ξεῖνος δ' ὅτος ἐμὸς πατρώϊός ἐκ Τάφου ἐστὶ,
" Μέντης Ἀγχιάλοιο δαΐφρονος εὔχεται εἶναι
" Υἱὸς, ἀπὸ Ταφίοισι φιληρέτμοισιν ἀνάσσῃ.
Ὣς φάτο Τηλέμαχος· φρεσὶ δ' ἀθανάτοιν θεὸν ἔγνω.
Οἱ δ' εἰς ὀρχηστύν τε καὶ ἱμερόεσσαν ἀοιδὴν
Τρεψάμενοι τέρποντο· μένον δ' ὀπὶ ἤματα πολλὰ.

403 ΒΙ. Βιαίως, βίᾳ.
404 ΑΠ. Διαφθερεῖ, ἀποπάσῃ. ΝΑΙ. Οἰκομένης.
405 ΕΡ. Ἐρωτῆσαι, πυθέσθαι.
406 ΟΠ. Πόθεν. ΠΟΙ. Ἐκ ποίας δῆ.
408 ΑΓ. Ἀπαγγελίαν.
409 ΕΟΝ. Ἑαυτῆ. ΧΡ. Χρέος, ὄφλημα. ΕΕΛ. Ἐπιθυμῶν. ΙΚ. Ἐνθάδε παραγίγνεται, ἐλήλυθεν.
410 ΟΙ. Ἀντὶ τοῦ ὅπως. ΑΦ. Ταχέως.
411 ΩΠ. Τῷ ποθέσθαι. ΕΩ. Ὅμοιος ἦν.
413 ΝΟΣ. Ἡ οἰκάδε ἐπάνοδος.
415 ΘΕ. Μαντείας. ΕΜ. Ἀπαιτῆσαι.
416 ΕΞ. Ἐρώτηται, πύθηται.
421 ΙΜ. Ἐπίασιν, κυκλοῦ.
422 ΤΡ. Τραπέντες. ΕΣ. Ἀντὶ τοῦ ἑαυτέρων, ἑαυτέρων. μιξόπλαστα τῷ ἑαυτέραν εἰς τὸ ἑαυτέρων δεῖπνον.

Τοῖσι δὲ τερπομένοισι μέλας ἐπὶ ἕσπερος ἦλθε·
Δὴ τότε κακκείοντες ἔβαν οἰκόνδε ἕκαστος.
Τηλέμαχος δ' ὅθι οἱ θάλαμος ποτικαλλέος αὐλῆς
Ὑψηλὸς δέδμητο, ποτισκέπῳ ἐνὶ χώρῳ,
Ἔνθ' ἔβη εἰς εὐνήν, πολλὰ φρεσὶ μερμηρίζων.
Τῷ δ' ἄρ' ἅμ' αἰθομένας δαΐδας φέρε κέδν' εἰδυῖα
Εὐρύκλει', Ὦπος θυγάτηρ Πεισηνορίδαο·
Τήν ποτε Λαέρτης πρίατο κτεάτεσσιν ἑοῖσιν
Πρωθήβην ἔτ' ἐοῦσαν, ἑείκοσι βοῦς δ' ἔδωκεν,
Ἴσα δέ μιν κεδνῇ ἀλόχῳ τίεν ἐν μεγάροισιν·
Εὐνῇ δ' οὔποτ' ἔμικτο, χόλον δ' ἀλέεινε γυναικός·
Ἣ οἱ ἅμ' αἰθομένας δαΐδας φέρε, κέ ἑ μάλιστα
Δμωάων φίλεεσκε, καὶ ἔτρεφε τυθὸν ἐοῦσα.
Ὤϊξεν ἄρ' ἥ θύρας θαλάμου πύκα ποιητοῖο·
Ἕζετο δ' ἐν λέκτρῳ, μαλακὸν δ' ἔκδυνε χιτῶνα·
Καὶ τὸν μὲν γραὸς πυκιμήδεος ἔμβαλε χερσίν.
Ἣ μὲν τὸν πτύξασα καὶ ἀσκήσασα χιτῶνα,
Παστάλῳ ἀγκρεμάσασα πὰρ δὲ τρητοῖσι λέχεσσι,

424 ΚΑΚ. Κατακοιμηθησόμεθα.
425 ΘΑ. Ὁ κριτών.
426 ΔΕΔ. Ὡκοδόμητο. ΠΕΡ. Ὑψηλῶ, ὅθεν εἰς ποτισκέψασθαι, ἢ πάντοθεν ὁρωμένῳ, ποτιστατῶ. ΧΩ. Τόπῳ.
427 ΜΕΡ. Διαιούμβω, μεριμνῶν, εἰς πολλὰ μέρη διαιρῶν τὴν ψυχήν.
428 ΑΙ. Καιομένας, λαμπούσας. ΔΑΙ Δάδας, λαμπάδας. ΚΕΔ. Συνεπὶ, ποτισφιλῶ. ΕΙ. Ἐπιχαμαίνῃ.
429 ΩΠ. Περιπαστέον διὰ τὴν ἀντίκρουσιν ποὸς τὸ ὀφθαλμόν. ΘΥ. Εὐρύκλεια.
430 ΠΡΙ. Ἠγόρασεν.
431 ΠΡΩ. Πρώτην ἀκμὴν ἡλικίας ἔχουσαν. ΕΕΙ. Εἴκοσι βοῶν ἄξια.
432 ΙΣ. Ἐπίσης, ὁμοίως. ΚΕΔ. Τιμίαν. ΤΙ. Ἐτίμα.
433 ΕΜ. Ἐμίγη. ΑΛ. Ἐφυλάσσετο.
435 ΦΙ. Ἐφίλει.
436 ΩΙ. Ἀνέῳξεν. ΠΥ. Καλῶς κατεσκευασμένην.
437 ΛΕ. Κοίτη. ΕΚ. Ἐξεδύσατο.
438 ΠΥ. Σωστῆς.
439 ΠΤΥ. Μετ' ἐπιμελείας διπλώσασα.
440 ΤΡΗ. Τρισσυλλιχοῖς, ἱμασιοδέτοις.

Βῆ ῥ' ἴμεν ἐκ θαλάμοιο· θύρην δ' ἐπέρυσε κορώνῃ
Ἀργυρέῃ· ὄπὶ δὲ κληῖδ' ἐτάνυσεν ἱμάντι.
Ἔνθ' ὅγε παννύχιος, κεκαλυμμένος οἷος ἀώτῳ,
Βάλλε φρεσὶν ἦσιν ὁδὸν τὴν πέφραδ' Ἀθήνη.

441 ΕΠ. Ἐφιλκύσατο, ἐπισπάσατο. ΚΟ. Τῷ λιγυμβῳ κόρακι, τῷ ἐπισπάσῳ τὴ θύρᾳ.

442 ΚΛΗ. Τὸ λιγύμβιον ἐφ' ἡμῶν κλεῖθρον. δύο ᾖ τῆτο ἔχειν ἱμάντας ἐκ τῶν ἀγκυλῶν τῶν θυρῶν. ὃν μὲ ἐκ δεξιῶν, ὃν ᾖ ἐξ ἀριστερῶν, ἵνα τὸ διώκοθεν ἀνοῖξαι ἢ κλεῖσαι. νῦν δὲ τὸ κλεῖθρον παρίτασι καὶ παρήκαλα τῷ ἱμάντι.

443 ΑΩ. Τῷ ἀνθεί, καὶ τῷ καλλίσῳ καὶ εὐθυάτῳ. λέγει ᾖ τὸ ἐξ ἀπαλῶν ἰρίων γεγονότων εὐξοόλαιον.

444 ΒΟΥ. Ἐυκλεύειλο. ΠΕ. Εἶπεν, ἐσήμανεν.

ΥΠΟΘΕΣΙΣ

ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΟΔΥΣΣΕΙΑΣ Β

ΤΟΥ ΟΜΗΡΟΥ

ΡΑΨΩΔΙΑΣ.

Συναγαγὼν ἐκκλησίαν Τηλέμαχος, παραγγέλλει τοῖς μνηστῆρσιν ἐξιέναι τῆς οἰκίας καὶ Οὐδυσσέως. λαβὼν δὲ παρὰ μὲν Εὐρυκλείας τὰ ὅπλα τοῦ πατρὸς παρασκευάζεται ἐπὶ ληῒδα, παρὰ δὲ τὸν Ἀλιμήδους υἱὸν καὶ ναυτικοὺς, εἰς πλοῦν ἀνάγεται ἡλίου δύνοντος.

Βῆ δ' ἀγορὴν ἔχοι, ἧΐα γρηὺς, πλοῦν μετ' Ἀθήνας.

ΗΜΟΣ δ' ἠελίοιο Φάνη ῥοδοδάκτυλος ἠὼς,
Ὤρνυτ' ἄρ' ἐξ εὐνῆφιν Ὀδυσσῆος φίλος υἱός,

1 ΗΜΟΣ. Ἡνίκα, ὅτε. ΗΡ. Τὸν ὄρθρον γράφουσι. τινὲς τὸν πρωΐαν, ἢ ἐν τῷ ἦμαρ γράφομένη. ὁ ἔστιν ὄρθρος. ῥοδοδάκτυλος ὁ ἀπὸ τῶν πτερύγων ἀνατολὴς καὶ τῶν χρώματος τοῦ φωτὸς τὸ λαμπρὸν τὸ προϊὸν τὸν ἡμέραν δι' ἐπιθέτων κεκόσμηκεν. ΡΟ. Ῥοδόχειρος, ἀπὸ μέρους καλή. ΗΩΣ. Διάφορα σημαίνει. τὸν τε γὰρ σωματοειδῆ θεὸν λαμπρὸν τὸ φάναι τ' ποιητὴν· ἠὼς σὺ δ' ἐκ λευκὸν πῦρ ἀγαυοὶ Τιθωνοῖο ὄρινθ', ἵν' ἀθανάτοισι φόως φέρῃ, ἠδὲ βροτοῖσι. καὶ τ' ὄρθρον, φερωνύμως κληθέντα ἀπὸ τοῦ ὀρθοῦσθαι ἡμᾶς ἀπὸ τῆς κοίτης, καὶ τὰ οἰκεῖα πρέπουσαν ἔρεα, ὅταν φήσῃ· ἠὼς μὲν κροκόπεπλος ἀνίσταθ' ἁπάσῃ καὶ τὸ ἀπὸ πρωΐας, μέχρις ὥρας ἕκτης λαμπρόν. ὅθεν μὲ ἠὼς ὦν, καὶ αἴξετο ἱερὸν ἦμαρ. καὶ τὸν ὅλον ἡμέραν καθ' ὁ σημαινόμενον ἡμέρα νοεῖται ὁ ἀπὸ ἀνατολῆς τοῦ ἡλίου δρόμου μέχρι δύσεως, ὁπότε τὸν ὑπὲρ ἡμᾶς ποιεῖ φορὰν ὁ θεὸς ἕτος, τὸ παρ' ἡμᾶς διεξιὼν ἡμισφαίριον· οἱ ῥ' ἐξ Ἀσκανίης ἐλαύνοντο ἤλθον ἀμοιβοὶ ἠοῖ τῇ πρωτέρῃ, τότε δὲ Ζεὺς ὦρτο μάχονδε. καὶ, ἦματι τῷ πρωτέρῳ ὅτ' ἐμαίνετο φαίδιμος Ἕκτωρ. καὶ τὸ συναμφότερον ἡμέραν τε καὶ νύκτα, καθ' ὃ σημαινόμενον καὶ παρὰ τοῖς μαθηματικοῖς νοεῖται· ἠὼς δέ μοι ἐστὶν ἤδη δωδεκάτη, ὅτ' ἐς Ἴλιον ἐλήλυθα. καὶ τὸν ἡλίου πάροδον, καὶ τὸ τόπον ὀφεν ἀναλίσκει ὁ ἥλιος, καθ' Ἀρίσταρ-

χον·

Εἵματα ἑσσάμενος· ὤμῳ δὲ ξίφος ὀξὺ θέτ' ὤμῳ.
Ποσσὶ δ' ὑπὸ λιπαροῖσιν ἐδήσατο καλὰ πέδιλα.
Βῆ δ' ἴμεν ἐκ θαλάμοιο θεῷ ἐναλίγκιος ἄντην.
Αἶψα δὲ κηρύκεσσι λιγυφθόγγοισι κέλευσε
Κηρύσσειν ἀγορηνδὲ καρηκομόωντας Ἀχαιούς.
Οἱ μὲν ἐκήρυσσον, τοὶ δ' ἠγείροντο μάλ' ὦκα.
Αὐτὰρ ἐπεί ῥ' ἤγερθεν, ὁμηγερέες τ' ἐγένοντο,
Βῆ ῥ' ἴμεν εἰς ἀγορήν, παλάμῃ δ' ἔχε χάλκεον ἔγχος·
Οὐκ οἶος, ἅμα τῷγε δύω κύνες ἀργοὶ ἕποντο·
Θεσπεσίην δ' ἄρα τῷγε χάριν κατέχεεν Ἀθήνη.
Τὸν δ' ἄρα πάντες λαοὶ ἐπερχόμενον θηεῦντο.
Ἕζετο δ' ἐν πατρὸς θώκῳ, εἶξαν δὲ γέροντες.
Τοῖσι δ' ἔπειθ' ἥρως Αἰγύπτιος ἦρχ' ἀγορεύειν,
Ὃς δὴ γήραϊ κυφὸς ἔην, πολυπείρων δὲ μυρία ἤδη.
Καὶ γὰρ δὴ φίλος υἱὸς ἅμ' ἀντιθέῳ Ὀδυσῆϊ
Ἴλιον εἰς εὐπωλον ἔβη κοίλῃς ἐνὶ νηυσὶν,
Ἀνδροφόνος αἰχμητής· τὸν δ' ἄγριος ἔκτανε Κύκλωψ
Ἐν σπῆϊ γλαφυρῷ, σύματον δ' ὠπλίσατο δόρπον.

χον· ὦ φίλοι, ὃ γάρ τ' ἴδμεν ὅπη ζόφος, ἠδ' ὅπη ἠώς, ἠδ' ὅπη ἠέλιος φαεσίμβροτος ἅπ' ὑπὸ γαῖαν, ἠδ' ὅπη ἀνέτην. νὺξ γὰρ κατὰ φρένα πύκνα κέκασται. 2 ΕΞ. Ἐκ τ κοίτης. 3 ΕΣ. Ἐνδυσάμβω. ΘΕ. Περιέθετο. 10 ΠΑ. Ἀντὶ σκήπτρου τὸ δόρυ κατίσχων, ὡς ὁ συγχωρήσας εἶναι βασιλεύς. 11 ΚΥ. Ὑπὸ σωφροσύνης ἢ ἀσφαλείας χάριν. ΑΡ. Λάθρᾳ, ἢ ταχείᾳ. 12 ΘΕΣ. Θάαν, θαυμαστῶ. ΚΑ. Κατίσχει, κατίσαλεν. 13 ΘΗ. Θαμβηθέντες ἐθαύμαζον. 14 ΘΩ. Τοῦτον οἱ Ἀθηναῖοι φάσκουσι λέγουσιν. ἴσως δὲ καὶ Θήβρα. ΕΙ. Ὑπεχώρησαν. 15 ΑΙ. Ὄνομα κύριον. 16 ΚΥ. Κυφὸς, κεκυρτωμένος. ΗΔ. Ἠπιάτο. 18 ΕΥ. Καλοῖς ἵπποις χρωμένων. 20 ΠΥ. Ἤτοι τ ἐν τάξει ἔχαζον. ἢ ἐπιφωνέον τοῦτο ἄρπαξ, ἢ σύματον τῶν ἐξ, ἢ δόρπου σύματος. ὀκτὼ γὰρ Κύκλωψ

Τρεῖς δέ οἱ ἄλλοι ἔσαν, καὶ ὁ μὲν μνησῆρσιν ὁμίλῳ
Εὐρύνομος, δύο δ' αἰὲν ἔχον πατρώια ἔρκα·
Ἀλλ' ἀδ' ὡς δὴ λήθετ' ὀδυρόμνος καὶ ἀχεύων.
Τοῖς ὄγε δακρυχέων ἀγορήσατο καὶ μετέειπεν·
" Κέκλυτε δὴ νῦν μευ, Ἰθακήσιοι, ὅ, τι κεν εἴπω,
" Οὐδέ ποθ' ἡμετέρη ἀγορὴ γένετ' ἔδε θόωκος,
" Ἐξ οὗ Ὀδυσεὺς δῖος ἔβη κοίλης ἐπὶ νηυσί·
" Νῦν δὲ τίς ὧδ' ἤγειρε; τίνα χρειὼ τόσον ἵκει,
" Ἠὲ νέων ἀνδρῶν, ἢ οἱ πρεσβυτεροί εἰσιν;
" Ἤ τιν' ἀγγελίην σαφέα ἔκλυεν ἐρχομένοιο,
" Ἣν κε καὶ ἡμῖν σάφα εἴπαι ὅτε πρότερός γε πύθοιτο;
" Ἠέ τι δήμιον ἄλλο φαίνεται, ἠδ' ἀγορεύει;
" Ἐσθλός μοι δοκεῖ εἶναι, ὀνήμενος. εἴθέ οἱ αὐτῷ
" Ζεὺς ἀγαθὸν τελέσειεν ὅ, τι φρεσὶν ἦσι μενοινᾷ.
Ὣς φάτο· χαῖρε δὲ φήμῃ Ὀδυσῆος φίλος υἱός,
Οὐδ' ἄρ' ἔτι δηρὸν ἧστο, μενοίνησεν δ' ἀγορεύειν·

λαὸν ἔφασκε, συναπτόμενον τῷ φωτὶ καὶ τὸ ξῆν, ὡς καὶ λέγεται. ΔΟΡ. Τὸ καθ' ἡμᾶς δεῖπνον. τρισὶ δὲ τραφαῖς ἐχρῶντο. καὶ τὴν μὲν πρώτην σκάλην ἄριστον, ὧν ἐλάμβανον πρωΐας, σχεδὸν ὅτι σκοτίας οὔσης. καὶ ἀνομάσθη ἄριστον. ἢ παρὰ τὸ λαμβάνουσας αὐτὰς εἰς τὸν ἄριστον πρόσχισθαι. ἢ ἀπὸ δὲ πρωϊφρίας ταύτην πρώτην τὴν τροφὴν, παρὰ τὸ ἄειρε ἀνομασμένης τὸ λέξεως. μή μοι οἶνον ἄειρε μελίφρονα πότνια μῆτερ. τὴν δευτέραν, δεῖπνον, μεθ' ὃ ἔδει πονεῖν, ὅπερ ἐστὶν ἐργᾶν. λαμβάνοντες γὰρ ταύτην τὴν τροφὴν, πάλιν ἐπὶ τὰ πολεμικὰ ἔργα ἐπόνουν. τὴν δὲ τελίτην, δορπὸν, τὸ καθ' ἡμᾶς λεγόμενον δεῖπνον, καὶ ἐπὶ καὶ τὸ ἔτυμον ἰαύειν πορευόμεθα, ὅπερ ἐστὶ κοιμᾶσθαι. Αἰσχύλος δὲ καὶ τὰ τάξεως τῶν ὀνομάτων μάρτυς ἐστὶ λέγων, ἄριστα δεῖπνα δορπα αἰρεῖσθαι.

21 ΟΜ. Σωανειρίφιτο.
22 ΕΧ. Εἶχεν, κατεῖχον.
26 ΘΟ. Σωιήδριον.
28 ΗΓ. Συνήδροισεν, παρῆρμηται. ΙΚ. Ἀφικνεῖται.
29 ΠΡΟ. Πρεσβύτροι.
30 ΣΤ. Ἤτοι πολεμίων, ἢ τι μετ' Ὀδυσσέως.
31 ΟΤΕ. Ἠίκα. ΠΡΟ. Πρῶτον.
32 ΔΗ. Δημόσιον. ΠΙ. Πρόσημείωσαι.
33 ΟΝ. Ὄνησιν ἑαυτῷ λάβοι, λάβοι τὸ ἄν, ὀνήμενος ἄν.
34 ΜΕ. Κατὰ Δημόσιον σήμειῶ.
35 ΦΗ. Τῇ κλησάσῃ.
36 ΜΕ. Προσθυμήθη.

Στῆ

Στῆ δὲ μέσῃ ἀγορῇ· σκῆπτρον δέ οἱ ἔμβαλε χειρὶ
Κήρυξ Πεισήνωρ πεπνυμένα μήδεα εἰδώς.
Πρῶτον ἔπειτα γέροντα καθαπτόμενος προσέειπε·
" Ὦ γέρον, ἀχ ἑκὰς ὅτος ἀνὴρ (τάχα δ' εἴσεαι αὐτὸς)
" Ὃς λαὸν ἤγειρα· μάλιστα δέ μ' ἄλγος ἱκάνει·
" Οὔτέ τιν' ἀγχελίλιω στρατὸν ἔκλυον ἐρχομένοιο,
" Ἧν χ' ὑμῖν σάφα εἴπω, ὅτε πρότερός γε πυθοίμην,
" Οὔτέ τι δήμιον ἄλλο πιφαύσκομαι ὀδ' ἀγορεύω·
" Ἀλλ' ἐμὸν αὐτοῦ χρέος, ὅ μοι κακὸν ἔμπεσεν οἴκῳ,
" Δοιά· τὸ μὲν, πατέρ' ἐθλὸν ἀπώλεσα, ὅς ποθ' ἐν ὑμῖν
" Τοῖσδεσσιν βασίλευε, πατὴρ δ' ὡς ἤπιος ἦεν·
" Νῦν δ' αὖ κῆ πολὺ μεῖζον, ὃ δὴ τάχα οἶκον ἅπαντα
" Πάγχυ διαρράισῃ, βίοτον δ' ὅπο πάμπαν ὀλέσσῃ·
" Μητέρι μοι μνηστῆρες ἐπέχραον οὐκ ἐθελούσῃ,
" Τῶν ἀνδρῶν φίλοι υἷες οἳ ἐνθάδε γ' εἰσὶν ἄριστοι·
" Οἳ πατρὸς μὲν ἐς οἶκον ἀπιρρίγασι νέεσθαι
" Ἰκαρίου, ὡς κ' αὐτὸς ἑεδνώσαιτο θύγατρα,
" Δοίη δ' ᾧ κ' ἐθέλοι καί οἱ κεχαρισμένος ἔλθοι·
" Οἳ δ' εἰς ἡμέτερον πωλέμενοι ἤματα πάντα,

39 ΚΑ. Ἤτοι τὸ λόγου πρὸς αὐτὸν ποιούμενοι, ἀμειδόμενοι, λοιδορούμενοι, ἢ καταπαύων καὶ πρασπαίζων.
40 ΕΙ. Μαθήσῃ.
42 ΕΚ. Ἥκουσα.
43 ΠΥ. Ἀκούσω.
44 ΠΙ. Προμίλυσα, πρόθυμός εἰμι.
45 ΟΙ. Μετὰ τοῦτο ὑποπτεύω.
46 ΔΟΙ. Δύο ἢ δίχως.
47 ΤΟΙ. Ἐν τούτοις.
49 ΔΙ. Διαφθερεῖ. ΟΛ. Ἀπολεῖ.
50 ΕΠ. Μετὰ βλάβης καὶ ἐπηρείας ἐπῆλθον.
52 ΑΠ. Δεδίασι, φοβοῦνται, δεδίκασιν.
53 ΕΕΔ. Ἔδοσα ἐπιδώσῃ. καὶ κυρίως μὲν ἔδοσα ἐπὶ τὰ οἰδήματα ἀπὸ τοῦ χαμαιτύπης τῇ χαμαιτύπῃ. νῦν δὲ καταχρηστικῶς κεῖται ἡ λέξις, ἀντὶ τοῦ χρήματα ἐπιδιδῷ.
54 Ω. Ὦ ἄν. ΚΕ. Πρόσφιλής, ἡδύς.
55 ΠΩ. Παραμενόμενοι, ἀναστρεφόμενοι. ΗΜ. Πάντα τὰ χρήσιμα.

" Βᾶς ἱερδύοντες καὶ ὄις ϗ πίονας αἶγας,
" Εἰλαπινάζεσι, πίνεσί τε αἴθοπα οἶνον
" Μαψιδίως· τὰ ϗ πολλὰ κατάνεται· ἀ γὰρ ἔπ' ἀνὴρ
" Οἷος Ὀδυσεὺς ἔσκεν, ἀρὴν ἀπὸ οἶκα ἀμῦναι·
" Ἡμεῖς δ' ἀ νύ τι τοῖοι ἀμωσέμεν· ἦ ϵ ἔπειτα 60
" Λευγαλέοι τ' ἐσόμεθα, ϗ ἀ δεδαηκότες ἀλκήν.
" Ἦτ' ἂν ἀμυναίμην, εἴ μοι δύναμίς γε παρείη.
" Οὐ γὰ ἔτ' ἀνοχετὰ ἔργα τετεύχατη, ἀτὰ ἔτι καλῶς
" Οἶκος ἐμὸς διόλωλε. νεμεσήθητε ϗ αὐτοὶ,
" Ἄλλυς τ' αἰδέεθητε περικτίονας ἀνθρώπυς 65
" Οἳ περιναιετάεσι· θεῶν δ' ὑποδείσατε μῆνιν,
" Μήτι μεταστρέψωσιν ἀγασσάμενοι κακὰ ἔργα.
" Λίσομαι ἡμὲν Ζηνὸς Ὀλυμπίε ἠδὲ Θέμιςος,
" Ἦτ' ἀνδρῶν ἀγορὰς ἡμὲν λύει ἠδὲ καθίζει,
" Σχέεθε φίλοι, καί μ' οἶον ἐάσατε πένθει λυγρῷ 70
" Τείρεθ'· εἰ μήπα τι πατὴρ ἐμὸς ἐθλὸς Ὀδυσεὺς
" Δυσμενέων κάκ' ἔρεξεν ἐϋκνήμιδας Ἀχαιούς·

56 ΙΕ. Θύοντες. Ο. Πρίασθαι. ΠΙ. Λιπαρὰς.

57 ΕΙ. Ἐν ἀθροίσμασι εὐωχῶνται, ἑορτάζουσιν.

58 ΜΑ. Ματαίως. ΚΑΤ. Καταναλίσκεται.

60 Η. Ὅντως γὰρ ἂν μετὰ τὸ ἐπιχειρῆσαι.

61 ΛΕΥ. Ἀσθενεῖς, ἀδυνάτοι. ΔΕ. Εἰδότες, μεμαθηκότες. ΑΛ. Τὸν τρόπον τῆ βοηθείας, δύναμιν.

62 ΑΜ. Ἀντὶ τοῦ, ἠμυνάμην.

63 ΑΝ. Ἀναχεται, καταβρωτικά. ΤΕ. Καπνοδυσαμένα ἐστίν.

64 ΔΙ. Διεφθάρη, ἀπώλετο. ΝΕ. Μεμπτοὶ ἠγήσασθε.

65 ΠΕ. Τοὺς περιοικοῦντας.

66 ΝΑΙ. Οἰκοῦσιν. ΥΠ. Φοβηθητε.

67 ΜΕ. Μεταβάλωσιν. ΑΓ. Χολωθέντες.

68 ΘΕ. Αἰολικῶς τὸ Θέμιδος.

69 ΗΤ. Τινὲς φέρηται εἰς τὰς ἐκκλησίας ἀσφάρεσθαι Θέμιδος ἄγαλμα.

70 ΣΧΕ. Βοηθήσατε. τὸ γὰρ φίλον ἀνάγκασον τῶν μνηστήρων, ἵνα ἡ ἐπιχειρῶσι.

71 ΤΕΙ. Καταπονεῖσθαι.

72 ΔΥ. Ἐλθοῦσιν. ΚΑ. Ἐκκλησία.

" Τῶν

" Τῶν μ' ἀποτινύμενοι κακὰ ῥέζετε δυσμενέοντες,
" Τέτρας ὀτρύνοντες· ἐμοὶ δέ κε κέρδιον εἴη
" Ὑμέας ἐσθέμεναι κειμήλιά τε πρόβατόν τε·
" Εἴ χ' ὑμεῖς γε φάγοιτε, τάχ' ἄν ποτε καὶ τίσις εἴη.
" Τόφρα γὰρ ἂν κατὰ ἄστυ πολιπλυτοίμεθα μύθῳ,
" Χρήματ' ἀπαιτίζοντες, ἕως κ' ἀπὸ πάντα δοθείη.
" Νῦν δέ μοι ἀπρήκτους ὀδύνας ἐμβάλλετε θυμῷ.
Ὣς φάτο χωόμενος, ποτὶ δ' σκῆπτρον βάλε γαίῃ,
Δάκρυ' ἀναπρήσας· οἶκτος δ' ἕλε λαὸν ἅπαντα.
Ἔνθ' ἄλλοι μὲν πάντες ἀκὴν ἔσαν, ὄφρά τις ἔτλη
Τηλέμαχον μύθοισιν ἀμείψασθαι χαλεποῖσιν·
Ἀντίνοος δέ μιν οἷος ἀμειβόμενος προσέειπεν·
" Τηλέμαχ' ὑψαγόρη, μεγάθυμε, ἄσχετε, ποῖον ἔειπες,
" Ἡμέας αἰσχύνων; ἐθέλεις δέ κε μῶμον ἀνάψαι.
" Σοὶ δ' ὄτι μνηστῆρες Ἀχαιῶν αἴτιοί εἰσιν,
" Ἀλλὰ φίλη μήτηρ, ἥ τοι περὶ κέρδεα οἶδεν·
" Ἤδη γὰρ τρίτον ἐστὶν ἔτος, τάχα δ' εἶσι τέταρτον,
" Ἐξ οὗ ἀτέμβει θυμὸν ἐνὶ στήθεσσιν Ἀχαιῶν·

73 ΤΩΝ. Ὑπὲρ ὧν. ΑΠ. Τιμωρέμβροι. ΡΕ. Πραπίτη. ΔΥΣ. Δυσχραίνοντες, ἐχθρωδῶς βλοσυρόμβροι.
74 ΟΤ. Παροξύνοντες, διεγείροντες.
75 ΠΡΟ. Πρόσθεν, ἀπὸ δ' ἀπαίνυσθαι ἐκ τούτου τὴν οὐσίαν. ΠΡΟ. Τῶν τετραπόδων κτῆσιν.
76 ΤΙ. Ἀπόδοσις.
77 ΠΟ. Προστριζοίμεθα, παραβάλλοιμεν, ἢ ἀχώριστοι γενοίμεθα.
78 ΑΠ. Ἀπαιτοῦντες. ΕΩΣ. Μέχρις ὅτε.
79 ΑΠ. Ἀπαίτησις.
81 ΔΑ. Δακρύων πλῆθος ἀθύμους. ΟΙΚ. Ὀδυρμός, λύπη.
82 ΑΚ. Ἡσυχοι ἦσαν, ἱστάμενοι.
84 ΑΜ. Ἐξ ἀμοιβῆς ἀντιπροκριτόμενος.
85 ΥΨ. Μεγαλορήμων. ΜΕ. Ἀκαπάστῳ τῇ δυνάμει. ἀρρωστῶς, ἀδύνατε.
86 ΜΩ. Φόβον. ΑΝ. Περιποιῆσαι, ἀφελεῖσθαι.
88 ΚΕΡ. Δόλος, πανουργίαν, ἢ συνίσεις.
89 ΕΙ. Ἐλεύσεται.
90 ΑΤ. Στερίσκει, ἀφαιρεῖται.

" Πάντας μέν ῥ' ἔλπε, χ' ὑπίσχε' ἀνδρὶ ἑκάστῳ,
" Ἀγγελίας πεφιεῖσα, νόος δέ οἱ ἄλλα μενοινᾷ.
" Ἡ δὲ δόλον τόνδ' ἄλλον ἐνὶ φρεσὶ μερμήριζε·
" Στησαμένη μέγαν ἱστὸν ἐνὶ μεγάροισιν ὕφαινε,
" Λεπτὸν καὶ πύκνιμον· ἄφαρ δ' ἡμῖν μετέειπεν·
" Κῶροι, ἐμοὶ μνηστῆρες, ἐπεὶ θάνε δῖος Ὀδυσσεύς,
" Μίμνετ' ἐπειγόμενοι τὸν ἐμὸν γάμον, εἰσόκε φᾶρος
" Ἐκτελέσω, (μή μοι μεταμώλια νήματ' ὄληται)
" Λαέρτῃ ἥρωϊ ταφήϊον, εἰς ὅτε κεν μιν
" Μοῖρ' ὀλοὴ καθέλῃσι ταναηλεγέος θανάτοιο·
" Μήτις μοι κατὰ δῆμον Ἀχαιϊάδων νεμεσήσῃ,
" Αἴκεν ἄτερ πείρης κεῖται, πολλὰ κτεατίσας.
" Ὡς ἔφαθ'· ἡμῖν δ' αὖτε πεπείθετο θυμὸς ἀγήνωρ.
" Ἔνθα καὶ ἡματίη μὲν ὑφαίνεσκε μέγαν ἱστὸν,
" Νύκτας δ' ἀλλύεσκεν, ἐπὴν δαΐδας παρθείτο.
" Ὡς τριέτες μὲν ἔληθε δόλῳ, Ϛ ἔπειθεν Ἀχαιούς·
" Ἀλλ' ὅτε τέτρατον ἦλθεν ἔτος, καὶ ἐπήλυθον ὧραι,

91 ΕΛ. Εἰς ἐλπίδα ἄγλ.

95 ΠΕ. Μίζα.

98 ΜΕ. Μάταια, μὴ ὀνεῖν, μὴ ὄνια, μάταια, καὶ μάλακα, ὡς νίτρον, λίτρον· πνεύμων, πλεύμων.

99 ΤΑ. Ἐνταφίων. κ' παρήγησιν ἕξη, ὡς πολεμήϊον.

101 ΝΕ. Μίμψηται.

102 ΑΙ. Ὡς ἀξίως ἱματίου ἀπαιτίζοντος αὐτῆ· ὃ γὰρ παιδικῶς ἐπαναίζε. ἀπείρων ὕφασμα, δυνάμενον ἀπείρων· καὶ ἀπαρχαῶν, τὸ αὐτῷ ἀπεπεράσμενον, ἢ ἡμάπων· ὡς τὸ, ἀπείρων κακὰ ἀρφ' ὤμοισι.

104 ΕΝ. Τότε, χρονικῶς. ΗΜ. Ἡματίη μὲν ὑφαίνεσκε, Νύκτας δ' ἀλλύεσκεν, σχῆμα παραλήσεως.

105 ΔΑ. Εὐπλοκίας ἑρμηνῆς δηλωτικὴ, ἡ τῶν δᾴδων παραθήσις. Πάνιλλος, φασὶν, ἡ φιλοσοφία. ἴσως, ἡ ἐπίθεσις τῶν ἀφετάσεων, ἐξ ὧν αἱ συλλογιστικαὶ συμπλοκαί. ἀνάλυσις ἡ ὕστερον καλουμένη παρὰ τοῖς φιλοσόφοις· ἃς οὐκ ἐπαίουσιν οἱ ταχεῖς, Ϛ ἀπαίπαλοι μνηστῆρες. διὸ καὶ παύουσιν αὐτὴν, κύδιστε αὖθις ἐπορίψαντες ἰωυτῷ. θεῖον γὰρ ἔργον τὸ τοιοῦτον. διὸ καὶ ἡ Πάνιλλος λέγε ἐξῆς, θεὸν ἐμπνεῦσαι αὐτῇ τὰ καὶ τὰ τοιοῦτον ἐοῦ. θεράπαινα δ', ἡ ἀφετητικὴ τῆ φιλοσοφίᾳ συλλογιστικὴ μίθυδος· δαιδὸς δ', αἱ τῶν γνώσεων.

107 ΩΡ. Ὥραι τῶ πτάρτω ἔτους. ὡς συμπεσοῦσθαι ἴλιγγα, τάχα δ' εἰσὶ τέτριφθαι, οἷον πλειωθῆσι.

" Καὶ

" Καὶ τότε δή τις ἔειπε γυναικῶν ἡ σάφα ᾔδη,
" Καὶ τῷ γ' ἀλλύεσθαι ἐφαίνομεν ἀγλαὸν ἦμαρ.
" Ὡς τὸ μὲν ἐξετέλεσσε, κὴ οὐκ ἐθέλοντ' ὑπ' ἀνάγκης.
" Σοὶ δ' ὧδε μνηστῆρες ὑποκρίνονται, ἵν' εἰδῇς
" Αὐτὸς σῷ θυμῷ, εἰδῶσι δὲ πάντες Ἀχαιοί·
" Μητέρα σὴν ἀποπεμψον, ἄνωχθι δέ μιν γαμέεσθαι
" Τῷ ὅτεῳ τε πατὴρ κέλεται, ᾧ ἀνδάνῃ αὐτῇ.
" Εἰ δ' ἔτ' ἀνήσει γε πολιὰ χρόνον ἷας Ἀχαιῶν,
" Τὰ φρονέουσ' ἀνὰ θυμὸν, ἃ οἱ πέρι δῶκεν Ἀθήνη,
" Ἔργα τ' ἐπίστασθαι περικαλλέα, κὴ φρένας ἐσθλὰς,
" Κέρδεά θ' οἷ' ἔπω τίν' ἀκούομεν ἀνδρὸς παλαιῶν,
" Τάων αἳ πάρος ἦσαν εὐπλοκαμῖδες Ἀχαιαὶ,
" Τυρώ τ', Ἀλκμήνη τε, εὐπλόκαμός τε Μυκήνη·
" Τάων ὅτις ὁμοῖα νοήματα Πηνελοπείη
" Ἤδη. ἀταρ μὲν τοῦτό γ' ἐναίσιμον οὐκ ἐνόησεν.
" Τόφρα γὰρ ἂν βίοτόν τε τεὸν κὴ κτήματ' ἔδοντας,
" Ὄφρά κε κείνη τοῦτον ἔχῃ νόον ὁππνά οἱ νῦν
" Ἐν στήθεσι πυθοῖσι θεοί· μέγα μὲν κλέος αὐτῇ

108 ΕΕΙ. Ποιητικὴ οἰκονομία ἐς τὰ ἰξῆς, ἵνα κὴ τῶν τῶ Ἡρακλειτῶν ἀναίρεσιν ἑτοίμως παραδεξώμεθα. δηλοῦται γὰρ ἡ θελκτικὴ ἀπάτη.

110 ΑΝ. Τῷ βίᾳ τῶν μνηστήρων ἐδήλωσεν.

111 ΩΔ. Ἀντὶ τοῦ ἔτως ἀπεκρίνετο. ὅρα δὲ ὅπερ ὁ Ἀντίνοος ἐαυτὸς τὰς ὅλας μνηστῆρας ὑποκρίνεται ὡς αὐτὸς ἂν οἱ πάντες, καλῶς ὥρα τῶν πάντων αὐτὸς πίστιν ὑπ' Ὀδυσσέως βληθείς.

114 ΟΤ. Ὅτῳ, ὡς Πηνελόπῃ. τῶν γὰρ τὰ γνώμης Ἰκαρίου δεδήλωται καὶ σὺ ἄκους· Ἤδη γάρ ῥα πατέρ τε κασίγνητοί τε κέλονται Εὐρυμάχῳ γήμασθαι.

115 ΕΙ. Ἡ ἀνταπόδοσις, σὺ τοῦ, ἡμεῖς δ' οὔτ' ἐπὶ ἔργα, τὰ ἢ λοιπὰ διὰ μέσου, ἢ ἀναβαπόδοτον τὸ, εἰ, καθ' ὡς εἴωθε ποιεῖν. ὡς κὴ τὸ, ἀλλ' εἰ μὲ θάσσουσι γέρας.

116 Α. Πικρῶς καθαψάμενος τῆς Πηνελόπης Δαοκίης αὐτῷ βελέων τοῖς ἐγκωμίοις.

118 ΚΕΡ. Παυεργούμενα· οὐχ ὡς ἡμεῖς, τῷ φιλοχρηματίαν.

119 ΕΥ. Εὐπλοκάμις, ὡς εὐκρήπις, πολυψήφις.

120 ΜΥ. Ἰσάχε θυγάτης ἐ Μιλίας τῶ Ὠκεανῶ.

125 ΘΕ. Θοίσφον λέγ τῷ Πηνελόπῃ, ἀλλ' ἐχ ἔτως ὁ νεῦς. ἀλλ' ἐρεθίζει

" Ποιεῖτ', αὐτὰρ σοί γε πρὸ μὲν τολέος βιότοιο.
" Ἡμεῖς δ' ὅτ' ὀπὶ ἔργα πάρος γ' ἴμεν, ὅτέ πη ἄλλῃ,
" Πρίν γ' αὐτὼ γήμασθαι Ἀχαιῶν ᾧ κ' ἐθέλῃσιν.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
" Ἀντίνο', ἔπως ἐστὶ δόμων ἀέκοντα ἀπῶσαι
" Ἣ μ' ἔτεχ', ἣ μ' ἔθρεψε· πατὴρ δ' ἐμὸς ἄλλοθι γαίης
" Ζώει, ὅγ' ἢ τέθνηκε. κακὸν δέ με πολλ' ἀποτίνειν
" Ἰκαρίῳ, αἴκ' αὐτὸς ἑκὼν ἀπὸ μητέρα πέμψω.
" Ἐκ γὰρ τοῦ πατρὸς κακὰ πείσομαι, ἄλλα δὴ δαίμων
" Δώσῃ· ἐπεὶ μήτηρ συγερὰς ἀρήσετ' Ἐρινῦς
" Οἴκῳ ἀπερχομένῃ, νέμεσις δέ μοι ἐξ ἀνθρώπων

ζίζει τ' Τηλέμαχον ἀπάσασθαι τῶν μητέρα· ἡ γὰρ τὸ ἴδιον συμφέρον παρορᾷ τὰ τοῦ Τηλεμάχου. ἔστι δὲ τοῦτο καὶ φημὶ ἐχημαλισμένη. ἀληθῶς γὰρ ἄτως ἀπέῃ τοῖς μνηστῆρσι.

127 ΗΜ. Τοῦτο πρὸς κηδεστοῖς μνηστῆρσιν, ἐξὸν σωθῆναι ἄλλῳ τρόπῳ μένας, ὅμως πάνυ ὀμοῦ εὑρεθέντες, πανωλεθρίαν ἔπαθον. καὶ ἴσῃ ἂν ὁ πηλοῦ λαὸς ἐστὶ τοῦ Ἀντινόου λόγος, ὡς εἰά τις κατὰ τὴν μνηστῆρων προειληλυθὴ ἀναφάνησις.

130 ΑΝ. Πυκνότητα, καὶ σωτηρίαν, καὶ ἰσχὺν νοημάτων ἐνδέικνυται ὁ Τηλέμαχος. ΑΠ. Καὶ ἄτος τεχνικῶς αἴσω μελετᾷ τῶν ἀντίρρησιν ποιεῖται. πρὸς μὲν γὰρ τὴν ἀπάτης καὶ τὴν ὑποχίσεως σιωπᾷ. παρατηρήσας δὲ ὅπη μάλιστα ἀπηρυθριάσῃ ὁ Ἀντίνοος, πρὸς τοῦτο τῶν ἀντίρρησιν ποιεῖται. ἔστι γὰρ πρόσφορον ἐν πλήθει, τὴν ὑπὲρ τῆς φύσεως λόγον ἀντικρούσασθαι. ὅρα δὲ καὶ τῶν ὑπαλλαγῶν τοῦ ῥήματος. ὁ μὲν ψιλῶς εἶπεν, ἀπέπεμψον. ὁ δὲ οὐκ ἂν φησὶν ἀπώσασθαι. ἐκ ὁ μὲν μισέσα. ὁ δὲ ἐμὲ ἔτεκε, καὶ μ' ἔθρεψε, καὶ ἐπὶ τούτοις τὸ ἐνίψω.

131 ΕΘΡ. Ἐπίτασιν δηλοῖ γνησιότητος τὸ, ἣ μ' ἔθρεψε. πολλὴ γὰρ μισέ-

ρες ἀντιδίκοις ταῖς τίτθαις τὰ τίκτα· διὸ καὶ ἀποτίργονται ἀπὸ τῶν ἄπιστον ἀλήθειαν.

132 ΚΑ. Κατ' ἔνια τῶν ὑπομνημάτων, ἡ τούτων ἐξήγησις ἡμάρτη). φασὶ γὰρ ὡς ἔθος, εἴ τις ἑκὼν ἐξ οἴκου γυναῖκα ἀπέπεμψε, χρήματα ἀπολύειν τοῖς αὐτῆς συγγενέσι, καὶ τῷ πατρί. φησὶν οὖν ὅτι κακὸν ἐστι, καὶ οἷον ἀλυσιτελὲς ἐκδιδόναι τὴν οἴκων τῶν μητέρα· πολλὰ γὰρ ἀποτίσει τῷ Ἰκαρίῳ. ἄμεινον δὲ οὕτω λαμβάνειν. ΚΑ. Καὶ ὁ πρὸ χρημάτων φησὶν, ἀλλὰ πρὸ τῶν ἐπαγομένων. οὐ γὰρ ἐκ πατρὸς κακὰ πείσομαι, ἀλλὰ ἢ δαίμων δώσῃ. εἶπα καὶ ὑποστὰν αἴκε αὐτὸς Ἰκαρίῳ ἀποπέμψω τῶν μητέρα. ἐπεὶ, εἰ πρὸ χρημάτων ἔλεγε, σμικρολόγος ἀνεφαίνετο ἐκ πατρός. ὁ γὰρ ἀπιγνώκει αὐτὸν· ἐπειδὴ φησίν, ὀστόμβῳ πατήρ· ἐθλὸν οὐ φρεσίν. ἄλλως τε καὶ Καλλίμαχον, χαλεπὴ μέλλουσ ἐπιχθονίων. διὸ Ἀρίσταρχος ἀτιθεῖ τὸ, ἔστεται· ὡς ὁ τοῦτον ἐγὼ πόλι μῦθον ἐείψω. πρέπωδες γάρ ἐστι ὁ πρὸς ταύτῃ τῶν ἀποδόσιν.

135 ΑΡ. Τοῦτο ἴλιγγον ἐπιφέρειν τῷ δεῖνι οἱ ὕστερον, ὡς παρὰ Φερεκράτει.

" Ἔστε).

" Ἔστε· ὡς δ' αὖτόν ἐγώ πε μῦθον ἐνίψω.
" Ὑμέτερος δ' εἰ μὲν θυμὸς νεμεσίζεται αὐτῶν,
" Ἐξιτέ μοι μεγάρων, ἄλλας δ' ἀλεγύνετε δαῖτας,
" Ὑμὰ κτήματ' ἔδοντες, ἀμειβόμενοι κατὰ οἶκους·
" Εἰ δ' ὑμῖν δοκέει τόδε λωΐτερον καὶ ἄμεινον
" Ἔμμεναι, ἀνδρὸς ἑνὸς βίοτον νηποινον ὀλέσσαι,
" Κείρετ'· ἐγὼ δὲ θεοὺς ὀπιπεύσομαι αἴσιν ἐόντας,
" Αἴκέ πε Ζεὺς δῶσι παλίντιλα ἔργα γενέσθαι·
" Νήποινοί κεν ἔπειτα δόμων ἔντοσθεν ὄλοισθε.

Ὣς φάτο Τηλέμαχος· τῷ δ' αἰετὼ εὐρύοπα Ζεὺς
Ὑψόθεν ἐκ κορυφῆς ὄρεος προέηκε πέτεσθαι.
Τὼ δ' ἔως μέν ῥ' ἐπέτοντο μετὰ πνοιῇς ἀνέμοιο,
Πλησίω ἀλλήλοισι πεπαιομένω πτερύγεσσιν·
Ἀλλ' ὅτε δὴ μέσσῃσιν ἀγορὴν τολύφημον ἱκέσθην,
Ἔνθ' ὑπεδινήθησε τινασσόμενα πτερὰ πολλὰ,
Ἐς δ' ἰδέτην πάντων κεφαλὰς, ὄσσοντο δ' ὄλεθρον·
Δρυψαμένω δ' ὀνύχεσσι παρειὰς ἀμφί τε δειρὰς,

137 ΕΝ. Τὸ μὴ σφοδρότητα· καὶ ἀπειλὴς λέγειν. σκαπτωσῶν, λοιδορήσων.

146 ΑΙ. Ἡ μὲ ἐξ ὄρνις ἄφιξις, τὴν ἐξ ἀρχῶν ἐπάνοδον Ὀδυσσέως, καὶ τοῦ παιδὸς σημαίνει· καὶ ἡ μὲν σὺν ἀρχαῖς ἠρεμαίαις πῆσις, τὴν μὴ ἡσυχίας κάθοδον· ὁ δὲ κῆ τὴν ἀγορὰν αὐτῶν θόρυβος, τὴν κῆ τὴν πόλιν χθομένην παρεχόν· ὁ δὲ πλαγμὸς τῶν πτερῶν, ἀπώλειαν καὶ ἐλάττωσιν τῶν ἀρχομένων· τὸ δὲ καθαρύψαι τὰς παρειὰς, τὸν τῆς μνηστῆρας ἐσθίοντας φησίν· ἀφ' ὧν τὸ κῆ ἀκαθαλὰς ὁρμῆσαι, ὅτι οἱ μὲν δύο νικήσουσιν, οἱ δὲ μνηστῆρες εἰς ζόφον χθήσονται.

148 ΕΩΣ. Τίνες, μέχρι χρόνου τινὸς. ΜΕΤ. Ὡς ἡσυχῇ τὸ ἴρτον τὰ σφῶν τε ἀφχειριζόμενοι.

149 ΠΛΗ. Ἐπὰ εἰς ἀπίστατον ἀλλήλων ταῖς βυλαῖς.

151 ΠΤΕ. Ἡ διότι πολλὰς ἀπόκλοπος καὶ τῶν ὑπηκόων, μνηστῆρας ἢ καὶ κήρυκας, καὶ τινας τῶν ἔνδοθεν· ἢ διότι γυναικώσεσι τὰς μνηστῆρας οἱονεὶ ἐπαφίεντες πλεονάζουσι.

152 ΠΑΝ. Κοινῶν βλάβην δηλοῖ.

153 ΔΡΥ. Ἐπειδὴ ἐν μόνον μνηστῆρσιν, ἀλλὰ καὶ πολλοῖς ἄλλοις Ἰθακησίων ἔσται κακὰ· καὶ πολλοὶ τὰς παρειὰς ἐπ' αὐτῷ δρύψονται. καὶ Ἰαμβλιχος οἴδε, ὀργίζας, οἱ αὐτοὶ ἑαυτὲς ἀναιρέσουσι, ἐπὶ δηλώσει μέλλοντος κακοῦ, ὑπὸ τῆς φύσεως μίντοι.

Δεξιὸν

Δεξιὰ ἴἵξαν ἀφ' τ' οἰκία καὶ πόλιν αὐτῶν.
Θάμβησαν δ' ὄρνιθας ἐπεὶ ἴδον ὀφθαλμοῖσιν,
Ὥρμηναν δ' ἀνὰ θυμὸν ἄπερ τελέεσθαι ἔμελλον.
Τοῖσι δὲ καὶ μετέειπε γέρων ἥρως Ἀλιθέρσης,
Μαστορίδης· ὃ γὰρ οἷος ὁμηλικίην ἐκέκαστο
Ὀρνιθας γνῶναι, καὶ ἐναίσιμα μυθήσασθαι·
Ὁ σφιν ἐὺ φρονέων ἀγορήσατο καὶ μετέειπε·
" Κέκλυτε δὴ νῦν μευ, Ἰθακήσιοι, ὅ, τι κεν εἴπω·
" Μνηστῆρσιν δὲ μάλιστα πιφαυσκόμενος τάδε εἴρω,
" Τοῖσιν γὰρ μέγα πῆμα κυλίνδεται· ὃ γὰρ Ὀδυσεὺς
" Δὴν ἀπόνοσθε φίλων ὢν ἔοτε), ἀλλά πε ἤδη
" Ἐγγὺς ἐὼν, τοῖσδεσι φόνον καὶ κῆρα φυλεύῃ
" Πάντεσσιν· πολέσιν δὲ καὶ ἄλλοισιν κακὸν ἕψει,
" Οἳ νεμόμεθ' Ἰθάκην εὐδείελον· ἀλλὰ πολὺ πρὶν
" Φραζώμεθ', ὡς κεν καταπαύσομεν, ἠδὲ καὶ αὐτοὶ
" Παυέσθων· καὶ γάρ σφιν ἄφαρ τόδε λώϊον ἔσιν.
" Οὐ γὰρ ἀπείρητος μαντεύσομαι, ἀλλ' εὖ εἰδώς·
" Καὶ γὰρ ἐκείνῳ φημὶ τελευτηθῆναι ἅπαντα,

154 ΔΕ. Ἀνατολικοὶ οἱ αἴσιοι. ΠΟ. Ἢ τῶ Ἰθακησίων, ἢ τῶ ἀετῶν, ὡς ἐπαναστραφέντων ἐνθα ὦκραν. ὃ καὶ ἐθήλυ, ὡς καὶ Ὀδυσεὺς καὶ Τηλέμαχθ ἀπελθόντες τὰς μνηστῆρας, αὖθις εἰς ἀρχὰς ἀπλεύσαντας, ἵνα πάλιν καὶ οἰκίαν τὴν καθάπαυσιν τῶ ἀετῶν λέγῃ, ἀφ' τιμὴν τῶ βασιλικῶ τούτω ζώω.

156 ΩΡ. Οἱ γὰρ κακοὶ τὰς πτᾶξεις κακὰς καὶ τὰς ἐλπίδας ἔχουσι. τὰ δὲ τοιαῦτα τῶ σημείων, τοῖς μὲ ἀγαθοῖς, τὸ θυμοειδὲς, τοῖς δ πονηροῖς λοιπὸν περιποιεῖται τῶ τολμωμένων.

157 ΓΕ. Τοιούτων γὰρ ἀετῶν, ἡ ποταμοῦ ἢ λιμνοθαλάσσης, ἢ ὄρους ἢ πεδίου, ἢ ἄλλου τινὸς τοιούτου, ἐπιφανέντων ἐν τῶ ἀριστερῶ μέρει τῶ ἀνθρώπου, ἢ ἐν τῶ δεξιῶ, ἢ ἐν τῶ ἀριστερῶ τῶ ἵππου, ἢ ἐν τῶ δεξιῶ τῶ ἵππου, ἢ ἐν τῶ ἀριστερῶ τῶ ἅρματος, ἢ ἐν τῶ δεξιῶ τῶ ἅρματος, ἢ ἐν τῶ ἀριστερῶ τῶ ἡνιόχου, ἢ ἐν τῶ δεξιῶ τῶ ἡνιόχου

" Ὡς οἱ ἐμυθέσμην, ὅτε Ἴλιον εἰσανέβαινεν
" Ἀργεῖοι, μετὰ δὲ σφιν ἔδη πολύμητις Ὀδυσεύς.
" φὴν κακὰ πολλὰ πεθόντ', ὀλέσαντ' ἀπὸ πάντας ἑταίρους,
" Ἄγνωστον πᾶσιν ἐεικοστῷ ἐνιαυτῷ
" Οἶκαδ' ἐλεύσεσθ'· τάδε δὴ νῦν πάντα τελεῖται.
Τὸν δ' αὖτ' Εὐρύμαχος Πολύβου πάις ἀντίον ηὔδα·
" Ὦ γέρον, εἰ δ' ἄγε νῦν μαθέτω σοῖσι τέκεσσιν,
" Οἶκαδ' ἰὼν, μήπω τι κακὸν πάσχωσιν ὀπίσω·
" Ταῦτα δ' ἐγὼ σέο πολλὸν ἀμείνων μαντεύσομαι.
" Ὄρνιθες δέ τε πολλοὶ ὑπ' αὐγὰς ἠελίοιο
" Φοιτῶσ', οὐδέ τε πάντες ἐναίσιμοι· αὐτὰρ Ὀδυσεὺς
" Ὤλετο τῆλ'· ὡς κε σὺ καὶ φθίαο σὺν ἐκείνῳ
" Ὤφελες· οὐκ ἂν τόσσα θεοπροπέων ἀγόρευες,
" Οὐδέ κε Τηλέμαχον κεχολωμένον ὧδ' ἀνιείης,
" Σῷ οἴκῳ δῶρον πτιδέγμενος αἴκε πόρῃσιν·
" Ἀλλ' ἔκ τοι ἐρέω, τόδε δ' ἐτετελεσμένον ἔσται,
" Αἶψα νεώτερον ἄνδρα, παλαιά τε πολλά τε εἰδώς,
" Παρφάμενος ἐπέεσσιν ἐπτρωπᾶς χαλεπαίνειν,
" Αὐτῷ μέν οἱ πρῶτον ἀνιηρέστερον ἔσται,

172 ΩΣ. Σωκαπέον ἐως τὸ πολύμητις Ὀδυσεὺς, δωϊκῶς δέ τις ἐπὶ τῷ μυήσομαι φέρειν, τοις ἀνω αὐτα λαπεδαίες, καὶ ἀφ' ἑτέρας ἀρχῆς ἀναγινώσκειν, ἐπ' Ἴλιον ἀπωϊόμενον, ἵν' ὑποστίξωμεν μὴ τὸ Ἀργεῖοι, καὶ Ὀδυσεύς. ἡ ὃ λαπάσις, φὴν κακά.

174 ΦΗΝ. Μέχρι τῷ, τάδε δὴ νῦν πάντα τελεῖται, σύνεψις τάσης τῆς Ὀδυσσείας. ΦΗΝ. Ἔφην, ἔπος.

183 ΩΣ. Τὸ ὡς ἀπαφερικόν ἐστι, καὶ σωκαπέον ἐπὶ τῷ ἐπαίνω. ἢ ἀπὸ τῷ, εἴτε, ἢ λαπὸ ἄκρης ἀρχῆς αὐτὸ ἀναγνωστέον.

185 ΑΝ. Ἀπὸ τῷ ἀνίημι, ὡς πθάσης. κωμικικὴ ἡ λέξις· ὅτε τις κωφὸς τοῦ δεσμοῦ ἀνὰς, ἄφησε καὶ θηρίς. θυσυντέον· ἔστι γὰρ ἀντὶ τῷ ἀναπεθεις. λαπὸ μεταφορᾶς τῶν κωμῳδῶν, τῶν ἰφίντων ἐμαυτὸς τοῖς κυσίν. ψιλεῖ ὃ Ἐλλάνικος παρὰ τὴν ἀνίαν, ὀπεδεχόμθ- τὸ λυπέσης. εἰ γὰρ τᾶτο, ἐχρῆν χραφειν, ἀνιᾷς. τοιαῦτα γὰρ ὧν συζυγία.

189 ΠΑΡ. Παραπέσης, παροχλοζόμθ.

190 ΑΝ. Λυπηρότερον. ὡς τὸ αἰδεσίεσσον. ὤφελε γὰρ ἀνιηρότερον· ὅτω καὶ ἀμορφίστερον,

" Πρῆξαι δ' ἔμπης ὅτι δωήσεαι εἵνεκα τῶνδε·
" Σοὶ δ', γέρον, ἀθλὼ ὀπιθήσομεν ὃν κ' ἐνὶ θυμῷ
" Τίνων ἀχάλλῃς· χαλεπὸν δέ τοι ἔσεται ἄλγος.
" Τηλεμάχῳ δ' ἐν πᾶσιν ἐγὼν ὑποθησομαι αὐτὸς,
" Μητέρα ἣν ἐς πατρὸς ἀνωγέτω ἀπονέεσθαι,
" Οἱ δὲ γάμον τεύξῃσι, Ϲ ἀρτιωέτην ἔεδνα
" Πολλὰ μάλ', ὅσα ἔοικε φίλης ἐπὶ παιδὸς ἕπεσθαι.
" Οὐ γὰρ πρὶν παύσασθαι οἴομαι ἦας Ἀχαιῶν
" Μνηστῦος ἀρηλέης· ἐπεὶ ἤτινα δείδιμεν ἔμπης,
" Οὔτ' ἂν Τηλέμαχον μάλα περ πολύμυθον ἐόντα·
" Οὔτε θεοπροπίης ἐμπάζομαι ἣν σὺ, γεραιὲ
" Μύθεαι ἀκράαντον, ἀπηχθάνεαι δ' ἔτι μᾶλλον.
" Χρήματα δ' αὖτε κακῶς βεβρώσεται, οὐδέ πῃ ἴσα
" Ἔσται, ὄφρά κεν ἧγε Διὰ τριετηρίδα Ἀχαιὺς
" Ἄλλον γάμον· ἡμεῖς δ' αὖ πτιδέγμενοι ἤματα πάντα,
" Εἵνεκα τ' ἀρετῆς ἐριδαίνομεν, οὐδέ μετ' ἄλλας
" Ἐρχόμεθ' ὰς ὀπυιὲς ὀπυέμεν ἐστὶν ἑκάστῳ.

ἀμφοτέρων, δικαιότερον. ἀκρατέστερον ἀπὸ τοῦ ἀκρατοῦς, ἀσεβαιότερος, ἀναγκαιότερος, ἀλλοιότερος, ἐπιτηδειότερον, ἀφνειότερος. καὶ Ἀριστοφάνης καὶ Σιλούκην ἔγραφε φιλοκισσαιότατα.

192 ΘΩ. Θωὰ, ἡ ἐπιτιθεμένη τινὶ ζημία. ὄθεν ἀθῶος, ὁ μὴ ζωὰ πάσχων.

196 ΟΙ. Εἰπὰν ἐς πατρὸς, μετέωρα εἰς τὸ πληθυντικόν· οἱ δὲ γάμον τεύξωσιν, δηλονοτὶ οἱ μνηστῆρες, καὶ εὐτρεπίζωσιν ἕδνα, ὅσα δεῖ ἐπὶ τῇ τοιαύτῃ παιδὶ δίδοσθαι παρὰ τῶν γαμούντων. ΟΙ. Τὸ σχῆμα σοφιστόν. ἄτομον. ΕΕΔ. Τὰ παρὰ τοῦ νυμφίου. μέλια δὲ, παρὰ τοῦ πατρὸς τῇ νύμφῃ διδόμενα.

199 ΜΝΗ. Τῆς μέχρι νῦν ἀκαταστασίας.

200 ΟΥ. Θρασύτερον ταῦτα τῶν Ἀντίνου. ΠΟ. Ἀκριτόμυθον. σκάπτει εἰς πεσόντα. ὁ γὰρ Ἀντίνοος εἰς ποιότητα λόγου ἐσκόπει. σοφιστὰν ἦ, ἐπὰ ἤτινα δείδιμεν ἔμπης, οὔτε Τηλέμαχον, οὔτε τὴν μαντείαν, ὁπόση ἐπήχθη, οὔτε ἄλλον τινά. καί τοι ὁ λόγος ἀπῆτει. ἀλλ' εἶχεν ἀπέχθειαν πρὸς τὸ πλῆθος.

203 ΚΑ. Ὁμολογεῖ τὴν βίαν. ΟΥ. Ἤγουν ἀεὶ ἐλαπώσοντας.

204 ΔΙ. Διαλείπειν, τὸ χρονοτριβῆσαι, ἀναβάλλεσθαι, καὶ τριψομερῶς.

Τὸν

Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
" Εὐρύμαχ', ἠδὲ καὶ ἄλλοι ὅσοι μνηστῆρες ἀγαυοὶ,
" Ταῦτα μὲν ἐγὼ ὑμέας ἔτι λίσσομαι, ἠδ' ἀγορεύω·
" Ἤδη γὰρ τά γ' ἴστισι θεοὶ καὶ πάντες Ἀχαιοί.
" Ἀλλ' ἄγε μοι δότε νῆα θοὴν καὶ εἴκοσ' ἑταίρους,
" Οἵ κέ μοι ἔνθα καὶ ἔνθα διαπρήσσωσι κέλευθον.
" Εἶμι γὰρ ἐς Σπάρτην τε καὶ ἐς Πύλον ἠμαθόεντα,
" Νόστον πευσόμενος πατρὸς δὴν οἰχομένοιο,
" Ἤν τις μοι εἴπῃσι βροτῶν, ἢ ὄσσαν ἀκούσω
" Ἐκ Διός, ἥτε μάλιστα φέρει κλέος ἀνθρώποισι.
" Εἰ μέν κεν πατρὸς βίοτον καὶ νόστον ἀκούσω,
" Ἦ τ' ἂν τρυχόμενός περ ἔτι τλαίην ἐνιαυτόν·
" Εἰ δέ κε τεθνειῶτος ἀκούσω μηδ' ἔτ' ἐόντος,
" Νοσφισάμενος δ' ἤπειτα φίλην ἐς πατρίδα γαῖαν,
" Σῆμά τε οἱ χεύσω, καὶ ἐπὶ κτέρεα κτερείξω
" Πολλὰ μάλ', ὅσσα ἔοικε· καὶ ἀνέρι μητέρα δώσω.
Ἦτοι ὄγ' ὣς εἰπὼν κατ' ἄρ' ἕζετο· τοῖσι δ' ἀνέστη
Μέντωρ, ὅς ῥ' Ὀδυσῆος ἀμύμονος ἦεν ἑταῖρος,
Καί οἱ ἰὼν ἐν νηυσὶν ἐπέτρεπεν οἶκον ἅπαντα,
Πείθεσθαί τε γέροντι, καὶ ἔμπεδα πάντα φυλάσσειν.
Ὅ σφιν ἐὐφρονέων ἀγορήσατο καὶ μετέειπε·
" Κέκλυτε δὴ νῦν μευ, Ἰθακήσιοι, ὅ, τι κεν εἴπω.
" Μήτις ἔτι πρόφρων, ἀγανὸς, καὶ ἤπιος ἔστω

210 ΤΑΥ. Λάπτ. ἡ εἰς ἀντὶ ῥ, εἰς πᾶσι.

212 ΑΛΛ. Πρὸς τὰς Ἰθακησίους. ἢ τῷ ὑπόνοιαν ἀπτοεῖσθαι, αὐτῆται παρὰ τῶν μνηστήρων τὰ περὶ τοῦ πλοῦ. πῶς γὰρ ἠδύνατο σκοπεῖν καὶ αὐτῶν πολίτας ὀπαδοὺς ἔχων;

229 ΚΕΚ. Ὁρῶν τοὺς μνηστῆρας ἀπηυδηκότας, καὶ πρὸς αὐτοὺς ἀποτεινόμενος, ἀλλὰ πρὸς τὸ κοινόν. ἐδίν τι δικαιολογικὸν ἐχεῖ ἡ δημηγορία. κεφαλαιωδὴς ἦ, καὶ ἀναθεῖναι ἐπιτόπου σχέσεως.

" Σκηπτοῦχος βασιλεὺς, μηδὲ φρεσὶν ἄσπετα εἰδὼς,
" Ἀλλ' αἰεὶ χαλεπός τ' εἴη, καὶ ἄσυλα ῥέζοι·
" Ὡς ὅττις μέμνηται Ὀδυσῆος θείοιο
" Λαῶν οἵσιν ἄνασσε, πατὴρ δ' ὣς ἤπιος ἦεν·
" Ἀλλ' ἤτοι μνησῆας ἀγήνορας ὅττι μεγαίρω
" Ἔρδειν ἔργα βίαια, κακορραφίῃσι νόοιο·
" Σφὰς γὰρ πυρθέμβροι κεφαλὰς, κατέδουσι βιαίως
" Οἷκον Ὀδυσῆος, τὸ δ' ὀΐομαι ἔτι φασὶ νέεσθαι.
" Νῦν δ' ἄλλῳ δήμῳ νεμεσίζομαι· οἷον ἅπαντες
" Ἧσθ' ἄνεῳ, ἀτὰρ ὅττι καθαπλόμβροι ἐπέεσσιν,
" Παύρους μνησῆρας κατερύκετε πολλοὶ ἐόντες.
Τὸν δ' Εὐρυμαχίδης Λειώκριτος ἀντίον ηὔδα·
" Μέντορ ἀπαρτηρὲ, φρένας ἠλεὲ, ποῖον ἔειπες,
" Ἡμέας ὀτρύνων καταπαύεμεν; ἀργαλέον δὲ
" Ἀνδράσι καὶ πλεόνεσσι μαχήσασθαι περὶ δαιτί.
" Εἴπερ γάρ κ' Ὀδυσεὺς Ἰθακήσιος αὐτὸς ἐπελθὼν
" Δαινυμένους κατὰ δῶμα ἑὸν μνησῆρας ἀγαυοὺς

232 ΑΙ. Ἄδικα πείει, ἀνὰ ἀσύσυλα, ἢ καθήκοντα συλημένα.

233 ΟΔ. Οἱ μνησῆρες μέμνηνται τῆ Ὀδυσσέως, οὐχ ὡς θεὸς μέντοι, ἀλλ' ὡς γυναῖκα ἰδιοθὴ ἔχοντος καὶ ἀφνειήν.

236 ΚΑ. Κακοπραγίαις, κακοδαιμίαις.

237 ΠΑΡ. Προτείναντες ὡς ἐπιξένῳ. ἄγαν ἐπικόπῳ, ὥστε κοπῆναι. ΠΑΡ. Ἐνίκυρον θέμβροι. ἀντὶ τοῦ ὡς μὴ ἐπικείμενοι τὰς ἑαυτῶν κεφαλάς. ἀλλὰ παρεμβέμβροι αὐτάς.

240 ΗΣ. Κάθησθε ἄφωνοι, ἀναιδεῖ. ΚΑ. Αἰσχύνει τοὺς Ἰθακησίους, εἰ μὴ ἢ λόγοις ἀπέλυσαν τὸ βιαίων μνηστῆρων. τὸ δὲ χερσὶ δυσχερέστερον.

242 ΛΕΙ. Οἷον ἔκκριτος καὶ λαχὼν. ὁ ποιητὴς τὸν μὲν Ἀντίνοον ἁπλούστερον ἐποίησε δημηγορῆσαι καὶ ἀφελέστερον· τὸν δὲ Εὐρύμαχον, ἐμβριθέστερον καὶ ἀστειότερον. σύνταξις δὲ Λειώκριτον τινα μνηστῆρα βραχύλογον μὲν πλάττει, δεξιώτερον δὲ, ὃς οὐ μόνον τὸν Ὀδυσσέα ἐξουτιλίσῃ, ἀλλὰ καὶ τὴν ἀγορὰν ταχὺ λύσῃ. ὥστε ταύτῃ τὴν ἀγορὰν θέμις μὲν ἐκάθισεν, ἀθεμίστως δὲ ἀνδρὸς ὕβρις ἔλυσε.

245 ΔΑΙ. Οἱ γὰρ ἐν δαιτὶ οἴονται ἀνυπόστολοι εἶναι τῷ ἀλκῇ καὶ οἷνος κρατηγοῦντος αὐτοῖς. λέγει δὲ, ὅτι ἀργαλέον ποῖς Ἰθακησίοις, εἰ πλείονας ὄντας αὐτοὺς ἀποκτείναιεν δαινυμένους τοῖς μνηστῆρσιν. ὑπὲρ ἐστὶ κύριον καὶ ἀδωμάτως.

" Ἐξελάσαι

" Ἐξελάσῃ μεγάροιο μενοινήσῃ ἐνὶ θυμῷ,
" Οὔ κέν οἱ κεχάροιτο γυνὴ, μάλα περ χατέουσα,
" Ἐλθόντ', ἀλλά κεν αὖτε ἀεικέα πότμον ὀπίσσοι,
" Εἰ πλεόνεσσι μάχοιτο· σὺ δ' ὦ κακὰ μοῖραν ἔεισπες.
" Ἀλλ' ἄγε, λαοὶ μὲν σκίδναθ' ἐπὶ ἔργα ἕκαστος,
" Τέτῳ δ' ὀτρυνέ[ω] Μέντωρ ὁδὸν ἠδ' Ἀλιθέρσης,
" Οἵ τέ οἱ ἐξ ἀρχῆς πατρώιοί εἰσιν ἑταῖροι.
" Ἀλλ', οἶω, ϗ δηθὰ καθήμενος, ἀγγελιάων
" Πεύσεται εἰν Ἰθάκῃ, τελέ[ω] δ' ὁδὸν ὅππότε ταύτην.
Ὣς ἄρ' ἐφώνησεν· λῦσεν δ' ἀγορὴν αἰψηρήν.
Οἱ μὲν ἄρ' ἐσκίδναντο ἐὰ πρὸς δώματ' ἕκαστος·
Μνηστῆρες δ' ἀνὰ δώματ' ἴσαν θείοι Ὀδυσῆος·
Τηλέμαχος δ' ἀπάνευθεν ἰὼν ἐπὶ θῖνα θαλάσσης,
Χεῖρας νιψάμενος πολιῆς ἁλὸς εὔχετ' Ἀθήνῃ·
" Κλῦθί μοι, ὃ χθιζὸς θεὸς ἤλυθες ἡμέτερον δῶ,
" Καί μ' ἐν νηὶ κέλευσας ἐπ' ἠροειδέα πόντον,
" Νόστον πευσόμενον πατρὸς δὴν οἰχομένοιο,
" Ἔρχεσθαι· τὰ δὲ πάντα Διαπρήσσουσιν Ἀχαιοὶ,
" Μνηστῆρες δὲ μάλιστα, κακῶς ὑπερηνορέοντες.
Ὣς ἔφατ' εὐχόμενος· παρεδάθην δέ οἱ ἦλθεν Ἀθήνη,
Μέντορι εἰδομένη ἠμὲν δέμας ἠδὲ ϗ αὐδήν,
Καί μιν φωνήσασ' ἔπεα πτερόεντα προσηύδα·
" Τηλέμαχ', ἦδ' ὄπιθεν κακὸς ἔσσεαι, ἦδ' ἀνοήμων·

249 ΟΥ. Ἄμα γὰ ἰδεῖσα τερήσεται.
257 ΛΥ. Ὡς λάπ διομᾶ πνός. Al. Ἀλλ' ᾗ αἰψηρᾶς. ως τὸ, τότε μοι χάνοι ὠρεῖα χθών. ἀντὶ ᾗ εὐρύ.
262 ΚΑΥ. Ὁ μὲ Τηλέμαχος ἁπλῶς λέγει ἐπικαλεῖται. ἀγγεῖ γὰ πὸς ἐμὲ ἥκειν ὁ φανεὶς αὐτῷ. ὁ δὲ ποιητὴς, εὔχετ' Ἀθήνῃ, φησί.
263 ΗΕΡ. Μίλανα, δίκλινα ἀέρος, ἢ βαθύν.
270 ΤΗ. Πρὸς παῖδα εὖ γεγονέναι. τὸ ἦδ' ὄπιθεν, ωστε ἐπέκεινα, ὡς ἐπὶ τὸ

" Εἰ δή τοι σῆ πατρὸς ἐνήσατ᾽ μένος ἠΰ,
" Οἷος ἐκεῖνος ἔην τελέσαι ἔργον τε ἔπος τε,
" Οὔ τοι ἔπειθ᾽ ἁλίη ὁδὸς ἔσσεται, ὃν δ᾽ ἀτέλεστος·
" Εἰ δ᾽ ὃ κείνο γ᾽ ἐστὶ γόνος καὶ Πηνελοπείης,
" Οὔ σέ γ᾽ ἔπειτα ἔολπα τελευτήσειν ἀ μνωϊνᾶς· 275
" Παῦροι γάρ τοι παῖδες ὁμοῖοι πατρὶ τέλονται·
" Οἱ πλέονες κακίους· παῦροι δέ τε πατρὸς ἀρείους·
" Ἀλλ᾽ ἐπεὶ ὃν δ᾽ ὄπιθεν κακὸς ἔσσεαι, ὃν δ᾽ ἀνοήμων,
" Οὐδέ σε πάγχυ γε μῆτις Ὀδυσῆος περιλέλοιπεν,
" Ἐλπωρή τοι ἔπειτα τελευτῆσαι τάδε ἔργα. 280
" Τῷ νῦν μνηστῆρων μὲν ἔα βουλήν τε νόον τε
" Ἀφραδέων, ἐπεὶ ὄτι νοήμονες, ὃν δὲ δίκαιοι·
" Οὐδέ τι ἴσασιν θάνατον, κῆρα μέλαιναν,
" Ὃς δή σφιν ἀχεδὸν ἐστιν ἐπ᾽ ἤματι πάντας ὀλέσσαι.
" Σοὶ δ᾽ ὁδὸς οὐκέτι δηρὸν ἀπέστω ἣν σὺ μνωϊνᾶος· 285
" Τοῖος γάρ τοι ἑταῖρος ἐγὼ πατρώϊός εἰμι,
" Ὅς τοι νῆα θοὴν σελέω, καὶ ἅμ᾽ ἕψομαι αὐτός.
" Ἀλλὰ σὺ μὲν πρὸς δῶμα᾽ ἰὼν μνηστῆρσιν ὁμίλει,
" Ὁπλίσσόν τ᾽ ἤια, καὶ ἄγγεσιν ἄρσον ἅπαντα,

τῷ οἰκήσει ἐμφρόνως ἀναπεφυκέναι. ὃ δ᾽ ὕστερον κακὸς ἔσῃ, ὃν δὲ ἄφρων, εἰ Ὀδυσσέως παῖς τυγχάνεις, ἢ τὸ πατρῴας πορείας ἔχεις τὸ σύμβολον.

271 ΕΝ. Ἔοικεν ἠρτῆσθαι τὸ ἀρχικὸν ἀπὸ σπερματικῆς ἢ εἶναι δυνάμεως.

273 ΑΛ. Ἁλίη, ὡς ἀλὰ θαλάσσης πλέοντι. ΟΥΔ. Εἰ πατρώζεις, ἀγαθὸς ἔσῃ, καὶ ὃ μάτην ὀδύσσεις. ἀλλὰ μᾶλλον πατρώζεις ὡς ἡ δημηγορία σε ἐδίδαξεν· ἔστιν οὖν ἐπί σοὶ ἀγαθὴ ἐλπίς. ὁ δὲ ποιητὴς τῷ χωρίῳ ἐπιβάλλει καὶ γνωμικὸν στοχάσασθαι, ὃν ᾧ ὁ μὲν Ἀθηναίου παίδων φιλοστοργεῖ. καὶ Ὀδυσσέως ἔπαινον.

276 ΠΑΥ. Τὸ αἴσιον ἢ δίκαιον.

277 ΠΑ. Ὁποῖος Ἡρακλῆς ὁ Ἀμφιτρύωνος, Ἀχιλλεύς, Ἔκτωρ.

282 ΟΥ. Δογματίζει Ὅμηρος, ὅτι ὁ ἄδικος καὶ ἀσύνετός ἐστιν.

283 ΙΣ. Διασαφεῖ τὸ νοήμον.

284 ΟΣ. Ἀναφώνησις ὡς ἐπὶ μνηστήρων πάνυ χαρᾶς.

289 ΟΠ. Ἑτοίμασον τὰ ἐφόδια. οἱ παλαιοὶ φασὶν, ὅτι ἦσαν κυρίως αἱ ὁπαρίαι καλάμαι, καὶ διατυλάττως ἐν σταμνίοις,

" Οἶνον ἐν ἀμφιφορεῦσι, καὶ ἄλφιτα, μυελὸν ἀνδρῶν,
" Δέρμασιν ἐν πυκινοῖσιν· ἐγὼ δ' ἀνὰ δῆμον ἑταίρους
" Αἶψ' ἐθελοντῆρας συλλέξομαι· εἰσὶ δὲ νῆες
" Πολλαὶ ἐν ἀμφιάλῳ Ἰθάκῃ νέαι ἠδὲ παλαιαί.
" Τάων μέν τοι ἐγὼν ὄπιδ' ὄψομαι ἥτις ἀρίστη·
" Ὧκα δ' ἐφοπλίσαντες ἐνήσομεν εὐρεῖ πόντῳ.
Ὣς φάτ' Ἀθηναίη κόρη Διός· ἀδ' ἄρ' ἔτι δὴν
Τηλέμαχος παρέμιμνεν, ἐπεὶ θεὸν ἔκλυεν αὐδήν.
Βῆ δ' ἴμεναι πρὸς δῶμα, φίλον τεθυμένος ἦτορ·
Εὗρε δ' ἄρα μνηστῆρας ἀγήνορας ἐν μεγάροισιν
Αἶγας ἀνιεμένους, σάλπας θ' ἑσπόμενος ἐν αὐλῇ.
Ἀντίνοος δ' ἰθὺς γελάσας κίε Τηλεμάχοιο,
Ἓν τ' ἄρα οἱ φῦ χειρὶ, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε·
" Τηλέμαχ' ὑψαγόρη, μένος ἄσχετε, μήτι τοι ἄλλο
" Ἐν στήθεσι κακὸν μελέτω ἔργον τε ἔπος τε,
" Ἀλλὰ μάλ' ἐδριέμεν τε πιέμεν, ὡς τὸ πάρος περ·

σωσαμένοις, ἢ κ. ὡς Φερεκράτης, τῷ γάστρ' ἤων καχύρων σεσαγμένους. Ὁμηρος δὲ τὰ ἁπλῶς βρώματα. δηλοῖ δὲ ὃ τὸν ἐς ναῦν ἐπισπισμόν. ΑΡ. Γέμισον, ὦ ξ παρακελεθεῦθ. ἥρμοσται δὲ τὸ πλῆρες τῷ πληρεμένῳ.

290 ΑΜ. Κεραμοὶ ἦσαν ἀμφοτέρωθι φερόμβοι. ὅ ἐστιν ἄμφωτοι, δύωτοι. ὡς ἀμφίδυμος, ὁ ἐξ ἀμφοτέρων γονέων δεῦρο. ΑΛ. Ἀλσώδη μυλοποιὰ, θριπίκη.

291 ΠΥ. Ἐν στρεπτοῖς.

292 ΕΘ. Ἐθελοντάς.

300 ΑΙ. Ἐκφρασικὸν γοργὸν δυσπάνης τῆ μνηστήρων. ΑΝ. Ἐκδιρουσας, ἀπὸ τῆ συμπαίστου. οὐ τῆ κάτω γὰρ τὰ ἄνω ἴσιν οἱ τοιῦτοι. ΣΙ. Σιτοδοτὰς χειρας. ΕΥ. Ἐντεῦθεν τὸ σπουδάσιον ἔνθα καὶ σπουδάστος. ἴσιν τὸ μιγδὰν ὕδατι ζέοντα, ὅθεν ὕδρα ἰρχαστήριον, ὃν ἂ χαῖροι ὑόντα. ἢ κατὰ Παυσανίαν, τὸ οὐ σπαχύων καυθέντων ἔδισμα τὰς ἀνθρίκας ἀποβαλλόντων. ἤτοι ὁ ἀβελτεροκαμινος σπάχυς.

301 ΑΝ. Ἱλαρώτερον νῦν ποιεῖ τὸν Ἀντίνοον ἢ κ τῷ ἀγροικότερον.

303 ΜΗ. Ταῦτα ὑμῖν ἀποτρέψουσι, τεύξεσθαι δὲ παρακελεύουσι.

305 ΩΣ. Ἐπικερτομεῖ τῷ μειράκιῳ, ὡς μέχρι μὲν ἄρτι ἀσπουδαμένῳ, νῦν δὲ ἐξαίφνης οὐκ ἔτ χολάζειν χατεῖ πειρωμένῳ μιζοσάλπιστθαι.

" Ταῦτα

" Ταῦτα δέ τι μάλα πάντα τελεσθήσεσθαι Ἀχαιοὶ,
" Νῆα μὲν ἐξαίτας ἐρέτας, ἵνα θᾶσσον ἵκηαι
" Ἐς Πύλον ἠγαθέην μετ' ἀγαυοῦ πατρὸς ἀκουήν.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
" Ἀντίνο', ὥπως ἐσὶν ὑπερφιάλοισι μεθ' ὑμῖν
" Δαίνυσθαί τ' ἀέκοντα, καὶ εὐφραίνεσθαι ἔκηλον.
" Ἦ ἤχ ἄλις ὡς τοπάροιθεν ἐκείρετε πολλὰ καὶ ἐσθλὰ
" Κτήματ' ἐμὰ, μνηστῆρες, ἐγὼ δ' ἔτι νήπιος ἦα;
" Νῦν δ' ὅτε δὴ μέγας εἰμὶ, καὶ ἄλλων μῦθον ἀκούων
" Πιθάνομαι, καὶ δή μοι ἀέξεται ἔνδοθι θυμὸς,
" Πειρήσω ὥς κ' ὔμμι κακὰς ὀπὶ κῆρας ἰήλω,
" Ἠὲ Πύλον δ' ἐλθὼν, ἢ αὐτοῦ τῶδ' ἐνὶ δήμῳ.
" Εἶμι μὲν, (ὁδὸ' ἀλίη ὁδὸς ἔσσεται ἣν ἀγορεύω.)
" Ἔμπορος· ὃ γὰρ νηὸς ἐπήβολος, ὃδ' ἑρετάων

306 ΤΑΥ. Λόγῳ ἱερωικὸς ἀποτελοῦτων εἰς φήμην. ὅτων γὰρ ἀληθῶς ἀπίσῃ.

312 ΠΟΛ. Ποσῷ καὶ ποιῷ ἐπηύξῃ τὸ κακόν.

314 ΜΕ. Ἀφελῶς ἄρητον. ΑΚ. Διδασκαλικὴ ἄρα ἡ φρονησις.

315 ΠΥΝ. Ἀντὶ δὲ πεπυσαένου ἀκούω. ΑΕΞ. Αὐξανομένην γὰρ τῷ σώματι, συναυξάνονται καὶ τ' λογικῆς ψυχῆς αἱ δυνάμεις καὶ Γαλήνου. καὶ Ἡρόδοτος, αὐξανομένῳ γὰρ τῷ σώματι, συναυξάνονται καὶ αἱ φρένες. πινὲς ἐπὶ ὀργῆς ἤγουν ἐμαθον ἤδη θυμοῦσθαι, καὶ μὴ ἀφ' τέλος ἀόργητος εἶναι. αὐξηθέντος δὲ ἐν δυνάμει εἰς τὸ καθ' ἑνέργειαν. ὁ δὲ Σαρδανάπαλος, θυμὸν αἴξειν, τὸ τέλος ἐπιθυμίαν ζῆν.

316 ΙΗΛ. Ἐπιπέμψω. θυμοῦ πεθόλη ὁ λόγος ἔτος τοῦ Τηλεμάχου. πλοῦσιον γὰρ εἰς Πύλον, ὁ πειράσεται δέ τι τοιοῦτον.

319 ΕΜ. Ἔμπορον ὁ ποιητὴς τὸν ἀποτρίας νεὼς ἐπιβαίνοντα λέγει, τὸν παρὰ τοῖς ὕστερον ἐπιβάτην, ὡς ἐμπόρου παρ' αὐτοῖς λεγομένου δὲ μεταβολέως, καὶ πραγματευτοῦ. καὶ μάλιστα δὲ ἀφ' θαλάσσης πρᾶγμος, καὶ ὅτι Ἀτθικοὶ τὰς ἐν ταῖς τριήρεσι κυβερνήσεις ἐπικάπτας λέγουσιν· ἐπιβάτας δὲ τοὺς μαχητάς. ΕΠ. Ἐπιτυχὴς, ἐγκρατὴς. ἀπὸ τ βολῆς, καὶ τοῦ βάλλειν. ὁ ἐστ δὲ σκοπὸς τυγχάνειν, ὅθεν καὶ τὸ σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσι, ἀντὶ δὲ ἐπιτυχὰς λαμβάνει. καὶ ἡ βολὴ δὲ οἱον βολή τις ἐστίν. ὅθεν ἔφη, σὴ δ' ἦλθ βολὴ Πριάμῳ πόλις εὐρυάγυια ὡς ἀ ἔλεγε τοῖς ὅπλοις, καὶ τοῖς σοῖς τόξοις καὶ βέλεσι. λύσεις σὺνεῦθεν καὶ τὸ, ἡ δὲ φέρας ἐπέβαλλεν ἐπαγομένη Διὸς οὖρον· ἐπ γὰ ἀπὸ τ πορρωθεν ἐπιβολὴ ποιουμένων, ὡστε τυχεῖν τ φερῶν. ὅτω δὲ τῇ λέξει καὶ εἰ μεθ' Ὁμηρον κέχρηνται.

" Γίνομαι,

" Γίνομαι, ὡς νύ περ ὔμμιν ἐείσατο κέρδιον εἶναι.
Ἦ ῥα, καὶ ἐκ χειρὸς χεῖρα πάσεν Ἀντινόοιο
Ῥεῖα· μνηστῆρες δ' δόμον κατὰ δαῖτα πένοντο.
Οἱ δ' ἐπελώβευον κὴ ἐκερτόμεον ἐπέεσσιν,
Ὧδε δέ τίς εἴπεσκε νέων ὑπερφιαλοστομούντων·
" Ἦ μάλα Τηλέμαχος φόνον ἡμῖν μερμηρίζει·
" Ἦ τινας ἐκ Πύλου ἄξει ἀμύντορας ἠμαθόεντος,
" Ἦ ὅγε καὶ Σπάρτηθεν· ἐπεὶ νύ περ ἵεται αἰνῶς·
" Ἠὲ καὶ εἰς Ἐφύρην ἐθέλει πίειραν ἄρουραν
" Ἐλθεῖν, ὄφρ' ἔνθεν θυμοφθόρα φάρμακ' ἐνείκῃ,
" Ἐν δὲ βάλῃ κρητῆρι, καὶ ἡμέας πάντας ὀλέσῃ.
Ἄλλος δ' αὖτ' ἔπεσκε νέων ὑπερφιαλοστομούντων·
" Τίς δ' οἶδ', εἴ κε κὴ αὐτὸς ἰὼν κοίλης ἀπὸ νηὸς,
" Τῆλε φίλων ἀπόλῃ, ἀλώμενος ὥσπερ Ὀδυσεύς;
" Οὕτω κεν καὶ μᾶλλον ὀφέλλειεν πόνον ἄμμι.
" Κτήματα γάρ κεν πάντα δασαίμεθα, οἰκία δ' αὖτε
" Τἀτὰ μητέρι δοῖμεν ἔχειν, ἠδ' ὅστις ὀπύοι.
Ὣς φάν· ὁ δ' ὑψόροφον θάλαμον καταβήσετο πατρὸς

320 ΩΣ. Τοῦτο ὑμῖν ἀφελιμώτερον εἶναι ἐφάνη, τὸ ἡμὲ μὴ ἔχειν ἰδίαν ναῦν, ἀλλ' ἕμπορον λαπτᾶν. οἱονεὶ λέγει· ἀντὶ ναυκλήρω, ἐπιβάτης δ' ὑμᾶς γέσθαι, τὰς τὰ ἐμὰ καταναλώσαντας ἅπαντα κτήματα.

321 ΣΠΑ. Ἡ δεδιὼς, μὴ ἐπιβάλλως ἄψηται τῶ χειρὸς, ἢ ὅτι μᾶλλον ἥψατο ὁ Ἀντίνοος.

323 ΕΠ. Δάϊον, ἢ σὺν τῷ κοινῷ ὕβρις, οἱονεὶ λαϊστὸν, ἢ σὺν τῷ λαῷ ἐπεμβαίνεσθαι τινί.

324 Ω. Μερίζει τὰς μνηστῆρας. ὧν οἱ μὲν διδιάσιν, οἱ δὲ παῤῥαλώτερον διάκεινται.

328 ΕΦ. Τῶν Θεσπρωτίαν, ἢ Κίχυρος μετωνομάσθη.

329 ΘΥ. Φθαρτικὰ λοιμοῦ ἢ ἀναιρετικὰ, καὶ τὰς πειλαίας.

334 ΟΦ. Αὐξήσει, ἀντὶ τοῦ ἀεῖσει, ὡς τυψεῖ. τίς ἢ ὁ πόνος, λέγει, κτήματα γάρ κεν, ἁρπακῶς. πῶς, τὴν εἰς τὸ γάμον ἀναδήν.

337 ΥΨΟ. Ὑψηλὸν· διὰ τὸ ἀνεπίβατον. ΘΑ. Τὸ παμπλεῖον.

Εὑρὺν, ὅθι νητὸς χρυσὸς καὶ χαλκὸς ἔκειτο,
Ἐθμὴς τ' ἐν χηλοῖσιν, ἅλις τ' εὐώδεες ἔλαιον.
Ἐν δὴ οἴνοιο παλαιοῦ ἡδυπότοιο
Ἕστασαν, ἄκρητον θεῖον πότον ἐντὸς ἔχοντες,
Ἐξείης ποτὶ τοῖχον ἀρηρότες, εἴ ποτ' Ὀδυσεὺς
Οἶκαδε νοστήσειε, καὶ ἄλγεα πολλὰ μογήσας.
Κληῖσαὶ δ' ἔπεσαν σανίδες πυκινῶς ἀραρυῖαι,
Δικλίδες· ἐν δὲ γυνὴ ταμίη νύκτας τε καὶ ἦμαρ
Ἔσκεν, ἣ πάντ' ἐφύλασσε νόῳ πολυϊδρείῃσιν,
Εὐρύκλει', Ὦπος θυγάτηρ Πεισηνορίδαο.
Τὴν τότε Τηλέμαχος προσέφη θαλαμόνδε καλέσας·
" Μαῖ', ἄγε δή μοι οἶνον ἐν ἀμφιφορεῦσιν ἄφυσσον
" Ἡδὺν, ὅτις μετὰ τὸν λαρώτερος ὃν σὺ φυλάσσεις,
" Κεῖνον ἀϊσσόμενος πάμμορον, εἴ ποθεν ἔλθοι
" Διογενὴς Ὀδυσεὺς, θάνατον καὶ κῆρας ἀλύξας.
" Δώδεκα δ' ἔμπλησον, καὶ πώμασιν ἄρσον ἅπαντας·
" Ἐν δέ μοι ἄλφιτα χεῦσον ἐϋῤῥαφέεσσι δοκοῖσιν·

338 ΕΥ. Διὰ τ βαθὺ πλῆτον τῦ Ὀδυσσέως. ΝΗ. Σεσωρεύμενον. ΧΡΥ. Οἰκονομικὴ μέθοδος, διδάσκουσα τὸν ποιητὴν τὰς οἰκοδεσπότας κειμήλια ἔχειν εἰς χρῆσιν τῶν ἐν καιρῷ.

339 ΧΗ. Χηλὸς, λάρναξ, κιβωτὸς, σορός. ΕΛ. Ἴσως μὲν τὸ τ ἐλαίας. εἰκὸς δὲ καὶ ἐπισύνθεσθαι τιμιώτερον, οἷον τὸ ἰρινον, σαμψύχινον.

342 ΤΟΙ. Ἵνα τὸ μέσον τ θαλάμου εἴη ἄλλως χρήσιμον.

344 ΣΑ. Αἱ θύραι.

345 ΔΙ. Διχόθεν κλειόμεναι, δίθυροι.

346 ΝΟ. Περίφραξις τ κιβωτί.

349 ΑΜ. Ἐκ πίθου ἀπάντλησον εἰς ἀμφιφορεῖς.

350 ΑΑ. Ἡδύτερος· ὅμοιον τῷ, Τηλέμαχ', οὔτις σεῖο κακοξεινώτερος ἄλλος· χρῆσιν ἡδὺ ἀποφαίνει. ὁ γὰρ τ κακὸν, ἀλλὰ τ μετ' ἐκεῖνον διύτερον αἰτεῖ τ ὡραιοτέρου τῷ παιδὶ φυλάσσει.

351 ΟΙ. Νομίζουσα, ἐλπίζουσα.

353 ΠΩ. Πώμασιν.

354 ΕΥ. Εὐαρμόστοις. ΔΟ. Κορύκοις, παρὰ τὸ χωρεῖν· θυλάκοις, φασκωλίοις. ἐχρῶντο γὰρ οἱ παλαιοὶ δέρμασι, ἀντὶ σάκκων εἰς ἀλφίτων φυλακὴν, ἵνα μηδὲν ἐκεῖθεν διαφορῆται, σεύσης τῆς πυκνότητος.

" Εἴκοσι

" Εἴκοσι δ' ἔσω μέτρα μυληφάτης ἀλφίτου ἀκτῆς. 355
" Αὐτὴ δ' οἴη ἴσθι· τὰ δ' ἄθρόα πίνετα τετύχθω·
" Ἐσσέριος γὰρ ἐγὼν αἱρήσομαι, ὁππότε κεν δὴ
" Μήτηρ εἰς ὑπερῷ' ἀναβῇ, κοίτης τε μέδηται.
" Εἶμι γὰρ ἐς Σπάρτην τε καὶ ἐς Πύλον ἠμαθόεντα,
" Νόστον πευσόμενος πατρὸς φίλης, ἤν πού ἀκούσω. 360
Ὣς φάτο· κώκυσεν δὲ φίλη τροφὸς Εὐρύκλεια,
Καὶ ῥ' ὀλοφυρομένη ἔπεα πτερόεντα προσηύδα·
" Τίπτε δέ τοι, φίλε τέκνον, ἐνὶ φρεσὶ τῆτο νόημα
" Ἔπλετο; πῆ δ' ἐθέλεις ἰέναι πολλὴν ἐπὶ γαῖαν,
" Μοῦνος ἐὼν ἀγαπητός; ὁ δ' ὤλετο τηλόθι πάτρης 365
" Διογενὴς Ὀδυσεύς, ἀλλογνώτῳ ἐνὶ δήμῳ·
" Οἱ δέ τοι αὐτίκ' ἰόντι κακὰ φράσονται ὀπίσω,
" Ὡς κε δόλῳ φθίῃς, τάδε δ' αὖτὶ πάντα δάσωνται.
" Ἀλλὰ μὲν αὖθ' ἐπὶ σοῖσι καθήμενος· ὐδέ τι σε χρὴ
" Πόντον ἐπ' ἀτρύγετον κακὰ πάσχειν, ὐδ' ἀλάλησθαι. 370
Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
" Θάρσει, μαῖ· ἐπεὶ ἤτι ἄνευ θεῶ ἥδε γε βουλή·
" Ἀλλ' ὄμοσον, μὴ μητρὶ φίλῃ τάδε μυθήσασθαι
" Πρίν γ' ὅτ' ἂν ἑνδεκάτη τε δυωδεκάτη τε γένηται,
" Ἢ αὐτὴ πύθηται, καὶ ἀφορμηθέντος ἀκούσῃ· 475

355 ΜΕ. Τὸ μέτρον ἐπί τε ξηρῶν, ἐπί τε ὑγρῶν λέγεται. ὡς καὶ τοῖς περὶ Κύκλωπος. ΜΥ. Τῆς ὑπὸ μύλης κεκομμένης. ΑΚ. Δωρεᾶς, ἢ δὲ κλάσμα λέγει, παρὰ τὸ κλῶ· ἢ ἀκτῆς, ἤτοι σιταγωγῖδος, τροφῆς.

357 ΑΙ. Λήψομαι.

363 ΦΙ. Φίλε υἱέ. συκνὰ καὶ μεγάλα πρόβατα νοήματα ἡ τροφός.

366 ΑΛ. Ἄλλοις, καὶ ἐκ ἡμῖν μεμνησομένοις, ἢ ἄλλοις γνωτοῖς, ἢ καὶ γένους οἰκείου. ἢν γὰρ ἂν ἀκουσώτιν, καὶ τὸ ἀγγελοῦν πίστιν.

367 ΟΙ. Ἀναφώνησις. τῦτο γὰρ καὶ γέγονε.

369 ΑΛ. Τὸ αὐτὸ νόημα καὶ πρὸς Ἀντίνοον ἐλέχθη, δυσμενῶς μέντοι.

374 ΓΕ. Ἔλθῃ ἡμέρα.

375 ΠΟ. Ἐλθεῖν πρὶν αὐτὴ πυθέσθαι. ὁ δὲ ἀπωθῶν ἐκνεμᾶται, λέγων τὸν δεῖνα ἐπιβεβήκοτος δύναμιν.

"Ὡς ἂν μὴ κλαίωσι κατὰ χρόα καλὸν ἰάπτῃ.
Ὡς ἄρ' ἔφη· χρὺς δ' θεῶν μέγαν ὅρκον ἀπώμνυ.
Αὐτὰρ ἐπεὶ ῥ' ὄμοσέν τε τελεύτησέν τε τ' ὅρκον,
Αὐτίκ' ἔπειτά οἱ οἶνον ἐν ἀμφιφορεῦσιν ἄφυσεν,
Ἐν δέ οἱ ἄλφιτα χεῦεν ἐϋῤῥαφέεσσι θοροῖσιν.
Τηλέμαχος δ' ἐς δῶματ' ἰὼν μνηστῆρσιν ὁμιλεῖ.
Ἔνθ' αὖ ἄλλ' ἐνόησε θεὰ γλαυκῶπις Ἀθήνη,
Τηλεμάχῳ δ' εἰκυῖα κατὰ πόλιν ὤχετο πᾶσαν,
Καί ῥα ἑκάστῳ φωτὶ παρισταμένη φάτο μῦθον,
Ἐσπερίους δ' ἐπὶ νῆα θοὴν ἀγερέσθαι ἀνώγει.
Ἦ δ' αὖτε Φρονίοιο Νοήμονα Φαίδιμον υἱὸν
Ἧτεε νῆα θοὴν· ὁ δέ οἱ πρόφρων ὑπεδέκτο.
Δύσετό τ' ἠέλιος, σκιόωντό τε πᾶσαι ἀγυιαί.
Καὶ τότε νῆα θοὴν ἅλαδ' εἵρυσε, πάντα δ' ἐν αὐτῇ
Ὅπλ' ἐτίθη, τά τε νῆες ἐὐστελμοι φορέουσιν.
Στῆσε δ' ἐπ' ἐσχαλιῆς λιμένος· πρὸ δ' ἑσταότες ἑταῖροι
Ἀθρόοι ἠγερέθοντο· θεὰ δ' ὄτρυνεν ἕκαστον.
Ἔνθ' αὖτ' ἄλλ' ἐνόησε θεὰ γλαυκῶπις Ἀθήνη,

376 ΙΑΠ. Διαφθάρη, παρὰ τ' ἰόν. ὅθεν καὶ τὸ, Ἀϊδὶ συνέφυσεν.

377 ΑΠ. Ἀποφατικῶς, ᾧ ἐναντίον τὸ ἐπώμνυ.

378 ΟΜ. Ὀμόσαι μέν, τὸ εἰπεῖν θεῖόν τι ὄνομα, οἷον νὴ τὸν Ἑρμῆν, μὰ τὰς Ἐλευσινίας θεάς. ΤΕ. Τὸ λοιπὸν ἐναν τὸν εὔορκον λέγειν, οἷον ποιήσω τόδε, ἢ οὐ ποιήσω.

383 ΤΗ. Αἰνίττεται ὡς ἕκαστος τῶν Ἰθακησίων τὴν ἐξ νέαν δημηγορίαν εἰς νᾶϊν φέρων, καὶ τὸν ξ βακτηρίαν ἀνεσώλοπισμένον παῖδα, οἷον παρ' αὐτοῖς ἰσάμβυον· καὶ κρίνων δίκαια ἑκάστου εἰπεῖν, καὶ αὐτήσασθαι, ἀμῦναι μὲν ἐ δυνήσεσθαι διὰ τὸ κινδυνώδεις ξ ἔργα, νῆα δ' ἄναγα λογίζονται, καὶ αὐτῶν τινας εἰς ἐρίβωλον ἐπιδάναι.

386 ΦΡΟ. Ἀσεῖας ὀνοματοποιήκεν. πάντως γὰρ ἐκεῖνο νῆα ὑπεδέχετο, ὁ μὴ κατὰ τὴν μνηστῆρας ἀφραδὴς καὶ ἀνήμων ἐπὶ τοῖς μέλεσιν.

387 ΠΡΟ. Ἐθελοντής. ΥΠ. Ὑπέσχετο

388 ΣΚΙ. Ἡ γὰρ νὺξ, σκιὰ γῆς.

390 ΟΠ. Τῶν σκευῶν τῶν νηός.

391 ΕΣ. Ἐπὶ τὸ ἄκρον ξ λιμένος, μεθ' ὃ ἡ ἁλμάσσα.

Βῆ δ' ἴμμεναι πρὸς δώματ' Ὀδυσῆος θείοιο·
Ἔνθα μιν ἠρέσσην ἐπὶ γλυκὺν ὕπνον ἔχευεν,
Πλάζε δὲ φίνσζας· χειρῶν δ' ἔκβαλλε κύπελλα.
Οἱ δ' εὖδειν ἄρνυντο κατὰ πτόλιν· αὐδ' ἄρ' ἔπι δὴν
Εἵατ', ἐπεί σφισιν ὕπνος ἐπὶ βλεφάροισιν ἔπιπτεν.
Αὐτὰρ Τηλέμαχον προσέφη γλαυκῶπις Ἀθήνη,
Ἐκπροκαλεσσαμένη μεγάρων εὐναιετάων,
Μέντορι εἰδομένη ἠμὲν δέμας ἠδὲ καὶ αὐδήν·
" Τηλέμαχ', ἤδη μέν τι ἐϋκνήμιδες ἑταῖροι
" Εἵατ' ἐπήρεμοι, τὼ σὴν παλιδέγμενοι ὁρμήν,
" Ἀλλ' ἴομεν, μὴ δηθὰ διατρίβωμεν ὁδοῖο.
Ὣς ἄρα φωνήσασ' ἡγήσατο Παλλὰς Ἀθήνη
Καρπαλίμως· ὁ δ' ἔπειτα μετ' ἴχνια βαῖνε θεοῖο.
Αὐτὰρ ἐπεί ῥ' ἐπὶ νῆα κατήλυθον ἠδὲ θάλασσαν,
Εὗρον ἔπειθ' ἐπὶ θινὶ καρηκομόωντας ἑταίρους.
Τοῖσι δὲ μετέφη ἱερὴ ἰς Τηλεμάχοιο·
" Δεῦτε, φίλοι, ἤια φερώμεθα· πάντα γὰρ ἤδη
" Ἀθρῷ ἐνὶ μεγάρῳ· μήτηρ δ' ἐμὴ ὅττι τάχιστα,
" Οὐδ' ἄλλαι δμωαὶ, μία δ' οἵη μῦθον ἄκουσεν.
Ὣς ἄρα φωνήσας ἡγήσατο· τοὶ δ' ἅμ' ἕποντο.

395 ΥΠ. Τὸ ὑγρὸν τοῦ ὕπνου δηλοῖ.
396 ΠΛΑ. Παρεπλάνα δὲ ἰσχνοφρύειαν. Πλανᾶζ δὲ παραφρονεῖν ἐπίησιν. ΧΕΙ. Ἀθωμάτευτον, ἀπὸ τοῦ ὕπνου.
398 ΒΛΕ. Βάρος ὕπνου δηλοῖ, παχὺ τὸ βλέφαρα κλείουσας.
400 ΕΚ. Ἔξω καλέσασα.
402 ΕΥ. Κατὰ μεταφορὰν, ἀφόσκωπτε, εὖ ὡπλισμένοι τὰ πρὸς τὸν πόλεμον.
403 ΕΠ. Ἐπίκωπτοι, ἕτοιμοι ἐρέσσειν. ΠΟ. Προσδέχομαι.
404 ΔΙΑ. Ἐκλύομεν, παρίεμεν.
406 ΜΕΤ. Εὐσεβεῖ πρέπει.
407 ΚΑ. Κατῆλθον.
409 ΙΣ. Βίᾳ.
410 ΔΕΥ. Δημαγωγικῶς, εὐκαίρως κολακεύει. ΗΙ. Ἐφόδια.
411 ΠΕ. Ἤκουσεν.
412 ΜΙ. Ἀληθότως, ἀπόῤῥητον αὐτοῖς ὑπατίθησι τὸν πρᾶξιν ἵστασθαι, ἵνα μηδὲ αὐτοὶ ἐξείπωσι πατρί.

Οἱ

Οἱ δ' ἅμα πάντα φέρονΤες, ἐϋσταλμῳ ἐπὶ νηΐ
Κάτθεσαν, ὡς ἐκέλευσεν Ὀδυσσῆος φίλος υἱός.
Ἂν δ' ἄρα Τηλέμαχος νηὸς βαῖν', ἦρχε δ' Ἀθήνη,
Νηῒ δ' ἐνὶ πρύμνῃ κατ' ἄρ' ἕζετο· ἄγχι δ' ἄρ' αὐτῆς
Ἕζ|ο Τηλέμαχος· τοὶ δὲ πρυμνήσι' ἔλυσαν,
Ἂν δὲ κ᾽ αὐτοὶ βάντες, ἐπὶ κληῖσι κάθιζον·
Τοῖσιν δ' ἴκμενον ἦρον ἰᾷ γλαυκῶπις Ἀθήνη,
Ἀκραὴ ζεφύρου, κελάδοντ' ἐπὶ οἴνοπα πόντον.
Τηλέμαχος δ' ἑτάροισιν ἐποτρύνας ἐκέλευσεν
Ὁπλων ἅπ|εσθ· τοὶ δ' ὀτρύνοντος ἄκουσαν,
Ἰσὸν δ' εἰλάτινον κοίλης ἔντοσθε μεσόδμης
Στῆσαν ἀείραν|ες· κατὰ δὲ πρωτόνοισιν ἔδησαν,
Ἕλκον δ' ἱστία λευκὰ εὐσ|πέπ|οισι βοεῦσιν.

415 ΚΑΤ. Κατέθεντο.

416 ΝΗ. Ἐπὶ νηός.

417 ΝΗ. Ἀντὶ δ' νεὼς πρύμνη· καὶ ὁ Ιλιάδι, Νηῒ σῇ· σὺ πρύμνη ἔναρα βροτόεντα Δόλωνος.

418 ΠΡΥ. Τὰ πάσματα.

419 ΚΛΗ. Ταῖς ναυπηγῖς καθέδραις. ΚΑ. Ἐκαθέζοντο.

420 ΙΚ. Ὑρὸν, παρὰ τὸ ἱκμαῖα· ἢ τὸ φορὸν, ἢ εἰς τὸ ἱκέσθαι ἐπιτήδειον, οἱονεὶ ἱκάδιμον· ἴκμενον, διὰ γρὸ· καὶ ἀλλαχοῦ, Ἀνέμων μένος ὑρὸν ἀέντων. ἢ τὸ ἱκνεῖσθαι καὶ φέρεσθαι ποιητικόν. ΑΘ. Ἡ κατὰ τὰς ναυτίλους ἐμπειρία καὶ φρόνησις, ἢ χρησάμενοι ἐπλεύσαν.

421 ΑΚ. Ἐπιτήδειον, ἄκρως πνέοντα πρὸς τὴν χρείαν, ὅτε πλέων, οὔτ' ἐλαττον· ἢ τὸ μὴ κεκραμένον, ἀλλ' ἀκριβῶς ζεφύρου. πνὸς ὑγρακῆ. Ἄλλως. Ἀκρακῆ, ἄκρως πνέοντα, ἢ αὐτάρκως. ΚΕ. Ἤτοι ἤχνυτο κατὰ τὴν θάλασσαν τὸν ἄνεμον· ἢ κατὰ τὸ κελαδοντα πνέοντα πνέοντα. ΚΕ. Ἐπίηλον δὲ πόντον, ὅθεν καὶ οἱ παλαιοὶ Ἐγκέλαδον ἵππον τοῦ Ποσειδῶνος παραδιδόασιν.

424 ΕΙ. Τὸν ἐξ ἐλάτης μεσονύκτια. ΜΕ. Τῆς λινῆς λίνης, ἐξ ἧν ἐμβάλλεται ὁ ἱστός. ἔστι δὲ μέση δὲ πλοίου, κοίλος τόπος. ΜΕ. Μεσόδμη, ἡ ὀπὴ, δι' ἧς ὁ ἱστὸς συνείρεται, παρὰ τὸ ἐν μέσῳ τοῦ νηὸς δεδομῆσθαι.

425 ΑΕΙ. Ἐπάραντες. ΠΡΟ. Σχοινίοις, δι' ὧν ὁ ἱστὸς ἀποδεσμεῖται, ὡς ἂν ἔχῃ βεβαίως ἑστάναι. οἱ δὲ παλαιοὶ, κάλωσας, ἀπὸ δὲ καρχησίου εἰς πρῷραν καὶ πρύμναν διατείνοντας.

426 ΕΥ. Εὐκαλάκτοις, εὐκλώστοις, καλῶς εἰργασμένοις. ΒΟ. Χρήσιμα δέρμασι, καὶ δι' ὧν ὁ τῶν αἰγῶν τὰς ταύρους ἀγκυλοῖ, φωκῶν δέρμασι, καὶ ἄλλοις ποτὲ τοιούτοις, τῶν τὴν οἰκείαν χρείαν ἀποπληρούσι. βοίας δὲ βοῦς, λίαν τὰς ὀκ βοέων ἱμάντας καλῶς. Ἄλλως. Βοεῦσι, τοῖς ἱμᾶσιν· ὕστερον δὲ οἱ καλοὶ ἐπενοήθησαν.

Ἔπρησέν

Ἔπρησεν δ' ἄνεμος μέσον ἰστίον· ἀμφὶ δὲ κῦμα
Στείρῃ πορφύρεον μεγάλ' ἴαχε, νηὸς ἰούσης·
Ἦδ' ἔθεεν κατὰ κῦμα διαπρήσσουσα κέλευθον.
Δησάμενοι δ' ἄρα ὅπλα θοὴν ἀνὰ νῆα μέλαιναν,
Στήσαντο κρητῆρας ἐπιστεφέας οἴνοιο,
Λείβον δ' ἀθανάτοισι θεοῖς αἰειγενέτῃσιν,
Ἐκ πάντων δὲ μάλιστα Διὸς γλαυκώπιδι κούρῃ.
Παννυχίη μὲν ῥ' ἧγε καὶ ἠῶ πεῖρε κέλευθον.

427 ΕΠ. Πνεῦμα ἐπλήρωσεν, ἐκόλπωσεν, ἐφύσησεν· οὕτω καὶ ὁ πρησήρ.

428 ΣΤΕΙ. Τῇ πρώτῃ, ἀφ' οὗ τὸ στρῶμα εἶναι. ΠΟΡ. Μέλαν. ΙΑ. Ἤχησεν, ἐνεφανίσθη. ΙΟΥ. Παρδομένης.

429 ΔΙΑ. Διαπερῶσα.

430 ΔΗ. Δήσαντες.

431 ΕΠ. Πλήρεις μίσχου στεφάνης ἢ ἀπὸ χείλους ἄνω περὶ τὸ, Κρητῆρας ἐπιστέψαντο ποτοῖο.

433 ΚΟΥ. Τῇ Ἀθηνᾷ.

434 ΠΑΝ. Διὰ πάσης νυκτός. ΗΩ. Τὸν ὠθοῦντα τὴν ἡμέρας καιρὸν ἔπι, τατέστι τὸν ἡμέραν. Ἄλλως. Ἠῶ, τὸν μεταξὺ νυκτὸς καὶ ἀνατολῆς ὥραν· ὠφειλε δὲ εἰπεῖν, ἠώ. ΠΕΙ. Διεπέρα, διήρχετο. Ἔνθεν καὶ τὸ, Ἀλεγεινά τε κύματα πείρων.

ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΟΔΥΣΣΕΙΑΣ Γ

ΤΟΥ ΟΜΗΡΟΥ

ΡΑΨΩΔΙΑΣ.

Τηλέμαχον ἐλθόντα σὺν Ἀθηνᾷ ξενίζει Νέστωρ· καὶ διηγεῖται αὐτῷ τὰ συμβάντα τοῖς Ἕλλησι, καὶ ὅτι ἀπέπλευσαν ἐκ Τροίας. συνόμνυσι δὲ τὰ αὐτὰ τοῖς μνηστῆρας, καὶ γνωρίσας τὴν Ἀθηνᾶν ἀπίοσιν, θυσίαν αὐτῇ ἐπιτελεῖ. Λακεδαίμονι δὲ ὁ Τηλέμαχος ἅρμα σὺν Πεισιστράτῳ Νέστορος ἡᾷ, ἐς Σπάρτην ἀπαίρει· νυκτὸς δὲ ἐπιγενομένης, ξενίζονται παρὰ Διοκλεῖ ἐν Φηραῖς.

ΑΛΛΩΣ.

Τηλέμαχος εἰς Πύλον καταχθεὶς, ἅμα τῇ Ἀθηνᾷ ὑπὸ Μέντορος μορφῇ, καταλαμβάνει τὸν Πυλίους θυσίαν ταύροις ἐπιτελοῦντας τῷ Ποσειδῶνι· καὶ παρὰ τοῦ πατρὸς αὐτῷ συμβαίνῃ, ἐκπλῆξαι πινὰ τῶν Ἰλιακῶν διηγημάτων· μὴ τοῦτο ἢ μὲν Ἀθηνᾶ ὑπὸ ὀργῆς μορφῇ ἀπαλλάττει· ὁ δὲ Νέστωρ θυσίαν αὐτῇ συντελέσας, τὸν Τηλέμαχον ἅμα τῷ υἱῷ Πεισιστράτῳ εἰς Λακεδαίμονα ἀποπέμπει.

Γάμμι ὑπὸ Νέστωρ δίκτο, σωῶστο δ' ὃς ᾧϊ, θεὰ ἔπλη.

ΗΕΛΙΟΣ δ' ἀνόρσε, λιπὼν περικαλλέα λίμνην,
Οὐρανὸν ἐς πολύχαλκον, ἵν' ἀθανάτοισι φαείνῃ,
Καὶ θνητοῖσι βροτοῖσιν ἐπὶ ζείδωρον ἄρουραν·
Οἱ δὴ Πύλον, Νηλῆος εὐκτίμμενον πολίεθρον,
Ἵξον· τοὶ δ' ἐπὶ θινὶ θαλάσσης ἱερὰ ῥέζον,
Ταύρους παμμέλανας Ἐνοσίχθονι κυανοχαίτῃ.
Ἐννέα δ' ἕδραι ἔσαν, πεντηκόσιοι δ' ἐν ἑκάστῃ
Εἵατο, ⟨ϲ⟩ περὶ δ' ἔχοντο ἑκάστοθι ἐννέα ταύρους·
Ἔνθ' οἱ σπλάχν' ἐπάσαντο, θεῷ δ' ἐπὶ μηρία κᾶιον.
Οἱ δ' ἰθὺς κατάγοντο, ἰδ' ἱστία νηὸς ἔϊσης
Στείλαν ἀείραντες, τὴν δ' ὥρμισαν· ἐκ δ' ἔβαν αὐτοὶ,
Ἐκ δ' ἄρα Τηλέμαχος νηὸς βαῖν'· ἦρχε δ' Ἀθήνη·
Τὸν πρότερη προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
"Τηλέμαχ', ἀ μέν σε χρὴ ἔτ' αἰδᾶς ἀδ' ἠθαιόν,
"Τέκνα γὰ κὴ τόντον ἐπέπλως, ὄφρα πύθηαι

1 ΑΝ. Ἀνόρμησεν. ΛΙΜ. Τὸν ἀπλανῆ.
2 ΠΟ. Ἰχυρὸν, στερεόν. ΦΑ. Φαεινὴ, λάμπη.
3 ΖΕΙ. Τῷ τε πᾶσι ζωὴν δωρουμένῳ.
5 ΙΞ. Ἀφίκοντο, ἦλθον. ΡΕ. Ἔπραττον, ἔθυον.
6 ΤΑΥ. Ταύρους μὲ, ἀπὸ τὸ βίαιον τῆ θαλάσσης· μέλανας δὲ, ἀπὸ τὴν χροιὰν ἣ ὑδατῶδες τὸν ὂν βάθος. ΕΝ. Τὸ Ποσειδᾶνι τῷ κινοῦντι τὴν γῆν· ἔνοσις γὰρ, ἡ κίνησις. Χθὰν δὲ, ἡ γῆ· δοκοῦσι γὰρ οἱ σεισμοὶ ἐξ αὐτῆς εἶναι. ΚΥ. Μελανοτρίχι.
7 ΕΝ. Ἐννέα στοιχεῖα ἦν τῆ πόλεως, ἀπὸ τὸ συνοικεῖσθαι εἶναι τὸν Πύλον.
8 ΕΙ. Ἦντο. ΠΡΟΥ. Προέχοντο, παιεῖχον, ἢ κατεῖχον, ἐπὶ τῷ σφαγῇ. ΕΚ. Ἑκάστοτε, ἐφ' ἑκάστης.
9 ΕΝ. Αὐτίκα ἤτοι. ΕΠ. Ἐλύσαντο.
10 ΕΙ. Ἴσης κατὰ τὰς τοίχας.
11 ΣΤΕΙ. Συνίστειλαν. ΕΚ. Ἐξέβησαν δέ.
12 ΒΑΙ. Ἐξέβαινεν.
14 ΕΤ. Ἔτι αἰδεῖσθαι.
15 ΕΠ. Ἔπλωσας.

" Πατρὸς, ὅπᾳ κύθε γαῖα, καὶ ὄντινα πότμον ἐπέπεσεν.
" Ἀλλ' ἄγε νῦν ἰθὺς κίε Νέστορος ἱπποδάμοιο·
" Εἴδομεν ὅντινα μῆλιν ἐνὶ φρήσι κέκευθε.
" Λίσσεσθαι δέ μιν αὐτὸν, ὅπως νημερτέα εἴπῃ·
" Ψεῦδος δ' οὐκ ἐρέει· μάλα γὰρ πεπνυμένος ἐστί.
Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
" Μέντορ, πῶς τ' ἄρ' ἴω, πῶς τ' ἄρ' προσπτύξομαι αὐτόν;
" Οὐδέ τί πω μύθοισι πεπείρημαι πυκινοῖσιν·
" Αἰδὼς δ' αὖ, νέον ἄνδρα γεραίτερον ἐξερέεσθαι.
Τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
" Τηλέμαχ', ἄλλα μὲν αὐτὸς ἐνὶ φρεσὶ σῇσι νοήσεις,
" Ἄλλα δὴ καὶ δαίμων ὑποθήσεται· οὐ γὰρ οἴω
" Οὔ σε θεῶν ἀέκητι γεγάσθαι τε τραφέμεν τε.
Ὣς ἄρα φωνήσασ' ἡγήσατο Παλλὰς Ἀθήνη
Καρπαλίμως· ὁ δ' ἔπειτα μετ' ἴχνια βαῖνε θεοῖο·
Ἷξον δ' ἐς Πυλίων ἀνδρῶν ἀγυρίν τε καὶ ἕδρας.
Ἔνθ' ἄρα Νέστωρ ἧστο σὺν υἱάσιν· ἀμφὶ δ' ἑταῖροι
Δαῖτ' ἐντυνόμενοι, κρέα ὤπτων, ἄλλα δ' ἔπειρον.
Οἵ δ', ὡς ἂν ξείνους ἴδον, ἀθρόοι ἦλθον ἅπαντες,
Χερσίν τ' ἠσπάζοντο, καὶ ἑδριάασθαι ἄνωγον.
Πρῶτος Νεστορίδης Πεισίστρατος ἐγγύθεν ἐλθὼν

16 ΚΥ. Κιύθῃ, κρύπτῃ, ἢ ἔκρυψεν. ΕΠ. Ἐπλήρωσεν.
18 ΕΙ. Γνῶμεν, μάθωμεν. ΜΗ. Βουλὴν, γνώμην.
22 ΙΩ. Προσθῶ, προσπτύξομαι, προσιτηρίσομαι, συνουσιάσω, φιλοφρονήσομαι.
23 ΠΕ. Ἔμπειρος εἰμὶ· οὐκ ἠσκημαι λόγοις. ΠΥ. Συνετοῖς, σώφροσιν.
24 ΓΕ. Παλαιότερον. ΕΞ. Ἐπιμανθάνειν.
27 ΥΠ. Ὑποθήσεται.
28 ΑΕ. Ἀδελφὸς, παρὰ γνώμην. ΓΕ. Γεγενῆσθαι.
31 ΙΞ. Ἀφίκοντο, ἦλθον. ΕΔ. Τὰ συνήθη.
33 ΕΝ. Παρακαθεζόμενοι. ΕΠ. Περιέπειραν, σύηρον, ὃ ἐστι διεπείρησαν.

Ἀμφοτέρων

Ἀμφοτέρων ἕλε χεῖρα, χὴ ἴδρυσεν ϖῆλε δαιτὶ
Κώεσιν ἐν μαλακοῖσιν, ἐπὶ ψαμάθοις ἁλίῃσι,
Πάρ τε κασιγνήτῳ Θρασυμήδεϊ χὴ ϖατέρι ᾧ.
Δῶκε δ' ἄρα ϖλάγχνων μοίρας, ἐν δ' οἶνον ἔχλυε
Χρυσέῳ ἐν δέπαϊ· δειδισκόμενος ἦ ϖροσηύδα
Παλλάδ' Ἀθηναίην κούρην Διὸς αἰγιόχοιο·
" Εὔχεο νῦν, ὦ ξεῖνε, Ποσειδάωνι ἄνακτι·
" Τῷ γὰρ καὶ δαίτης ἠντήσαμεν δεῦρο μολόντες.
" Αὐτὰρ ἐπὴν ϖείσης τε καὶ εὔξεαι, ἣ θέμις ἐστὶ,
" Δὸς καὶ τῷ ἔπειτα δέπας μελιηδέος οἴνου
" Σπεῖσαι· ἐπεὶ καὶ τοῦτον οἴομαι ἀθανάτοισιν
" Εὔχεσθαι· ϖάντες γὰρ θεῶν κατέουσ' ἀνθρωϖοι·
" Ἀλλὰ νεώτερός ἐστιν, ὁμηλικίη δ' ἐμοὶ αὐτῷ·
" Τοὔνεκά τοι ϖροτέρῳ δώσω χρύσειον ἄλεισον.
Ὣς εἰϖὼν, ἐν χερσὶ τίθη δέπας ἡδέος οἴνου,
Χαῖρε δ' Ἀθηναίη ϖεπνυμένῳ ἀνδρὶ δικαίῳ,
Οὕνεκά οἱ ϖροτέρη δῶκε χρύσειον ἄλεισον·
Αὐτίκα δ' εὔχετο ϖολλὰ Ποσειδάωνι ἄνακτι·
" Κλῦθι, Ποσείδαον γαιήοχε, μηδὲ μεγήρῃς
" Ἡμῖν εὐχομένοισι τελευτῆσαι τάδε ἔργα.
" Νέστορι μὲν ϖρώτιστα καὶ υἱάσι κῦδος ὄϖαζε,
" Αὐτὰρ ἔϖειτ' ἄλλοισι δίδε χαρίεσσαν ἀμοιβὴν,

37 ΙΔ. Ἐκάθισεν.
38 ΚΩ. Κωδίοις, δέρμασι ϖροβάτων. ΑΛ. Θαλασσίαις.
40 ΜΟΙ. Μερίδας. ΔΕΙ. Διεξιούμενος, φιλοφρονούμενος.
44 ΔΑΙ. Εὐωχίας. ΗΝ. Ἐπιτυχίδι, ϖαρατυχίδι. ΜΟΛ. Ἐλθόντες.
45 ΣΠΕΙ. Θύσης.
49 ΟΜ. Ὁμήλιξ, συνηλικιώτης.
50 ΠΡΟ. Πρώτῳ. ΑΛ. Ἔκπωμα ἐκτετορνευμένον, οἷον ὠϊάλιον ὑϖάρχον, ἢ ϖλαστὸν, ὅθεν ἐστὶν ἅλις ϖιεῖν.
55 ΜΕ. Φθονήσῃς.
58 ΑΜ. Χάριν, ἵκτησιν.

" Σύμπασι Πυλίοισιν, ἀγακλειτῆς ἑκατόμβης.
" Δὸς δ' ἔτι Τηλέμαχον κὴ ἐμὲ πᾐξαντα νέεσθαι,
" Οὕνεκα δεῦρ' ἱκόμεσθα θοῇ σὺν νηὶ μελαίνῃ·
Ὡς ἄρ' ἔφατ' ἠρᾶτο, καὶ αὐτὴ πάντα τελεύτα,
Δῶκε δὲ Τηλεμάχῳ καλὸν δέπας ἀμφικύπελλον.
Ὡς δ' αὕτως ἠρᾶτο Ὀδυσῆος φίλος υἱός.
Οἱ δ' ἐπεὶ ὤπῐησαν κρέ' ὑπέρτερα καὶ ἐρύσαντο,
Μοίρας δασσάμενοι, δαίνυνθ' ἑλικυδέα δαῖτα.
Αὐτὰρ ἐπεὶ θοίνης καὶ ἐδητύος ἐξ ἔρον ἔντο,
Τοῖς ἄρα μύθων ἦρχε Γερήνιος ἱππότα Νέστωρ·
" Νῦν δὴ κάλλιόν ἐστι μεταλλῆσαι κὴ ἐρέσθαι
" Ξείνους, οἵ τινές εἰσιν, ἐπεὶ τάρπησαν ἐδωδῆς.
" Ὦ ξεῖνοι, τίνες ἐστέ; πόθεν πολεῖθ' ὑγρὰ κέλευθα;
" Ἦ τι κατὰ πρῆξιν, ἢ μαψιδίως ἀλάλησθε,
" Οἷά τε λῃϊστῆρες ὑπεὶρ ἅλα; τοί γ' ἀλόωντα
" Ψυχὰς παρθέμενοι, κακὸν ἀλλοδαποῖσι φέροντες;
Τόνδ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα,
Θαρσήσας· αὐτὴ γὰρ ἐνὶ φρεσὶ θάρσος Ἀθήνη
Θῆκ', ἵνα μὶν πατρὸς ἀποιχομένοιο ἔροιτο,
Ἠδ' ἵνα μὶν κλέος ἐσθλὸν ἐν ἀνθρώποισιν ἔχῃσιν·

59 ΑΓ. Ἄγαν σὺν δόξῃ.
62 ΤΕΛ. Ἐπλέϊν, ἐπλήρα.
64 ΩΣ. Οὕτως δή.
65 ΥΠ. Τὰ ὑπέρτερα καὶ μείζονα ἐξῃρεν τῶν ἔνδον· ἔστιν δὲ νηπιάχοις, ταῦτα γὰρ ὑπερέχει τῶν λοιπῶν κρειῶν.
66 ΔΑ. Μεμισυμμένοι.
68 ΓΕ. Κατὰ μὲν Ἡσίοδον, ὁ ὢν Γερήνιος ἀνατρεφεὶς. κρείσσων ἢ ἀποδιδόναι, ὁ ἔντιμος, παρὰ τὸ γέρας.
69 ΚΑ. Καλόν. ΜΕ. Ἐπιζητῆσαι. ΕΡ. Ἐρωτῆσαι.
70 ΤΑΡ. Ἐκορέσθησαν.
71 ΠΛΕΙ. Πλεῖτε.
72 ΑΛ. Πλανᾶσθε.
73 ΑΗ. Οὐκ ἄδοξον ἦν παρὰ τοῖς παλαιοῖς τὸ λῃστεύειν, ἀλλ' ἔνδοξον. ΑΗ. Λῃστά. ΑΛ. Κατὰ τὴν θάλασσαν. ΑΛ. Πλανῶνται.
74 ΠΑΡ. Ἀφειδήσαντες ἑαυτῶν, παραβαλόντες. ΑΛ. Τοῖς ἀλλοφύλοις ξένοις.

" Ὦ

"Ὦ Νέστορ Νηληϊάδη, μέγα κῦδος Ἀχαιῶν,
" Εἶρεαι, ὁππόθεν εἰμέν· ἐγὼ δέ κε τοὶ καταλέξω·
" Ἡμεῖς ἐξ Ἰθάκης ὑπονησίδος εἰλήλουθμεν,
" Πρῆξις δ' ἣδ' ἰδίη, ἀ δήμιος, ἣν ἀγορεύσω.
" Πατρὸς ἐμοῦ κλέος εὐρὺ μετέρχομαι, ἤπτα ἀκούσω,
" Δίου Ὀδυσσῆος πολασίφρονος· ὅν ποτέ φασιν,
" Σὺν σοὶ μαρνάμενον, Τρώων πόλιν ἐξαλαπάξαι.
" Ἄλλους μὲν γὰρ πάντας, ὅσοι Τρωσὶν πολέμιζον,
" Πευθόμεθ', ἧχι ἕκαστος ἀπώλεσε λυγρῷ ὀλέθρῳ·
" Κείνου δ' αὖ ὃ ὄλεθρον ἀπευθέα ϝῆκε Κρονίων.
" Οὐ γάρ τις δύναται σάφα εἰπέμεν, ὁππόθ' ὄλωλεν·
" Εἴθ' ὅγ' ἐπ' ἠπείρου δάμη ἀνδράσι δυσμενέεσσιν,
" Εἴτε ὃ ἐν πελάγει μετὰ κύμασιν Ἀμφιτρίτης.
" Τοὔνεκα νῦν τε σὲ γούνατ' ἰκάνομαι, αἴκ' ἐθέλῃθα
" Κείνου λυγρὸν ὄλεθρον ἐνισπεῖν, εἴπε ὄπωπας
" Ὀφθαλμοῖσι τεοῖσιν, ἢ ἄλλου μῦθον ἄκουσας
" Πλαζομένου· περὶ γάρ μιν οἰζυρὸν τέκε μήτηρ.
" Μηδέ τί μ' αἰδόμενος μειλίσσεο, μηδ' ἐλεαίρων,
" Ἀλλ' εὖ μοι κατάλεξον, ὅπως ἤντησας ὀπωπῆς·
" Λίσσομαι, εἴπερ τοί τι πατὴρ ἐμὸς ἐσθλὸς Ὀδυσεύς,

80 ΕΙ. Ἐρωτᾷς.
81 ΥΠ. Τῆς ὑπὸ τὸ Νήϊον ὄρος κειμένης.
82 ΔΗ. Οὐ δημοτίᾳ.
83 ΜΕ. Ἐπιζητῶ.
84 ΤΑ. Ὑπομνηϊκῶ.
85 ΕΞ. Ἐκπορθῆσαι.
87 ΠΕΥ. Ἐμάθομεν, ἠκούσαμεν. ΛΥ. Χαλεπῶ.
88 ΑΠ. Ἀνήκεστον.
91 ΑΜ. Τῆς θαλάσσης· λέγεται δ' ὕστω ὃ ἡ Ποσειδῶνος γυνή.
92 ΙΚ. Ἱκετεύω.
93 ΕΝ. Εἰπεῖν. ΟΠ. Ἐθέλοντι, ἱκέσαιτο.
95 ΟΙ. Ἐπίπονον, παλαίπωρον.
96 ΜΕΙ. Μείλιχα καὶ αἰσχύνῃ λέγε. ΕΛ. Ἐλεῶν.
97 ΚΑ. Ἕκαστα ἀπό. ΗΝ. Ἀπώτατος. ΟΠ. Θέας, παρὰ τὰς ὤπας, ἢ φωνῆς, παρὰ τὸ ὄπα.

"Ἦ ἔπος

" Ἦ ἔπος, ἠέ τι ἔργον ὑποσχὰς ἐξετέλεσσε
" Δήμῳ ἔνι Τρώων, ὅθι πάσχεε κῆματ' Ἀχαιοὶ·
" Τῶν νῦν μοι μνῆσαι, καί μοι νημερτὲς ἔνισπε.
Τὸν δ' ἠμείβετ' ἔπειτα Γερήνιος ἱππότα Νέστωρ·
" Ὦ φίλ, ἐπεί μ' ἔμνησας ὀιζύος, ἣν ἐν ἐκείνῳ
" Δήμῳ ἀνέτλημεν μθύος ἄσχετοι υἷες Ἀχαιῶν,
" Ἣ μὲν ὅσα ζὺν νηυσὶν ἐπ' ἠρεσιδέα κῶπην
" Πλαζόμενοι κατὰ λησὶ', ὅπη ἄρξειεν Ἀχιλλεὺς,
" Ἠδ' ὅσα κῆ σφὶ ἄσυ μέγα Περγάμοιο ἄνακτος
" Μαρνάμεθ', ἔνθα δ' ἔπειτα κατέκταθεν, ὅσσοι ἄριστοι·
" Ἔνθα μὲν Αἴας κεῖτα ἀρήϊος, ἔνθα δ' Ἀχιλλεὺς,
" Ἔνθα ζὴ Πάτροκλος, θεόφιν μήτωρ ἀτάλαντος,
" Ἔνθα δ' ἐμὸς φίλος υἱὸς, ἄμα κρατερὸς κῆ ἀμύμων,
" Ἀντίλοχος, σφὶ μὲν θέειν ταχὺς, ἠδὲ μαχητής·
" Ἄλλα τε πολλ' ὀπὶ τοῖς πάθομεν κακά· τίς κεν ἐκεῖνα
" Πάντα γὲ μυθήσαιτο καταθνητῶν ἀνθρώπων;
" Οὐδ' εἰ πενταέτες γε κῆ ἑξαέτης σφιμίμνων
" Ἐξερέοις, ὅσα κεῖθι πάθον κακὰ δῖοι Ἀχαιοί·
" Πρίν κεν ἀνιηθεὶς σὴν πατρίδα γαῖαν ἵκοιο.
" Εἰνάετες γάρ σφιν κακὰ ῥάπτομεν ἀμφιέποντες
" Παντοίοισι δόλοισι· μόγις δ' ἐτέλεσσε Κρονίων.
" Ἐνθ' ὄτις ποτὲ μῆτιν ὁμοιωθήμεναι ἄντιῳ

99 ΥΠ. Ὑπομένας, νῶν ὑποσχόμενος. ΕΞ. Ἐτελέωσεν, ἐπλήρωσεν.
101 ΜΝΗ. Μνημόσυνον. ΕΝ. Εἶπε.
104 ΑΝ. Ὑπεμείναμεν. ΜΕ. Τὴν δύσκλειαν ἀκατάσχετοι, ἀνδρᾶσι.
106 ΛΗ. Κατὰ τὴν λέσχην, ἢ τὸν τῆ λαφύρων κτῆσιν. Ο. Ὅπου. ΑΡ. Ἡγήσαιτο.
108 ΜΑΡ. Μαχόμεθα.
110 ΘΕ. Θεοῖς ὁμοιωθῆναι ὄμοιος.
114 ΜΥ. Εἶπον.
115 ΠΑ. Παρεμένων.
116 ΕΞ. Ἐξερωτήσειας, ἐρωτήσεις.
118 ΚΑ. Κακὰ ἐκπαθεῖν, συνεργῶμεν, ἐπιχειρῶμεν.

" Ἤθελ'

"Ἤθελ', ἐπεὶ μάλα πολλὸν ἐνίκα δῖος Ὀδυσεὺς
" Παντοίοισι δόλοισι, πατὴρ τέος· εἰ ἐτεόν γε
" Κεῖνα ἔκγονός ἐστι· σέβας μ' ἔχει εἰσορόωντα·
" Ἦτοι γὰ μῦθοί γε ἐοικότες, οὐδέ κε Φαίης
" Ἄνδρα νεώτερον ὧδε ἐοικότα μυθήσασθαι. 125
" Ἔνθ' ἦτοι εἶως μὲν ἐγὼ καὶ δῖος Ὀδυσεὺς,
" Οὔτε πρὶν εἰν ἀγορῇ δίχ' ἐβάζομεν, οὔτ' ἐνὶ βουλῇ,
" Ἀλλ' ἕνα θυμὸν ἔχοντε, νόῳ, καὶ ἐπίφρονι βουλῇ
" Φραζόμεθ', Ἀργείοισιν ὅπως ὄχ' ἄριστα γένηται.
" Αὐτὰρ ἐπεὶ Πριάμοιο πόλιν διεπέρσαμεν αἰπὴν, 130
" Βῆμεν δ' ἐν νήεσσι, θεὸς δ' ἐκέδασσεν Ἀχαιούς·
" Καὶ τότε δὴ Ζεὺς λυγρὸν ἐνὶ φρεσὶ μήδετο νόστον
" Ἀργείοις· ἐπεὶ οὔτι νοήμονες, οὐδὲ δίκαιοι
" Πάντες ἔσαν· τῷ σφέων πολέες κακὸν οἶτον ἐπέσπον,
" Μήνιος ἐξ ὀλοῆς Γλαυκώπιδος ὀβριμοπάτρης, 135
" Ἥ τ' ἔριν Ἀτρεΐδῃσι μετ' ἀμφοτέροισιν ἔθηκεν.
" Τὼ ἥ καλεσαμένω ἀγορὴν ἐς πάντας Ἀχαιοὺς
" Μὰψ ἀπὰρ ἅ κατὰ κόσμον, ἐς ἠέλιον καταδύντα,
" (Οἱ δ' ἦλθον οἴνῳ βεβαρηότες ἶφι Ἀχαιῶν,)
" Μῦθον μυθέεσθην, ὅ εἵνεκα λαὸν ἄγειραν. 140

121 ΗΘ. Ἠδύνατο.
122 ΤΕ. Ὁ σὸς.
123 ΕΚ. Παῖς. ΣΕ. Ἔκπληξις.
124 ΜΥ. Λέγει. ΦΑ. Εἶπας, ἀντὶ δ' ὅπως τὶς ἄν.
126 ΕΙ. Ἐφ' ὃν χρέος.
127 ΔΙΧ. Ἐδιχογνωμονήμεν, ἰλίγμεν.
128 ΕΝ. Ὁμονοοῦντε. ΕΠ. Σωιτῆ. ΒΟΥ. Σκέψῃ, γνώμῃ.
129 ΦΡΑ. Ἐοικυίομεθα.
130 ΔΙΕ. Παστιλῶς ἐπορθήσαμεν.
131 ΒΗ. Ἔημεν, ἀσπάλομεν.
134 ΣΦΕ. Αὐτῶν. ΕΠ. Ἐπλήρωσαν.
135 ΜΗ. Ἐπὶ Αἴαστι τ' Λοκρὸν σὺν σκόλασιν, βιασπάθρου ἐν τῷ ἱερῷ αὐτῆς Κασσάνδραν. ΜΗ. Ὀργῆς.
137 ΚΑ. Καλίσκηις.
140 ΜΥ. Ἔλεγον. ΑΓ. Σωπήσαι σαν.

" Ἔνθ'

" Ἐνθ' ἦτοι Μενέλαος ἀνώγει πάντας Ἀχαιοὺς
" Νόσφι μιμνήσκειας ἐπ' εὐρέα νῶτα θαλάσσης·
" Οὐδ' Ἀγαμέμνονι πάμπαν ἐήνδανε· βέλετο γάρ ῥα
" Λαὸν ἐρυκακέειν, ῥέζειν θ' ἱερὰς ἑκατόμβας,
" Ὡς τὴν Ἀθηναίης δεινὸν χόλον ἐξακέσαιτο·
" Νήπιος, οὐδὲ τὸ ᾔδη, ὃ δ' ἀπείσειας ἔμελλεν·
" Οὐ γάρ τ' αἶψα θεῶν τρέπεται νόος αἰὲν ἐόντων·
" Ὡς τὼ μὲν χαλεποῖσιν ἀμειβομένω ἐπέεσσιν
" Ἕστασαν· οἱ δ' ἀνόρουσαν ἐϋκνήμιδες Ἀχαιοὶ
" Ἠχῇ θεσπεσίῃ· δίχα δὲ σφίσιν ἤνδανε βουλή.
" Νύκτα μὲν ἀέσαμεν χαλεπὰ φρεσὶν ὁρμαίνοντες
" Ἀλλήλοις· (ἐπὶ γὰρ Ζεὺς ἤρτυε πῆμα κακῆϊ·)
" Ἠῶθεν δ' οἱ μὲν νέας εἵλκομεν εἰς ἅλα δῖαν,
" Κτήματά τ' ἐνθέμεθα, βαθυζώνους τε γυναῖκας·
" Ἡμίσεες δ' ἄρα λαοὶ ἐρητύοντο μένοντες
" Αὖθι, παρ' Ἀτρεΐδῃ Ἀγαμέμνονι, ποιμένι λαῶν·
" Ἡμίσεες δ' ἀναβάντες ἐλαύνομεν· αἱ δὲ μάλ' ὦκα
" Ἔπλεον· ἐσόρεσεν δὲ θεὸς μεγακήτεα πόντον.
" Ἐς Τένεδον δ' ἐλθόντες, ἐρέξαμεν ἱρὰ θεοῖσιν,
" Οἴκαδε ἱέμενοι· Ζεὺς δ' οὔπω μήδετο νόστον,
" Σχέτλιος, ὃς ῥ' ἔριν ὦρσε κακὴν ἐπὶ δεύτερον αὖτις.
" Οἱ μὲν ἀποστρέψαντες ἔβαν νέας ἀμφιελίσσας,

144 ΕΡ. Κατασχεῖν, κωλύσαι.
145 ΕΞ. Θεραπεύσειεν, ἰάσαιτο.
146 ΠΕΙ. Πείσειν.
147 ΤΡΕ. Μεταδάλλεται.
148 ΑΜ. Ἐξ ἀμοιβῆς ἀλλήλοις ἀποκρινόμενοι.
149 ΕΣΤ. Ἀντὶ ᾧ, διέγειραν. ΑΝ. Ἀνώρμησαν.
151 ΑΕ. Ἀνεπαυσάμεθα, ἐκοιμήθημεν, ἢ διενυκτερεύσαμεν, ἐμείναμεν. ΟΡ. Ἐνηυκλιόμεθα, βαλδούμεθα.
152 ΗΡ. Παρεσκευάζειν.
155 ΗΜ. Ἡμίσεις. ΕΡ. Ἔμειναν οἰκεία τῇ γνώμῃ.
158 ΕΣΤ. Ἔσφαττε, χαλεπῶς ἐπικότως. ΜΕ. Μεγάλα κήτη ἔχοντα.
159 ΕΡ. Ἐπταξάμεν, ἐθύσαμεν.

" Ἀμφ'

" Ἀμφ' Ὀδυσῆα ἄνακτα δαίφρονα ποικιλομήτεω,
" Αὐτὶς ἐπ' Ἀτρεΐδῃ Ἀγαμέμνονι ἦρα φέροντες.
" Αὐτὰρ ἐγὼ σὺν νηυσὶν ἀολλέσιν, αἰ μοι ἕποντο,
" φεῦγον, ἐπεὶ γίνωσκον, ὃ δὴ κακὰ μήδετο δαίμων.
" φεῦγε δὲ Τυδέος υἱὸς ἀρήϊος, ὦρσε δ' ἑταίρους·
" Ὀψὲ γὴ δὴ μετὰ νῶϊ κίε ξανθὸς Μενέλαος,
" Ἐν Λέσβῳ δ' ἔκιχεν δολιχὸν πλόον ὁρμαίνοντας,
" Ἦ καθύπερθε Χίοιο νεώμεθα παιπαλόεσσης,
" Νήσου ὑπὸ Ψυρίης, αὐτῷ ἐπ' ἀριστερὰ ἔχοντες,
" Ἦ ὑπένερθε Χίοιο, πὰρ' ἠνεμόεντα Μίμαντα.
" Ἠτέομεν δὲ θεὸν φῆναι τέρας· αὐτὰρ ὅγ' ἡμῖν
" Δεῖξε, καὶ ἠνώγει πέλαγος μέσον εἰς Εὔβοιαν
" Τέμνειν, ὄφρα τάχιστα ὑπεκ κακότητα φύγοιμεν.
" Ὦρτο δ' ἐπὶ λιγὺς οὖρος ἀήμεναι· αἱ δὲ μάλ' ὦκα
" Ἰχθυόεντα κέλευθα διέδραμον, ἐς δὲ Γεραιὸν
" Ἐννύχιαι κατάγοντο· Ποσειδάωνι δὲ ταύρων

164 Η. Ἐπιθυμητά.

168 ΝΩ. Ὡς ὠθὸς ἡμᾶς, μεθ' ἡμᾶς.

169 ΛΕΣ. Λίσσος, νῆσος Τροίας, ἴσχει πόλεις, Πύῤῥαν, Ἔρεσσον, Μιτυλήνην, Μήθυμναν, Ἄντισσαν. ΕΚ. Κατίλκουν. ΟΡ. Διανοκμίνας ὠθεῖ μακρὸν πλοῦν.

170 ΚΑ. Ὑπεράνωθεν. ΝΕ. Ποεσόμεθα, ἀντὶ τοῦ πλέομεν. ΠΑΙ. Τραχείας.

171 ΨΥ. Νησίδιόν ἐστι λυπρὸν ἀπέχον σταδίους π', τῆς Χίου· ὃ καὶ αἰγιαλὸν ἴσχει, ἐν ᾧ εἰσὶ λιμένες ὑποδεχόμενοι ὑπὸ πᾶν Αἰγαίου πλάγος παρασημαίνας τὰς ἴσους· μίμνει Δημοσθένης· κεῖται ἡ νῆσος Χίου μεταξὺ τῶν Ψυρῶν καὶ τοῦ Μιμαντίου. ΑΥ. Τὴν Χίον λέγει.

172 ΥΠ. Ὑποκάτωθεν. Ἐρυθρᾶν Ἰωνίας, ἀντίκρυς Χίου, τῆς νήσου. ΗΝ. Ἀνέμοις καταπνεόμενον, καταπνευστὸν, ὑψηλόν. ΜΙ. Ὁ Μίμας, ὄρος ἀπὸ Μιμάντου, ἑνὸς τῶν γιγάντων, ὀνομαθέν.

173 ΗΤ. Ἠτοῦμεν, παρεκαλοῦμεν. ΦΗ. Δᾶξαι.

174 ΗΝ. Ἐκεῖθεν. ΜΕ. Τὴν τέτων μέσην ὁδόν. ΕΥ. Νῆσον, ἐγγὺς Ἀθηνῶν.

175 ΤΕΜ. Διαπρᾶξαι. ΚΑ. Τὸν κίνδυνον, τὴν κακίαν.

176 ΟΥ. Πόμπιμος ἄνεμος. ΑΗ. Πνεῦν, φυσᾶν.

177 ΙΧ. Τὴν θάλασσαν λέγει. ΓΕ. Γεραιὸς, λιμὴν Εὐβοίας.

178 ΕΝ. Εὐθείᾳ, κατὰ νῶτα.

" Πόλλ' ἐπὶ μήρ' ἔθεμεν, πέλαγος μέγα μετρήσαντες.
" Τέτρατον ἦμαρ ἔλω, ὅτ' ἐν Ἀργεῖ νῆας ἔἰσας
" Τυδείδεω ἕταροι Διομήδεος ἱπποδάμοιο
" Ἔκτισαν· αὐτὰρ ἔγωγε Πύλονδ' ἔχον· οὐδέ πῃ ἔσθη
" Οὖρος, ἐπειδὴ πρῶτα θεὸς πρυλέκτεν ἀῆναι.
" Ὡς ἦλθον, φίλε τέκνον, ἀπωλόμην· οὐδέ τι οἶδα
" Κείνων, οἵ τ' ἐσάωθεν Ἀχαιῶν, οἵ τ' ἀπόλοντο.
" Ὅσσα δ' ἐνὶ μεγάροισι καθήμενος ἠμετέροισι
" Πεύθομαι, ἦ θέμις ἐστί, δαήσεαι, οὐδέ σε κεύσω.
" Εὖ μὲν Μυρμιδόνας φάσ' ἐλθέμεν ἐγχεσιμώρους,
" Οὓς ἄγ' Ἀχιλλῆος μεγαθύμου Φαίδιμος υἱός·
" Εὖ δὲ Φιλοκτήταο, Ποιάντιον ἀγλαὸν υἱόν·
" Πάντας δ' Ἰδομενῆος Κρήτῃσι εἰσήγαγ' ἑταίρους,
" Οἳ φύγον ἐκ πολέμου, πόνος δέ οἱ ἔτλη ἀπήνρα·
" Ἀτρεΐδην δὲ κὴ αὐτὸν ἀκούετε νόσφιν ἐόντες,
" Ὡς τ' ἦλθ', ὡς τ' Αἴγισθος ἐμήσατο λυγρὸν ὄλεθρον.
" Ἀλλ' ἦτοι κεῖνος μὲν ὀπισμυγερῶς ἀπέτισεν·
" Ὡς ἀγαθὸν Ϲ παῖδα καταφθιμένοιο λιπέσθαι
" Ἀνδρός· ἐπεὶ κὴ κεῖνος ἐτίσατο πατροφονῆα,
" Αἴγισθον δολόμητιν, ὃς οἱ πατέρα κλυτὸν ἔκτα.

179 ΜΕ. Διελθόντες, διαπεράσαντες, ἐλαυνόμενοι.
182 ΕΣ. Ἐσοίσθη, ἐπαύσθη.
183 ΑΗ. Πνεῦσαι.
184 ΦΙ. Ἦτοι ὡσὲ τὸ σημαινόμενον ἀπήντησε φίλῳ, τὸ δὲ τέκνον ἐδέησεν· ἢ ὡσὲ τὸ σωφρονοῦν, τὸ παῖς. ΑΠ. Μηδὲν συνηκόμενος, ἢ ἀκούσας.
185 ΕΣ. Ἐσάωσαν.
187 ΠΕΥ. Πυνθάνομαι, ἀκούω. ΘΕ. Ὡς δίκαιον, ὡς ὁ νόμος. ΔΑ. Μαθήσῃ.
ΚΕΥ. Κρύψω.
188 ΜΤ. Οἱ νεώτεροι τὸ Νοσφίλιμον εἰς τὸ Ἤπειρον ἐλθεῖν λέγουσι.
192 ΠΟΝ. Οὐκ ἀπέλαυσεν ὁ ποιητὴς πόνου, ὡς τὸ ἀκροπόνησεν πικρόν.
194 ΕΜ. Διεπράξαθο, ἠργάσατο.
195 ΕΠ. Ἐπιπόνως, τὸ μίτιον μετάληψιν· Αἰολικῶς ἢ ἐστὶν, ἐπιπόνως.
196 ΚΑ. Ἀποθανόντος. ΛΙ. Κατελείφθησαν.

" Καὶ

" Καὶ σὺ, Φίλος, (μάλα γάρ σ' ὁρόω καλόν τε μέγαν τε,)
" Ἄλκιμος ἔσο, ἵνα τίς σε καὶ ὀψιγόνων εὖ ἔπῃ.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
" Ὦ Νέστορ Νηληϊάδη, μέγα κῦδος Ἀχαιῶν,
" Καὶ λίην κεῖνος μὲν ἐτίσατο, καί οἱ Ἀχαιοὶ
" Οἷσιν κλέος εὐρὺ, καὶ ἐσομένοισιν ἀοιδήν.
" Αἲ γὰρ ἐμοὶ τοσσήνδε θεοὶ δύναμιν περὶ θεῖεν
" Τίσασθαι μνηστῆρας ὑπερβασίης ἀλεγεινῆς,
" Οἵτε μοὶ ὑβρίζοντες ἀτάσθαλα μηχανόωντο.
" Ἀλλ' ἄ μοι τειῦτον ἐπέκλωσαν θεοὶ ὄλβον,
" Πατρί τ' ἐμῷ καὶ ἐμοί· νυῦ ἦ χρὴ τελλάμεν ἔμπης.
Τὸν δ' ἠμείβετ' ἔπειτα Γερήνιος ἱππότα Νέστωρ·
" Ὦ φίλ', ἐπειδὴ ταῦτά μ' ἀνέμνησας καὶ ἔειπες,
" Φασὶ μνηστῆρας σῆς μητέρος εἵνεκα πολλὰς
" Ἐν μεγάροις, ἀέκητι σέθεν, κακὰ μηχανάασθαι·
" Εἰπέ μοι, ἦε ἑκὼν ὑποδάμνασαι, ἤ σέ γε λαοὶ
" Ἐχθαίρουσ' ἀνὰ δῆμον, ὀπιπτόμενοι θεὸς ὀμφῇ;
" Τίς δ' οἶδ', εἴ κε πτέ σφι βίας ἀποτίσεται ἐλθὼν,
" Ἢ ὅγε μοῦνος ἐὼν, ἢ καὶ σύμπαντες Ἀχαιοί;
" Εἰ γάρ σ' ὡς ἐθέλοι φιλέειν γλαυκῶπις Ἀθήνη,
" Ὡς τότ' Ὀδυσῆϊ περικήδετο κυδαλίμοιο,
" Δήμῳ ἐνὶ Τρώων, ὅθι πάσχομεν ἄλγε' Ἀχαιοί·
" (Οὐ γάρ πω ἴδον ὧδε θεὸς ἀναφανδὰ φιλεῦντας,

205 ΑΙ. Εἴθ γὰρ ἐμοί.
206 ΥΠ. Ὑπερφανίας.
208 ΕΠ. Εἰκὸς μοίσθαι ἐπίπαν. ΟΛ. Εὐδαιμονίαν.
209 ΤΕ. Καρπεῖν.
213 ΜΗ. Ἐπιτοιῶν.
214 ΥΠ. Ὑποτίπτειν.
215 ΕΧ. Μισεῦσιν. ΕΠ. Ἀχθεσθέντες καὶ παιδόβροι. ΟΜ. Χρησμῷ, κληδόνι, μαντείᾳ.
221 ΑΝ. Ἐκ τῆ φαινῆ, φανερῶς. ΦΙ. Φιλοῦντας.

" Ὡς κείνῳ ἀναφανδὰ παρίστατο Παλλὰς Ἀθήνη.)
" Εἴ σ' ἄτως ἐθέλοι φιλέειν, κήδοιτό τε θυμῷ,
" Τῷ κέν τις κείνων γε καὶ ὀκνελάθοιτο γάμοιο.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
" Ὦ γέρον, ἄπτω τοῦτο ἔπος τελέεσθαι ὀΐω·
" Λίην γὰρ μέγα εἶπες· ἄγη μ' ἔχει· οὐκ ἂν ἔμοιγε
" Ἑλπομένῳ τὰ γένοιτ', οὐδ' εἰ θεοὶ ὣς ἐθέλοιεν.
Τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
" Τηλέμαχε, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων;
" Ῥεῖα θεός γ' ἐθέλων καὶ τηλόθεν ἄνδρα σαώσαι·
" Βουλοίμην δ' ἂν ἔγωγε καὶ ἄλγεα πολλὰ μογήσας,
" Οἴκαδέ τ' ἐλθέμεναι καὶ νόστιμον ἦμαρ ἰδέσθαι,
" Ἢ ἐλθὼν ὀπολέσθαι ἐφέσιος, ὡς Ἀγαμέμνων
" Ὤλεθ', ὑπ' Αἰγίσθοιο δόλῳ καὶ ἧς ἀλόχοιο.
" Ἀλλ' ἦτοι θάνατον μὲν ὁμοίιον οὐδὲ θεοί περ
" Καὶ φίλῳ ἀνδρὶ δύνανται ἀλαλκέμεν· ὁππότε κέν δὴ
" Μοῖρ' ὀλοὴ καθέλῃσι πανημέριος θανάτοιο.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
" Μέντορ, μηκέτι ταῦτα λεγώμεθα, κηδόμενοί περ.
" Κείνῳ δ' οὐκ ἔτι νόστος ἐτήτυμος, ἀλλά οἱ ἤδη
" Φράσαντ' ἀθάνατοι θάνατον καὶ κῆρα μέλαιναν.
" Νῦν δ' ἐθέλω ἔπος ἄλλο μεταλλῆσαι καὶ ἐρέσθαι
" Νέστορ'· ἐπεὶ σοφίοιδε δίκας ἠδὲ φρόνιν ἄλλων·

223 ΚΗ. Φροντίζοι.
224 ΕΚ. Ἐπιλάθοιτο.
231 ΣΑ. Σῶσαι, ἀντὶ τοῦ σώσῃ.
234 ΕΦ. Ἐπὶ τῇ ἑαυτοῦ ἐσίᾳ, εἰς τὴν ἰδίαν οἰκίαν.
236 ΟΜ. Τὸν ὁμοίως ἐπὶ παίδας καὶ φύσιν ἐρχόμενον.
238 ΜΟΙ. Θανατικὴ ἀνάγκη.
240 ΛΕ. Διαλιχμίσωμεθα. ΚΗ. Καίπερ λυπούμενοι.
241 ΕΤ. Ἀληθής.
242 ΦΡ. Ἐβουλεύσαντο.
244 ΔΙ. Δίκαια, καθήκοντα. ΦΓΟ. Φρόνησιν.

" Τρὶς

" Τρὶς γὰρ δή μιν Φασὶν ἀνάξασθ γένε' ἀνδρῶν·
" Ὤρσε μοὶ ἀθανάτοις ἰνδάλλε' εἰσορόασθ.
" Ὦ Νέστορ Νηληϊάδη, σὺ δ' ἀληθὲς ἔνισπε,
" Πῶς ἔθαν' Ἀτρεΐδης εὐρυκρείων Ἀγαμέμνων;
" Ποῦ Μενέλαος ἔἷω; τίνα δ' αὐτῷ μήσατ' ὄλεθρον
" Αἴγισθος δολόμηδις; ἐπεὶ κτάνε πολλὸν ἀρείω.
" Ἦ οὐκ Ἄργεος ἦεν Ἀχαιϊκοῦ, ἀλλά πη ἄλλη
" Πλάζετ' ἐπ' ἀνθρώπους, ὁ ἦ θαρσήσας κατέπεφνε;
Τὸν δ' ἠμείβετ' ἔπειτα Γερήνιος ἱππότα Νέστωρ·
" Τοίγαρ ἐγώ τοι, τέκνον, ἀληθέα πάντ' ἀγορεύσω·
" Ἦτοι μὲν παῖδε κ' αὐτὸς ὀΐεαι, ὥς κεν ἐτύχθη·
" Εἰ ζώοντ' Αἴγισθον ἐνὶ μεγάροισιν ἔπετμεν
" Ἀτρεΐδης, Τροίηθεν ἰών, ξανθὸς Μενέλαος·
" Τῷ κέ οἱ ὧδὲ θανόντι χυτὴν ἐπὶ γαῖαν ἔχυσαν,
" Ἀλλ' ἄρα τόν γε κύνες τε Ϝ οἰωνοὶ κατέδαψαν
" Κείμενον ἐν πεδίῳ ἐκὰς ἄστεος· οὐδέ κε τίς μιν
" Κλαῦσεν Ἀχαιϊάδων· μάλα γὰρ μέγα μήσατο ἔργον·
" Ἡμεῖς μὲν γὰρ κεῖθι πολέας τελέοντες ἀέθλους
" Ἤμεθ'· ὁ δ' εὔκηλος μυχῷ Ἄργεος ἱπποβότοιο
" Πόλλ' Ἀγαμεμνονέλω ἄλοχον θέλγεσκ' ἐπέεσσιν,

245 ΑΝ. Βασιλεῦσιν.
246 ΙΝ. Ὁμοιῶσιν, φαίνεσιν, φανεσπεῖσιν. ΕΙΣ. Ὁρᾷν, ἀντὶ τοῦ ὁρῶντι, βλέποντι.
249 ΜΗ. Εἰργάσατο, ἐπιχείρησε.
250 ΔΟ. Δολίᾳ βουλεύσει μᾶλλον. ΚΤΑ. Ἀνῄλιν, ἐφόνευσεν. ΑΡ. Βιλτίονα.
251 ΑΧ. Ἆρα οὐκ ἐν τῇ Ἄργει ἦν ἡ Ἀχαιίας;
252 ΚΑ. Ἀνεῖλεν.
254 ΑΓ. Λίξω, εἶπον.
256 ΕΤ. Κατιλακοῦν.
257 ΤΡΟΙ. Ἀπὸ τῆς Τροίας.
258 ΧΥ. Τῷ ἐπιχειρουμένῳ τοῖς νεκροῖς γῆν.
259 ΟΙ. Σαπροφάγοι ὄρνιθες. ΚΑ. Κατίφαγον.
261 ΜΕ. Μίγα καὶ χαλεπὸν ἐθελούσατο· ὁ ἐστι, ἔργον χαλεπὸν ἐμηχανήσατο.
262 ΤΕ. Ἐκπαλαίντες.
263 ΜΥ. Τῷ ἐσπάτῳ μέρει τοῦ Ἄργους.
264 ΘΕΛ. Ἠπάτα.

" Ἦδ'

" Ἦ δ' ἤτοι τοπῇσι μὲν ἀναίνετο ἔργον ἀεικὲς
" Διῖα Κλυζαιμνήστρη, (φρεσὶ γὰρ κέχρητ' ἀγαθῇσι·
" Παρ γὰρ ἔμιν κ' αἰσιδος ἀνὴρ, ᾧ πολλ' ἐπέτελλεν
" Ἀτρείδης, Τροίηνδε κιὼν, εἴρυσθ' ἄχεϊτιν)
" Ἀλλ' ὅτε δὴ μιν μοῖρα θεῶν ἐπέδησε δαμῆναι,
" Δὴ τότε τ' μὲν ἀοιδὸν ἄγων ἐς νῆσον ἐρήμην,
" Κάλλιπεν οἰωνοῖσιν ἕλωρ ἠ κῦρμα γενέσθαι·
" Τὴν δ' ἐθέλων ἐθέλουσαν ἀνήγαγεν ὄνδε δόμονδε.
" Πολλὰ δὲ μηρί' ἔκηε θεῶν ἱεροῖς ἐπὶ βωμοῖς,
" Πολλὰ δ' ἀγάλματ' ἀνῆψεν, ὑφάσματά τε, χρυσόν τε,
" Ἐκτελέσας μέγα ἔργον, ὃ ὄφρα ἔλπετο θυμῷ.
" Ἡμεῖς μὲν γὰρ ἅμα πτολέμεν Τροίηθεν ἰόντες,
" Ἀτρείδης κ' ἐγὼ, φίλα εἰδότες ἀλλήλοισιν·
" Ἀλλ' ὅτε Σένιον ἱρὸν ἀφικόμεθ', ἄκρον Ἀθηνῶν,
" Ἔνθα κυβερνήτην Μενελάϊ φοῖβος Ἀπόλλων
" Οἷς ἀγανοῖς βελέεσσιν ἐπιχόμενος κατέπεφνε,
" Πηδάλιον μ' χερσὶ θέσθης νηὸς ἔχοντα,
" Φρόντιν Ὀνητορίδην, ὃς σκαίνυτο φῦλ' ἀνθρώπων
" Νῆα κυβερνῆσαι, ὁπότε πτέρχοιεν ἄελλαι.
" Ὡς ὁ μὲν ἔνθα κατέσχε', ἐπειγόμενός περ ὁδοῖο,

265 ΕΡ. Τιὼ μοιχείαν.
266 ΔΙ. Διῖα, ἰσχυὰς, πρὸ δ μοιχεύθηναι. ΦΡΕ. Φρεσὶν ἀγαθαῖς.
267 ΠΑΡ. Συμπαιζῆν ἢ αὐτῇ καὶ ἀοιδὸς· τὸ γὰρ ἀρχαῖον, οἱ ἀοιδοὶ φιλοσόφων τάξιν ἐπεῖχον. Τινὲς ἢ, κακῶς νοήσαντες, τ ἰσνέχον ἀπέδοσαν.
268 ΕΙ. Φυλαττειν.
271 ΚΥΡ. Ἐγκύρημα, ἐπίτυγμα.
273 ΕΚ. Ἔκαυσεν.
274 ΑΓ. Ἀναθήματα. ΑΝ. Ἀνέθηκεν. ΥΦ. Ἱμάτια ὑφαντά.
275 ΕΛ. Ἤλπιζεν.
278 ΣΟΥ. Ἀκρωτήριον τ Ἀττικῆς. ΙΡ. Ἱερὸν, τίμιον. ΑΦ. Περιχυρούμενα. ΑΚ. Ἀπὸ τ πόλεως τῆ Ἀττικῆ ἄρηκεν.
282 ΦΡΟΝ. Παρὰ τὸ φροντίζειν κ ὄνησιν εἶναι πλάκα τὸ ὄνομα. ΕΚ. Ἐνίκα. κυβᾶν τὸ κλίνεσθαι, τὸ κτείναντα νικῆσαι· κλίνειν γὰρ τὸ φονεύειν ἐστί. τὸ ἢ πτέρχοιεν, ἀντὶ τ κλίπτεσθαι.
284 ΚΑΤ. Ἐν λιμένι κατοχίμη.

" Ὄφρ'

" Ὄφρ' ἕταρον θάπῃσι, ϗ ἐπὶ κτέρεα κτερίσειεν. 285
" Ἀλλ' ὅτε δὴ ϗαὶ κεῖνος, ἰὼν ὑπὸ οἶνοπα πόντον
" Ἐν νηυσὶ γλαφυρῇσι, Μαλειάων ὄρος αἰπὺ
" Ἵξε θεών, τότε δή μοι ἐπέρχεται ὀξὺ νοῆσαι
" Ἐφράσατο, λιγέων δ' ἀνέμων ἐπ' ἀϋτμένα χεῦε,
" Κύματά τε τροφόεντα, πελώρια, ἵστα ὄρεσσιν· 290
" Ἔνθα δ' ἀπορραίσας, τὰς μὲν Κρήτῃ ἐπέλασσεν,
" Ἦχι Κύδωνες ἔναιον, Ἰαρδάνῳ ἀμφὶ ῥέεθρα.
" Ἔστι δέ τις λιστὴ, αἰπεῖά τε εἰς ἅλα πέτρη,
" Ἐσχατιῇ Γόρτυνος, ἐν ἠεροειδέϊ πόντῳ·
" Ἔνθα Νότος μέγα κῦμα ποτὶ σκαιὸν ῥίον ὠθεῖ 295
" Ἐς Φαιστόν· μικρὸς δὲ λίθος μέγα κῦμ' ἀποέργει.
" Αἱ μὲν ἄρ' ἔνθ' ἦλθον, πυκιδῇ δ' ἤλυξαν ὄλεθρον
" Ἄνδρες, ἀτὰρ νηάς γε ποτὶ πιλάδεσσιν ἔαξαν
" Κύματ'· ἀτὰρ πὰς πέντε νέας κυανοπρῳρείους

285 ΚΤΕ. Ἐνταφιάσῃ.

277 ΜΑ. Τῷ Μαλίαν λίγε, τὸ ἀκρωτήριον τῆ Λακωνικῆς.

289 ΕΦ. Ἐκλιύσαθ. ΑΥ. Ἀρχαϊκῶς τὸ ἀϋτμένα, ἀπὸ ὀρθῆς τῆ ἀϋτμή. αὐτμὴ γὰρ, ἡ πνοὴ ἡ σφοδρά. ΧΕΥ. Ἐκλιν.

290 ΤΡΟ. Ὑξάνοντο. ΠΕ. Μεγάλα.

292 ΚΥ. Ἔνθα Κρήτης, ϗ Κυδωνὶς, πόλις Κρήτης, ποταμὸν ἔχουσα Ἰάρδανον.

293 ΑΙΣ. Λᾶας πέτρα· ἢ κῆ μεταπλασμὸν, εἶπεν τὸν νῶν κεκλιμμένον παρὰ τοῖς Κρησὶ, σὺν τῷ β'. Βλίσση. ἴσῃ ἡ ἀκρωτήριον τῆς Γορτυνίας· ὅθεν Κράτης, σὺν τῷ ιν, γράφει Λιστίν.

294 ΕΣ. Ἐπὶ τοῖς ἐχάτοις.

295 ΣΚΑΙ. Δεινὸν, χαλεπόν.

296 ΦΑΙ. Ἀκρωτήριον τῆ Γορτύνης, ἀπὸ μέρ τῆ ἄλλων μερῶν λίαν ἐπικλυζόμενον, καὶ ἀβραχεῖά τις αὖρα γίνηται· ἀπὸ ἧς μεσημερίας ἀ ἧ ὅλως, καί τοι δὲ νότῳ μίσγεται ἐγείροντος κύματα· ἀφ' τὸ, κῆ τοῦτο τὸ μέρος ἀσηκάσεις ἀς θαλάσσαν πέτρας ἀφειράσισθαι τὰ κύματα. πρὸς ἧ τῷ Φαιστὸν, πόλιν τῆ Κρήτης λίγουσι, ὅπερ ἐχθυνῆν Ἐπιμενίδης. ΚΥ. Τὸ γὰρ ὑπὸ ἧ νότῳ κῦμα τῷ Φαιστὸν ἂν ἐποίει ἀλίμενον, ἀ μὴ ἀσηκάμενος ὁ λίθος κωλύει αὐτὸν μέγα γίγνεσθαι κῦμα ἀσηκατεγνυμένων ἀφ' αὐτὸν τῆ κυμάτων· γράφεται ϗ, Μαλίης ἧ λίθος. Μάλειον γὰρ ὀνομάζεται ἀφ' ἧ Φαιστίων λιμένες ἀκρωτήριον. ΑΠ. Ἀποκαλύψ.

297 ΗΛ. Ἐξίφυζον.

298 ΣΠΙ. Παραλίοις πέτραις, παρὰ τὸ ἐσπιλῶσθαι· ἢ ταῖς κῆ θαλάσσαις περιειλημέναις ἐν ὀλίγῳ ὕδατι. ΕΛ. Ἔκλασαν.

" Αἰγύπ[τ]ῳ

" Αἰγύπτῳ ἐπέλασαν Φέρων ἄνεμός τε Ϲ ὕδωρ.
" Ὡς ὁ μὲν ἔνθα πολὺν βίοτον καὶ χρυσὸν ἀγείρων,
" Ἠλᾶτο ξὺν νηυσὶν ἐπ' ἀλλοθρόους ἀνθρώπους.
" Τόφρα δὴ ταῦτ' Αἴγισθος ἐμήσατο οἴκοθι λυγρὰ,
" Κτείνας Ἀτρεΐδην· δέδμητο δὴ λαὸς ὑπ' αὐτῷ.
" Ἑπτάετες δ' ἤνασσε πολυχρύσου Μυκήνης·
" Τῷ δέ οἱ ὀγδοάτῳ κακὸν ἦλυθε δῖος Ὀρέστης
" Ἄψ ἀπ' Ἀθηνάων, κατὰ δ' ἔκτανε πατροφονῆα,
" Αἴγισθον δολόμητιν, ὃς οἱ πατέρα κλυτὸν ἔκτα.
" Ἧτοι ὁ τ' κλείνας δαίνυ τάφον Ἀργείοισιν
" Μητρός τε στυγερῆς Ϲ ἀνάλκιδος Αἰγίσθοιο·
" Αὐτῆμαρ δέ οἱ ἦλθε βοὴν ἀγαθὸς Μενέλαος,
" Πολλὰ κτήματ' ἄγων, ὅσα οἱ νέες ἄχθος ἄειραν.
" Καὶ σὺ, φίλος, μὴ δηθὰ δόμων ἄπο τῆλ' ἀλάλησο,
" Κτήματά τε προλιπὼν, ἄνδρας τ' ἐν σοῖσι δόμοισι
" Οὕτω ὑπερφιάλως· μή τοι κατὰ πάντα φάγωσι
" Κτήματα δασσάμενοι, σὺ δὲ τηὔσιλον ὁδὸν ἔλθῃς.
" Ἀλλ ἐς μὲν Μενέλαον ἐγὼ κέλομαι καὶ ἄνωγα
" Ἐλθεῖν· κεῖνος γὰρ νέον ἄλλοθεν εἰλήλουθεν
" Ἐκ τ' ἀνθρώπων, ὅθεν οὐκ ἔλπετό γε θυμῷ
" Ἐλθέμεν, ὅντινα πρῶτον ἀποσφήλωσιν ἄελλαι
" Ἐς πέλαγος μέγα τοῖον· ὅθεν τέ περ οὐδ' οἰωνοὶ

302 ΗΛ. Ἐπλαγᾶτο.
304 ΔΕΔ. Ὑπτίπτητο.
307 ΑΘ. Ὅπῃ ἐπαιδεύετο.
309 ΤΟΝ. Τῦτον τ' Αἴγισθον. ΔΑΙ. Κατασκεύασι.
310 ΜΗ. Φάσθαι ἀφ' τύτων Ὀρέστᾳ· τὸ μὲν γὰρ εὐφημότερον ἐποίησεν, ὅπ ἔθαψε τῷ μητέρα, τ δ' μοιχὸν παρισώθησεν. ΑΝ. Ἀθετεῖ.
312 ΑΕΙ. Ἐσάσασι.
313 ΑΛ. Πλανᾶ.
314 ΠΡΟ. Καταλιπών.
316 ΤΗ. Ματαίως.
318 ΕΙ. Ἦλθεν.
319 ΕΚ. Ἐξ οἰκείων. ΕΛ. Ἤλπισεν.
320 ΑΠ Ἀπέκρυψαν γὰρ ἀποσφήλωσι ποιήσασι.

" Αὐτόεπης

" Αὐτόθεν οἰχνεῦσιν, ἐπεὶ μέγα τε, δεινόν τε.
" Ἀλλ' ἴθι νῦν σὺν νηΐ τε σῇ καὶ σῆς ἑτάροισιν·
" Εἰ δ' ἐθέλεις πεζός, πάρα τοι δίφρος τε καὶ ἵπποι,
" Πὰρ δέ τοι υἷες ἐμοὶ, οἵ τοι πομπῆες ἔσονται
" Ἐς Λακεδαίμονα δῖαν, ὅθι ξανθὸς Μενέλαος.
" Λίσσεαι δὲ μιν αὐτὸν, ἵνα νημερτὲς ἐνίσπῃ·
" Ψεῦδος δ' οὐκ ἐρέει· μάλα γὰρ πεπνυμένός ἐστιν.
Ὣς ἔφατ'· ἠέλιος δ' ἄρ' ἔδυ καὶ ἐπὶ κνέφας ἦλθε·
Τοῖσι δὲ καὶ μετέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
" Ὦ γέρον, ἦτοι ταῦτα κατὰ μοῖραν κατέλεξας·
" Ἀλλ' ἄγε, τάμνετε μὲν γλώσσας, κεράσασθε δὲ οἶνον,
" Ὄφρα Ποσειδάωνι καὶ ἄλλοις ἀθανάτοισι
" Σπείσαντες, κοίτοιο μεδώμεθα· τοῖο γὰρ ὥρη.
" Ἤδη γὰρ φάος οἴχεθ' ὑπὸ ζόφον· οὐδὲ ἔοικε
" Δηθὰ θεῶν ἐν δαιτὶ θαασσέμεν, ἀλλὰ νέεσθαι.
Ἦ ῥα Διὸς θυγάτηρ, τοὶ δ' ἔκλυεν αὐδήσασης.
Τοῖσι δὲ κήρυκες μὲν ὕδωρ ἐπὶ χεῖρας ἔχυαν,
Κοῦροι δὲ κρητῆρας ἐπεστέψαντο ποτοῖο·
Νώμησαν δ' ἄρα πᾶσιν ἐπαρξάμενοι δεπάεσσι·
Γλώσσας δ' ἐν πυρὶ βάλλον, ἀνιστάμενοί τ' ἐπέλειβον.
Αὐτὰρ ἐπεὶ σπείσάν τ', ἔπιόν θ', ὅσον ἤθελε θυμὸς,

322 ΑΥ. Ἐν αὐτῷ τῷ ἔτι. ΟΙΧ. Πλησίον γενόμενοι.
324 ΠΑ. Πάρεσι σοί.
325 ΠΟΜ. Προπομποί.
326 ΔΙ. Εὐδαίμονα.
327 ΕΝ. Εἶπε.
332 ΤΑΜ. Ἐθῶ ᾧ τρεπομένους αὐτὸς τὸ κριθύδειν, τὸ ἱερεῖον τὰς γλώσσας ἀποτίμνειν, καὶ καίειν τοῖς θεοῖς, τὰς λοιπὰς ἐπιμελομένους· διὸ καὶ ὑπὸ μάγκης ὁ Νέστορος θυσίας εἴρηκε τὸ ἔθω. εὔδηλος δὲ τὸ λίγειν, σύντομος τὰς λοιδορίας. λίγεται δὲ καὶ ἀπλῶς εἶναι τὸ ἔθος, Λακεδαιμονίων τῶν ἐχθρῶν ἀκούειν. ΚΕ. Ἀντὶ τοῦ κιρνᾶτε.
334 ΚΟΙ. Κοίτης, ὁ ἐστιν ὕπνος.
335 ΖΟ. Τὸ σκότος. ΟΥ. Οὐ πρέπον ἐστίν.
336 ΘΑ. Καθίσου, ἀφαιρέσεως.
337 ΑΥ. Ἐπισπεῖν.

Δὴ τότ' Ἀθηναίη καὶ Τηλέμαχος θεοειδὴς
Ἀμφω ἰέσθην κοίλην ἐπὶ νῆα νέεσθαι.
Νέστωρ δ' αὖ κατέρυκε καθαπτόμενος ἐπέεσσι·
" Ζεὺς τόγ' ἀλεξήσειε, καὶ ἀθάνατοι θεοὶ ἄλλοι,
" Ὡς ὑμεῖς παρ' ἐμεῖο θοὴν ἐπὶ νῆα κίοιτε,
" Ὥστε τεῦ ἢ φίλῳ θάμπαν ἀνείμονος, ἠὲ πενιχρῷ,
" Ὅ, ἅτε χλαῖναι καὶ ῥήγεα πόλλ' ἐνὶ οἴκῳ,
" Οὕτ' αὐτῷ μαλακῶς, ἅτε ξείνοισιν, ἐνεύδειν.
" Αὐτὰρ ἐμοὶ πάρα μὲν χλαιναῖ καὶ ῥήγεα καλά,
" Οὐ θὴν δὴ τόδ' ἀνδρὸς Ὀδυσσῆος φίλες υἱὸς
" Νηὸς ἐπ' ἰκελόφιν καταλέξεται, ὄφρ' ἂν ἔγωγε
" Ζώω· ἔπειτα δὲ παῖδες ἐνὶ μεγάροισι λίπωνται,
" Ξείνους ξεινίζειν, ὅστις κ' ἐμὰ δώματ' ἵκηται.
Τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
" Εὖ δὴ ταῦτά γ' ἔφηθα, γέρον φίλε· σοὶ δὲ ἔοικε
" Τηλέμαχον πείθεσθαι, ἐπεὶ πολὺ κάλλιον ἔστω.
" Ἀλλ' ἔτος μὲν νῦν σοι ἅμ' ἕψεται, ὄφρά κεν εὕδῃ
" Σοῖσιν ἐνὶ μεγάροισιν· ἐγὼ δ' ἐπὶ νῆα μέλαιναν
" Εἶμ', ἵνα θαρσύνω θ' ἑτάρους, ἔπω τε ἕκαστα·

344 ΙΕΣ. Ὥρμησαν.
345 ΚΑ. Φιλοφρονούμενος.
346 ΤΟ. Τὸ ὑμᾶς χωριοδῆναι ἀπ' ἐμοῦ, ὡς πενιχροῦ, ἢ ἀνελεοδότορος. ΑΛ. Ἀπείρξει, κωλύσειεν.
347 ΚΙ. Ἀπέλθοιτε.
348 ΑΝ. Μὴ κεκτημένου ἱμάτια.
349 ΡΗ. Βαπτὰ ἱμάτια δὲ τοὺς ἁβρόβολλας· ῥῆξαι γὰρ οἱ ἀρχαῖοι ἔλεγον, τὸ βάψαι.
350 ΜΑ. Ἀπιλῶς, ἀντὶ τοῦ, ἐν ἀπιλοῖς.
351 ΠΑ. Πάρεσιν.
352 ΤΟΥ. Ἤτοι ἀναφορικῶς, τοῦ Ὀδυσσέως· ἢ τοῦδε ἀνδρὸς, δεικτικῶς, ἀντὶ τοῦ ἐμοῦ.
353 ΙΚ. Ἐπὶ τῶν καπηλευομένων καὶ πανδοκευομένων τὸ νηός. ΚΑ. Κοιμηθήσεται.
354 ΑΙ. Καπηλειφθῶσι.
355 ΞΕΙ. Ξενοδοχεῖν, φιλικῶς ὑποδέχεσθαι.
357 ΕΦ. Εἶπες,
359 ΕΥ. Κοιμηθῇ.
361 ΘΑΡ. Παρορμήσω, θαῤῥεῖν ποιήσω.

" Οἵος

" Οἷος γὰρ μὴ τοῖσι γεραίτερος εὔχομαι εἶναι,
" Οἱ δ' ἄλλοι φιλότητι νεώτεροι ἄνδρες ἕπονται
" Πάντες ὁμηλικίη μεγαθύμου Τηλεμάχοιο·
" Ἔνθά κε λεξαίμην κοίλῃ ὑπὸ νηῒ μελαίνῃ
" Νῦν· ἀτὰρ ἠῶθεν μὴ Καύκωνας μεγαθύμους
" Εἶμ', ἔνθα χρεῖός μοι ὀφέλλεται, ὅτι νέον γε,
" Οὐδ' ὀλίγον· σὺ δὲ τοῦτον (ἐπεὶ τὸν ἵκετο δῶμα)
" Πέμψον σὺν δίφρῳ τε καὶ ἡνίοχῳ· δοὺς δέ οἱ ἵππους,
" Οἵ τοι ἐλαφρότατοι θείειν, καὶ κάρτος ἄριστοι.
Ὣς ἄρα φωνήσας ἀπέβη γλαυκῶπις Ἀθήνη,
φήνῃ εἰδομένη· θάμβος δ' ἔλε πάντας ἰδόντας·
Θαύμαζεν δ' ὁ γεραιὸς, ὅπως ἴδεν ὀφθαλμοῖσιν·
Τηλεμάχῳ δ' ἔλε χεῖρα, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν·
" Ὦ φίλος, οὔ σε ἔολπα κακὸν καὶ ἄναλκιν ἔσεσθαι,
" Εἰ δή τοι νέῳ ὧδε θεοὶ πομπῆες ἕπονται.
" Οὐ μὲν γάρ τις ὅδ' ἄλλος Ὀλύμπια δώματ' ἐχόντων,
" Ἀλλὰ Διὸς θυγάτηρ ἀγελείη Τριτογένεια,
" Ἥτις καὶ πατέρ' ἐσθλὸν ἐν Ἀργείοισιν ἐτίμα.
" Ἀλλὰ, Ἄνασσ', ἵληθι, δίδωθι δέ μοι κλέος ἐσθλὸν,
" Αὐτῷ, καὶ παίδεσσι, καὶ αἰδοίῃ παρακοίτι·
" Σοὶ δ' αὖ ἐγὼ ῥέξω βοῦν ἦνιν, εὐρυμέτωπον,
" Ἀδμήτην, ἣν ὄπω ὑπὸ ζυγὸν ἤγαγεν ἀνήρ.

362 ΓΕ. Παλαιότερόν.
365 ΛΕ. Κοιμηθείην.
366 ΚΑΥ. Νῦν τὸν ἐν Ἀρκαδίᾳ μένοντα· οἰκίστην δὲ ἡ Ἀθηνᾶ φησὶ τὸν Μενέλαον, σὺν τῷ Τηλεμάχῳ, ἀφικνεῖσθαι, διότι γάμοι ἐπιπλεῖστοι ἦσαν καὶ θυγατέρος Μενελάου. Ἀλλοτρίαν δὲ τούτων ἡ Ἀθηνᾶ.
367 ΟΦ. Ὀφέλλεται, χρεωστεῖται.
372 ΦΗ. Φήνη, εἶδος ὀρνέου, ὄμοιον ἀετῷ.
373 ΘΑΥ. Ὅτι νέῳ ὄντι τῷ Τηλεμάχῳ συνηκολούθησε ἡ Ἀθηνᾶ.
375 ΚΑ. Δειλὸν, ἀσθενῆ.
376 ΕΠ. Ἀκολουθοῦσιν.
380 ΙΛ. Ἴλεως δὲ ἰυμμὴς ἔσο. ΔΙ. Δίδω, παρέχει.

" Τήν τοι ἐγὼ ῥέξω, χρυσὸν κέρασι πεῖχεύας.
Ὣς ἔφατ' εὐχόμενος· τοῦ δ' ἔκλυε Παλλὰς Ἀθήνη.
Τοῖσιν δ' ἡγεμόνευε Γερήνιος ἱππότα Νέστωρ,
Τίασι, καὶ γαμβροῖσιν, ἠὲ πεῖς δώμασι καλά.
Ἀλλ' ὅτε δώματ' ἵκοντο ἀγακλυτὰ τοῖο ἄνακτος,
Ἑδρέης ἕζοντο κατὰ κλισμούς τε θρόνους τε.
Τοῖς δ' ὁ γέρων ἐλθοῦσιν ἀνὰ κρητῆρα κέρασσεν
Οἴνῳ ἡδυπότῳ, τὸ ἐνδεκάτῳ ἐνιαυτῷ
Ὤιξε ταμίη, καὶ λύτο κρήδεμνον ἔλυσε.
Τοῦ ὁ γέρων κρητῆρα κεράσσατο· πολλὰ δ' Ἀθήνη
Εὔχετ' ἀποσπένδων, κούρη Διὸς Αἰγιόχοιο.
Αὐτὰρ ἐπεὶ σπείσάν τ', ἔπιόν θ', ὅσον ἤθελε θυμός,
Οἱ μὲν κακκείοντες ἔβαν οἶκόνδε ἕκαστος·
Τὸν δ' αὐτοῦ κοίμησε Γερήνιος ἱππότα Νέστωρ
Τηλέμαχον, φίλον υἱὸν Ὀδυσσῆος θείοιο,
Τρητοῖς ἐν λεχέεσσιν, ὑπ' αἰθούσῃ ἐριδούπῳ·
Πὰρ δ' ἄρ' ἐϋμμελίην Πεισίστρατον, ὄρχαμον ἀνδρῶν,
Ὅς οἱ ἔτ' ἠίθεος παίδων ἦν ἐν μεγάροισιν·
Αὐτὸς δ' αὖτε καθεῦδε μυχῷ δόμου ὑψηλοῖο·
Τῷ δ' ἄλοχος δέσποινα λέχος πόρσυνε καὶ εὐνήν.
Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
Ὦρνυτ' ἄρ' ἐξ εὐνῆφι Γερήνιος ἱππότα Νέστωρ·
Ἐκ δ' ἐλθὼν, κατ' ἄρ' ἕζετ' ἐπὶ ξεστοῖσι λίθοισιν,

388 ΑΓ. Ἄγαν ἔνδεξα.
392 ΚΡΗ. Τὸ πῶμα τοῦ πίθου, μετα φορικῶς.
399 ΑΙ. Τῇ περὶ ἥλιον πεπλημμένῃ, παρὰ τὸ αἴθεσθαι ὃν αὐτῇ φῶς, ὅ ἐστι καίεσθαι. ΕΡ. Μεγάλους ἤχους ἀποτελεῖ τὰς ἀνέμους, ἠχητικῆ.
400 ΕΥ. Καλῶς τῇ μελίᾳ χρώμενον. ΟΡ. Ἡγεμόνα.
401 ΗΙ. Ὁ ἀπὸ πεντεκαιδέκα ἐτῶν, ἕως ὀκτωκαίδεκα, ἡίθεος λέγεται. ἔστι δὲ ἄγαμος.
403 ΠΟΡ. Ὑψηλόπιζον.

Οἱ

Οἱ εἰ ἔσαν προπάροιθε θυράων ὑψηλάων,
Λύκηοι, ἀποσίλβοντες ἀλείφατος· οἷς ἐπὶ μὲν πρὶν
Νηλεὺς ἵζεσκεν, θεόφιν μήστωρ ἀτάλαντος·
Ἀλλ' ὁ μὲν ἤδη κηρὶ δαμεὶς ἄϊδόσδε βεβήκει.
Νέστωρ αὖ τότ' ἔφιζε Γερήνιος, ἄρχος Ἀχαιῶν,
Σκῆπτρον ἔχων· περὶ δ' υἷες ἀολλέες ἠγερέθοντο,
Ἐκ θαλάμων ἐλθόντες, Ἐχέφρων τε, Στρατίος τε,
Περσεύς τ', Ἄρητός τε, καὶ ἀντίθεος Θρασυμήδης·
Τοῖσι δ' ἔπειθ' ἕκτος Πεισίστρατος ἦλυθεν ἥρως·
Πὰρ δ' ἄρα Τηλέμαχον θεοείκελον εἷσαν ἄγοντες.
Τοῖσι δὲ μύθων ἦρχε Γερήνιος ἱππότα Νέστωρ·
" Καρπαλίμως μοι, τέκνα φίλα, κρήηνατ' ἐέλδωρ,
" Ὄφρ' ἦτοι πρώτιστα θεῶν ἱλάσσομ' Ἀθήνην,
" Ἣ μοι ἐναργὴς ἦλθε θεὸς ἐς δαῖτα θάλειαν.
" Ἀλλά γ' ὁ μὲν πεδίονδ' ἐπὶ βοῦν ἴτω, ὄφρα τάχιστα
" Ἔλθῃσιν, ἐλάσῃ δὲ βοῶν ὀπιδεσκόλος ἀνήρ.
" Εἷς δ' ἐπὶ Τηλεμάχῳ μεγαθύμῳ νῆα μέλαιναν
" Πάντας ἰὼν ἑτάρους ἀγέτω, λιπέτω δύ' οἴους·
" Εἷς δ' αὖ χρυσοχόον Λαέρκεα δεῦρο κελεύθω
" Ἐλθεῖν, ὄφρα βοὸς χρυσὸν κέρασιν περιχεύῃ.
" Οἱ δ' ἄλλοι μίμνετ' αὐτοῦ ἀολλέες· εἶπαι δ' ἔσω
" Δμωῇσιν κατὰ δῶμα τ' ἀγακλυτὰ δαῖτα πένεσθαι,

408 ΑΠ. Ἀπολάμποντες. ΑΛ. Λάπτω ὡς· ἴσει γδ, ὡς ἐλαίῳ.
409 ΙΖ. Ἐκαθίζετο.
411 ΕΦ. Ἐπικάθητο.
416 ΘΕ. Θεοῖς ὁμοιον. ΕΙ. Ἐκάησεν.
418 ΚΡΗ. Ἐπιπλήσατο.
419 ΙΛ. Ἐξιλιώσομαι.
420 ΕΝ. Φανερά. ΘΑ. Θάλειαν ἢ αὔξειν ποιοῦσαν.
421 ΙΤ. Βαδιζέτω.
424 ΛΙ. Καθιλιπέτω, ἐκπάτω. ΟΙ. Μόνος.
425 ΚΕ. Κελσάτω.
426 ΠΕ. Περιθάλλῃ.

" Ἕδρας

"Εδρας τε, ξύλα τ' ἀμφὶ, καὶ ἀγλαὸν οἰσέμεν ὕδωρ.
Ὡς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἐποίπνυον· ἦλθε μὲν ἂρ βοῦς
Ἐκ πεδίου, ἦλθον δὲ θοῆς παρὰ νηὸς ἑταῖροι
Τηλεμάχου ἕταροι μεγαλήτορος· ἦλθε δὲ χαλκοῦς,
Ὅπλ' ἐν χερσὶν ἔχων χαλκήια, τεύχεα τέχνης,
Ἄκμονά τε, σφῦραν τ', εὐπαίητόν τε πυράγρην,
Οἵσίν τε χρυσὸν εἰργάζετο· ἦλθε δ' Ἀθήνη
Ἱρῶν ἀντιόωσα· γέρων δ' ἱππηλάτα Νέστωρ
Χρυσὸν ἔδωκε· ὁ δ' ἔπειτα βοὸς κέρασιν περιχεύων
Ἀσκήσας, ἵν' ἄγαλμα θεὰ κεχάροιτο ἰδοῦσα.
Βῆν δ' ἀγέλην κεράων Στρατίος καὶ δῖος Ἐχέφρων·
Χέρνιβα δὲ σφ' Ἄρητος ἐν ἀνθεμόεντι λέβητι
Ἦλυθεν ἐκ θαλάμοιο φέρων· ἑτέρῃ δ' ἔχεν ἀλφὰς
Ἐν κανέῳ· πέλεκυν δὲ μνεπτόλεμος Θρασυμήδης
Ὀξὺν ἔχων ἐν χειρὶ παρίστατο, βοῦν ἐπικόψων.
Περσεὺς δ' ἄμνιον εἶχε· γέρων δ' ἱππηλάτα Νέστωρ
Χέρνιβά τ' ἀλοχύτας τε καλήρχελο· πολλὰ δ' Ἀθήνῃ
Εὔχετ' ἀπαρχόμενος, κεφαλῆς τρίχας ἐν πυρὶ βάλλων.
Αὐτὰρ ἐπεί ῥ' εὔξαντο, καὶ ἀλοχύτας προβάλοντο,
Αὐτίκα Νέστορος υἱὸς, ὑπέρθυμος Θρασυμήδης,
Ἤλασεν ἄγχι στὰς· τέλεκυς δ' ἀπέκοψε τένοντας,

430 ΕΠ. Ἐνήεργεν.
433 ΟΠ. Τὰ ἐγχαλκᾶα. ΧΑΛ. Χαλκούτικά. ΠΕΙ. Οἷς ἡ τέχνη συμπραιτᾶται.
436 ΑΝ. Μεζαληψομένη.
440 ΑΝ. Ποικίλην, ἀλλὰ τὰ ἐντιτετρυμένα αὐτῷ ἐπιτρεπῆ.
441 ΟΥ. Ἐλαιοδρόχυς κριθάς.
442 ΠΕ. Δίσημον ἀξίνιον.
444 ΑΜ. Ἐστὶ μὲν τὸ ἀπὸ ξ ἐσημείων ἡ λέξις· σημαίνει δὲ ἀγγεῖον, ὅπου τὸ αἷμα τοῦ ἱερείου δέχονται. καὶ ἐπὶ κρέατος τὸ ἔντομον, ἀμέτριον, ὃ ἐπὶ στερεῶν δὲ μίνυς. τετέσθαι ψυχῆς· οἱ Ἀττικοὶ σφάγιον αὐτὸ καλοῦσι.
445 ΚΑ. Χερνίβων καὶ ἀλῶν σφῶν τὸ ἥρχετο.
449 ΗΛ. Ἔπαυσεν, ἔκρυσεν. ΤΕ. Πάντα τὰ ἀλλαντευόμενα νεῦρα Ὅμηρος τένοντας καλεῖ.

Αὐχενίους

Αὐχενίως, λῦσεν δὲ βοὸς μένος· αἱ δ' ὀλόλυξαν
Θυγατέρες τε, νυοί τε, καὶ αἰδοίη παράκοιτις
Νέστορος, Εὐρυδίκη, πρέσβα Κλυμένοιο θυγατρῶν.
Οἱ μὲν ἔπειτ' ἀνελόντες ἀπὸ χθονὸς εὐρυοδείης
Ἔσχον· ἀτὰρ σφάζεν Πεισίστρατος, ὄρχαμος ἀνδρῶν.
Τῆς δ' ἐπεὶ ἐκ μέλαν αἷμα ῥύη, λίπε δ' ὀστέα θυμὸς,
Αἶψ' ἄρα μὶν διέχυαν· ἄφαρ δ' ἐκ μηρία πέμνον
Πάντα κατὰ μοῖραν, κατά τε κνίσῃ ἐκάλυψαν,
Δίπτυχα ποιήσαντες· ἐπ' αὐτῶν δ' ὠμοθέτησαν·
Καῖε δ' ἐπὶ σχίζης ὁ γέρων, ἐπὶ δ' αἴθοπα οἶνον
Λείβε· νέοι δὲ παρ' αὐτὸν ἔχον πεμπώβολα χερσίν.
Αὐτὰρ ἐπεὶ κατὰ μῆρ' ἐκάη, καὶ σπάγχν' ἐπάσαντο,
Μίσυλλόν τ' ἄρα τ' ἄλλα, περὶ ἀμφ' ὀβελοῖσιν ἔπειραν,
Ὤπτων δ', ἀκροπόρυς ὀβελοὺς ἐν χερσὶν ἔχοντες·
Τόφρα δὲ Τηλέμαχον λοῦσεν καλὴ Πολυκάστη,
Νέστορος ὁπλοτάτη θυγάτηρ Νηληϊάδαο.
Αὐτὰρ ἐπεὶ λοῦσέν τε, καὶ ἔχρισεν λίπ' ἐλαίῳ,
Ἀμφὶ δέ μιν φᾶρος καλὸν βάλεν ἠδὲ χιτῶνα,
Ἐκ ῥ' ἀσαμίνθου βῆ, δέμας ἀθανάτοισιν ὁμοῖος·
Πὰρ δ' ἄρα Νέστορ' ἰὼν κατ' ἄρ' ἕζετο, ποιμένι λαῶν.
Οἱ δ' ἐπεὶ ὤπτησαν κρέ' ὑπέρτερα, καὶ ἐρύσαντο,

450 ΟΛ. Μετὰ βοῆς ἠύξαντο.
451 ΝΥ. Νύμφαι.
452 ΠΡΕΣ. Πρεσβυτέραι, ἢ ἔντιμοι.
453 ΑΝ. Κυφίσαντες. ΕΥΡ. Πλατείας ὀδοὺς ἐχούσης.
454 ΕΣ. Κατέχουσι.
455 ΡΥ. Ἔρρυσεν.
456 ΔΙ. Κατὰ μέρη διῃλοι. ΤΑΜ. Διέτεμον, διέκοψαν.
463 ΑΚ. Ὀξεῖς. ὧν τὸ ἄκρον ἀφὸ τῶν περαμέων εὐχερῶς δίεισιν ἀφὸ τοῦ ὀξύτητα.
465 ΟΠ. Νεωτάτη.
466 ΛΙΠ. Τῷ λιπαρῷ ἐλαίῳ.

Δαίνυντ'

Δαίνυνθ' ἑζόμενοι· ἐπὶ δ' ἀνέρες ἐσθλοὶ ὄροντο,
Οἶνον ἐνοινοχοεῦντες ἐνὶ χρυσέοις δεπάεσσιν.
Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἔντο,
Τοῖσί δὲ μύθων ἦρχε Γερήνιος ἱππότα Νέστωρ·
" Παῖδες ἐμοὶ, ἄγε, Τηλεμάχῳ καλλίτριχας ἵππους
" Ζεύξαθ' ὑφ' ἅρματ' ἄγοντες, ἵνα πρήσσῃσιν ὁδοῖο.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα δὴ μάλα μὲν κλύον ἠδ' ἐπίθοντο·
Καρπαλίμως δ' ἔζευξαν ὑφ' ἅρμασιν ὠκέας ἵππους·
Ἐν δὲ γυνὴ ταμίη σῖτον καὶ οἶνον ἔθηκεν,
Ὁψά τε, οἷα ἔδουσι διοτρεφέες βασιλῆες.
Ἂν δ' ἄρα Τηλέμαχος εὐκαλλέα βήσατο δίφρον·
Παὶ δ' ἄρα Νεστορίδης Πεισίστρατος, ὄρχαμος ἀνδρῶν,
Ἐς δίφρον τ' ἀνέβαινε, καὶ ἡνία λάζετο χερσί·
Μάστιξεν δ' ἐλάαν· τὼ δ' οὐκ ἄκοντε πετέσθην
Ἐς πεδίον, λιπέτην δὲ Πύλον αἰπὺ πολίεθρον.
Οἱ δὲ παννύχιοι σεῖον ζυγὸν ἀμφὶς ἔχοντες·
Δυσετό τ' ἠέλιος, σκιόωντό τε πᾶσαι ἀγυιαί.
Ἐς Φηρὰς δ' ἵκοντο, Διοκλῆος πτὶ δῶμα,
Υἱέος Ὀρσιλόχοιο, τὸν Ἀλφειὸς τέκε παῖδα.
Ἔνθα δὲ νύκτ' ἄεσαν· ὁ δὲ τοῖς πὶρ ξείνια θῆκεν.
Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
Ἵππους τ' ἐζεύγνυντ', ἀνά θ' ἅρματα ποικίλ' ἔβαινον·

471 EZ. Καθεζόμενοι. OP. Ὧρμων.
572 EN. Κιρνῶντες.
476 ΠΡΗ. Πορεύη) εἰς τὴν ὁδόν.
480 ΟΨ. Ἐδέσματα. ΔΙ. Ὑπὸ Διὸς τεθραμμένοι, εὐγενεῖς.
486 ΣΕΙ. Παρεκδεχικῶς, ἀπὸ τοῦ παρεπομένου τὸ περιεχόμενον, ἀπὸ τοῦ ὠδεύον.
488 ΦΗ. Φηραὶ, πόλις τῆ Ἠλείων Μεσσηνίας· οἱ δὲ τῆ Λακωνικῆς.
489 ΑΛ. Ποταμὸς τῆ Ἠλιάδος.
490 ΑΕ. Ἀνεπαύσαντο, ἐκοιμήθησαν.

Ἐκ δ'

Ἐκ δ' ἔλασεν προθύροιο, καὶ αἰθούσης ἐρικλέπτω.
Μάστιξεν δ' ἐλάαν· τὼ δ' οὐκ ἄκοντε πετέσθην·
Ἶξον δ' ἐς πεδίον πυρηφόρον· ἔνθα δ' ἔπειτα
Ἦνον ὁδόν· τοῖον γὰρ ὑπέκφερον ὠκέες ἵπποι.
Δύσετό τ' ἠέλιος, σκιόωντό τε πᾶσαι ἀγυιαί.

495 ΠΥ. Σιτοφόρον. Οὕτω γὰρ μᾶλλον τάχυς ἵππος.
496 ΗΝ. Ἦνον, διήρχοντο. ΤΟΙ.

ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΟΔΥΣΣΕΙΑΣ Δ

ΤΟΥ ΟΜΗΡΟΥ

ΡΑΨΩΔΙΑΣ.

ΠΑΡΑ Μενελάῳ ξενιοδοκεῖται σὺν Πεισιστράτῳ Τηλεμαχος, ἀπαγγέλλει τὰ κῆδη τοῦ Ὀδυσσέως τοῦ μνηστῆρας πεπτόμφας· ἔπειτα ἐξηγεῖται αὐτῷ ὁ Μενέλαος περὶ τῶν ἐν Αἰγύπτῳ, καὶ τοῦ Πρωτέως μαντείας, δι' ἧς ἔγνω τὸν Ἀγαμέμνονος θάνατον, καὶ ὡς Ὀδυσσεὺς παρὰ Καλυψοῖ ἔστη. Βαλὼν δὲ γνώμην τοῦ μνηστῆρας, περὶ τοῦ Τηλεμάχου ἀνελεῖν. Παραμυθεῖται δὲ ἡ Ἀθηνᾶ δι' ὀνείρου τὴν Πηνελόπην, ἐπὶ τῇ τοῦ παιδὸς ἀποδημίᾳ δυσφορήσασαν, ἅμα ᾠδῇ, ὁμοιωθεῖσα Ἰφθίμῃ, τῇ τοῦ Πηνελόπης ἀδελφῇ.

Δίλτα, μάθ' ἀμφὶ πατρὸς παρ' Ἀτρεΐδα λοχώμενον υἱόν.

Οἱ δ' ἵζον κοίλην Λακεδαίμονα κητώεσσαν·
Πρὸς δ' ἄρα δώματ' ἔλων Μενελάου κυδαλίμοιο.
Τόν δ' εὗρον δαινύντα γάμον πολλοῖσιν ἑταίροις,
Τίεος ἠδὲ θυγατρὸς ἀμύμονος, ᾧ ἐνὶ οἴκῳ.
Τὴν μὲν Ἀχιλλῆος ῥηξήνορος υἷϊ πέμπεν·
(Ἐν Τροίῃ γὰρ πρῶτον ὑπέσχετο καὶ κατένευσεν

1 ΚΟΙ. Ἐπὰ ὑψηλοτάτοις ὄρεσι σφενδόνας. Ποτὲ μὲν τὴν χώραν καλεῖ Λακεδαίμονα, ποτὲ δὲ τὴν πόλιν Λακεδαίμονα, τὴν Σπάρτην.

2 ΕΛ. Ἤλωσεν.
3 ΔΑΙ. Ἐσῶσα. ΕΤ. Πολίτας.
5 ΡΗΞ. Ἀνδρείᾳ, καὶ ἅμα τὴν ἡσυχίας ῥήσαντα τὰς τάξας.

Δωσέμμας·

Δωτέμμαι· τοῖσιν δὲ θεὸ γάμον ἐξετέλειον.
Τὴν ἄρ' ὄγ' ἔνθ' ἵπποισι καὶ ἅρμασι πέμπε νέεσθαι
Μυρμιδόνων προτὶ ἄστυ περικλυτὸν, οἷσιν ἄνασσεν·)
Τιεῖ δὲ Σπάρτηθεν Ἀλέκτορος ἤγετο κούρην,
Ὃς οἱ τηλύγετος γλυκερὸς Μεγαπένθης
Ἐκ δούλης· Ἑλένῃ δὲ θεὸ γόνον οὐκ ἔτ' ἔφαινον,
Ἐπειδὴ τοπρῶτον ἐγείνατο παῖδ' ἐρατεινὴν
Ἑρμιόνην, ἣ εἶδος ἔχε χρυσέης Ἀφροδίτης.
Ὣς οἱ μὲν δαίνυντο κατ' ὑψερεφὲς μέγα δῶμα
Γείτονες, ἠδὲ ἕταροι Μενελάου κυδαλίμοιο,
Τερπόμενοι· μετὰ δὲ σφιν ἐμέλπετο θεῖος ἀοιδὸς,
φορμίζων· δοιὼ δὲ κυβιστητῆρε κατ' αὐτὸς
Μολπῆς ἐξάρχοντες ἐδίνεον κατὰ μέσσον.
Τῶ δ' αὖτ' ἐν προθύροισι δόμων αὐτώ τε Ϲ ἵππω,
Τηλέμαχός θ' ἥρως καὶ Νέστορος ἀγλαὸς υἱὸς,
Στῆσαν· ὁ δὲ τρομολῶν ἴδετο κρείων Ἐτεωνεύς,
Ὀτρηρὸς θεράπων Μενελάου κυδαλίμοιο·

7 ΔΩ. Δῶτιν, παραχεῖν.

9 ΑΣ. Ἡν Ὅμηρος μὲν Φθίαν λέγει, οἱ δὲ νεώτεροι Φαρσαλίαν.

10 ΣΠΑΡ. Ἐκ τῆς Σπάρτης. ΚΟΥ. Οἱ μὲν Ἰφιλόχην, οἱ δὲ Ἐχέμηλον λέγουσι· τὴν δὲ Ἀλέκτορα γλυκαλογοῦσιν Ἀργεῖοι ἢ Πίλοπος. ΗΓ. Ἐλαμβάνει.

11 ΤΗ. Ἦτοι τηλοῦ τῆς ἡλικίας, τουτέστι σφόδρα νήπιος τοῖς γονεῦσι γλυκὺς παῖς, μεθ' ὃν οὐκέτι ἐλπίζουσι τεκνῶσαι, ἢ μονογενής· καθάπερ Τηλέμαχος τοῦ Ὀδυσσέως, καὶ Ὀρέστης τοῦ Ἀγαμέμνονος. ΜΕ. Ἐκ δὲ τοῦ ὀνόματος δηλοῖ, ὅτι μὴ τῶν ἀρπαγῶν τοῦτον ἔχειν.

12 ΔΟΥ. Οἱ μὲν κύριον τὸ Δούλης· οἱ δὲ Τηλεδάμη, τὸ κύριον αὐτῆς ὄνομα. ΕΔ. Πιθανῶς, ἵνα ἐκπλήξῃ ἀκμάσῃ· ἢ ἵνα ἐξ Ἀλεξάνδρου παῖδα μὴ ᾖ. οἱ δὲ νεώτεροι Ἑλένης μὲν καὶ Ἀλεξάνδρου Κόρυθον, ἢ Ἕλενον· οὐκ ὂν Μενελάου Νικόστρατον γλυκαλογοῦσι.

16 ΓΕΙ. Γείτονες μὲν οὖν οἱ ἀσυγκλίτως· ἕταροι δὲ φιλῶς, ἵν' ᾖ, οἱ πολῖται· οὕτω γὰρ ἴσως μεγαλοπρεπὴς ὁ γάμος.

17 ΕΜ. Ἤδιον.

18 ΚΥ. Κυβίσεις, ὀρχήσεις.

19 ΜΟΛ. Τῆς παιδιᾶς. ΕΔ. Κυκλόσε ἐπιφοιτῶν, ἀρχόμενος.

22 ΠΡΟ. Προιλθών. ΙΔ. Ἐβαίνοντο. ΚΡΕΙ. Ἐξίχνη καὶ ἀλάπαζε.

23 ΟΤ. Σπουδαῖος, δραστικός. ΘΕ. Ὑπηρέτης φίλος, ὁ ἐπὶ τοῦ θεραπείαν ὑπάρχων.

Βῆ δ' ἴμεν ἀγχελέων Διὰ δώματα πιμένι λαῶν·
Ἀγχοῦ δ' ἱστάμενος ἔπεα πτερόεντα προσηύδα·
" Ξείνω δή τινε τώδε, διοτρεφὲς ὦ Μενέλαε,
" Ἄνδρε δύω, γενεῇ γ' Διὸς μεγάλοιο ἔοικεν·
" Ἀλλ' εἶπ', εἰ σφῶϊν καταλύσομεν ὠκέας ἵππους,
" Ἦ ἄλλον πέμπωμεν ἰκανέμεν, ὅς κε φιλήσῃ.
Τὸν δὲ μέγ' ὀχθήσας προσέφη ξανθὸς Μενέλαος·
" Οὐ μὲν νήπιος ἦθα, βοηθοίδη Ἐτεωνεῦ,
" Τοπρὶν, ἀτὰρ μὲν νῦν γε, πάϊς ὡς, νήπια βάζεις.
" Ἦ μὲν δὴ νῶϊ ξεινήια πολλὰ φαγόντε
" Ἄλλων ἀνθρώπων δεῦρ' ἰκόμεθ', αἴκε ποθὶ Ζεὺς
" Ἐξοπίσω περ παύσῃ ὀϊζύος· ἀλλὰ λύ' ἵππους
" Ξείνων, ἐς δ' αὐτὸς πρότερω ἄγε δοινηθῆναι.
Ὣς φάθ'· ὁ δ' ἐκ μεγάροιο διέσσυτο, κέκλετο δ' ἄλλους
Ὀτρηρὸς θεράποντας ἅμ' ἑσπέσθ' ἑοῖ αὐτῷ.
Οἱ δ' ἵππους μὲν ἔλυσαν ὑπὸ ζυγὰ ἱδρώοντας·
Καὶ τοὺς μὲν κατέδησαν ἐφ' ἱππείῃσι κάπῃσι,
Πὰρ δ' ἔβαλον ζειὰς, ἀνὰ δ' ἤρῑ λευκὸν ἔμιξαν·
Ἅρματα δ' ἔκλιναν πρὸς ἐνώπια παμφανόωντα,
Αὐτοὺς δ' εἰσῆγον θεῖον δόμον· οἱ δὲ, ἰδόντες
Θαύμαζον κατὰ δῶμα διοτρεφέος βασιλῆος.
Ὡς τε γὰρ ἠελίου αἴγλη πέλεν ἠὲ σελήνης,
Δῶμα καθ' ὑψερεφὲς Μενελάου κυδαλίμοιο.

24 ΑΓ. Ὀφείλων ἀπαγγεῖλαι.
26 ΞΕΙ. Εἰσαγάγωσιν μόνῳ τῷ ξένῳ Μενελάῳ Διὰ τὸ τεθεῖσθαι ὑπὸ ξένου.
27 ΓΕ. Γενοῦ, γένοι. ΕΙΚ. Ἐοίκασιν.
28 ΣΦΩ. Αὐτοῖς.
29 ΑΛ. Πρὸς ἄλλον. ΙΚ. Παραγθύσεσθαι. ΦΙ. Φιλικῶς ὑποδέξῃ).
35 ΕΞ. Ἐς ὕστερον, ἐς τὸ μὴ παῦσαι.
36 ΘΟΙ. Εὐωχηθῆναι.
40 ΚΑ. Φάτνας· οὔλας ἢ ἀπὸ τοῦ ἀπαλὰς, κεκροκισμένας.
41 ΖΕΙ. Ὁλύρας.

Αὐτὰρ

Αὐτὰρ ἐπεὶ τάρπησαν ὀρώμμοι ὀφθαλμοῖσιν,
Ἐς ῥ' ἀσαμίνθους βάντες ἐϋξέστας λέσαντο·
Τὰς δ' ἐπεὶ ἂρ δμωαὶ λοῦσαν καὶ χρῖσαν ἐλαίῳ,
Ἀμφὶ δ' ἄρα χλαίνας ἕλας βάλον ἠδὲ χιτῶνας·
Ἐς ῥα θρόνους ἕζοντο παρ' Ἀτρεΐδην Μενέλαον.
Χέρνιβα δ' ἀμφίπολος περόχῳ ἐπέχυθε φέρουσα
Καλὴ, χρυσείη, ὑπὲρ ἀργυρέοιο λέβητος,
Νίψασθ'· παρὰ δὲ ξεστὴν ἐπέκυσε τράπεζαν.
Σῖτον δ' αἰδοίη ταμίη παρέθηκε φέρουσα,
Εἴδατα πολλ' ὀπιθεῖσα, χαριζομένη παρεόντων·
Δαιτρὸς δὲ κρειῶν πίνακας παρέθηκεν ἀείρας
Παντοίων· παρὰ δέ σφι τίθη χρύσεια κύπελλα.
Τὼ δὲ δεικνύμενος προσέφη ξανθὸς Μενέλαος·
"Σίτου θ' ἅπτεσθον, καὶ χαίρετον· αὐτὰρ ἔπειτα
"Δείπνου πασαμένω, εἰρησόμεθ', οἵ τινες ἐσὲν
"Ἀνδρῶν· οὐ γὰρ σφῶν γε γένος ἀπόλωλε τοκήων,
"Ἀλλ' ἀνδρῶν γένος ἐσὲ διοτρεφέων βασιλήων,
"Σκηπτούχων· ἐπεὶ οὔ κε κακοὶ τοιόσδε τέκοιεν.
Ὣς φάτο· καί σφιν νῶτα βοὸς παρὰ πίονα θῆκεν
Ὀπτ' ἐν χερσὶν ἑλών, τά ῥά οἱ γέρα πάρθεσαν αὐτῷ·
Οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
Δὴ τότε Τηλέμαχος προσεφώνεε Νέστορος υἱὸν,
Ἄγχι κιχὼν κεφαλὴν, ἵνα μὴ πευθοίατ' οἱ ἄλλοι·

59 ΔΕΙ. Διξυέμμορ.
61 ΕΙ. Ἐρωτήσομεν.
62 ΣΦΩΝ. Σὺν τῷ ι χαπλίον, ἵν' ᾖ σφᾶϊν, δυϊκῶς· ὁ γὰρ ἀφανῶν ἐστὶ γένος.
64 ΚΑ. Δειλοὶ, ἀσθενεῖς. ΤΕ. Γυναῖσιν.
66 ΤΑ. Ἅ τινα δὴ αὐτῷ. ΓΕ. Κατὰ τιμήν. ΠΑΡ. Παρίθηκαν.

"φράζεο,

" Φράζεο, Νεσορίδη, τῷ ἐμῷ κεχαρισμένε θυμῷ,
" Χαλκῷ τε στεροπὴν καδδώματα ἠχήεντα,
" Χρυσῷ τ', ἠλέκτρῳ τε, καὶ ἀργύρῳ, ἠδ' ἐλέφαντος.
" Ζηνός που τοιήδε γ' Ὀλυμπίῳ ἔνδοθεν αὐλή.
" Ὅσσα τάδ' ἄσπετα πολλά· σέβας μ' ἔχει εἰσορόωντα.
Τὸν δ' ἀγορεύοντος ξύνετο ξανθὸς Μενέλαος,
Καὶ σφέας φωνήσας ἔπεα πτερόεντα προσηύδα·
" Τέκνα φίλ', ἦτοι Ζηνὶ βροτῶν οὐκ ἄν τις ἐρίζοι·
" (Ἀθάνατοι γὰρ τῷγε δόμοι καὶ κτήματ' ἔασιν.)
" Ἀνδρῶν δ' ἤκεν τίς μοι ἐριστέτῃ, ἠὲ καὶ ἀκλί,
" Κτήμασιν· ἢ γὰρ πολλὰ παθὼν καὶ πολλὰ ἐπαληθεὶς
" Ἠγαγόμην ἐν νηυσί, καὶ ὀγδοάτῳ ἔτει ἦλθον·
" Κύπρον, Φοινίκην τε, καὶ Αἰγυπτίους ἐπαλήθην,
" Αἰθιόπας θ' ἱκόμην, καὶ Σιδονίους, καὶ Ἐρεμβούς,
" Καὶ Λιβύην, ἵνα τ' ἄρνες ἄφαρ κεραοὶ τελέθουσι.
" Τρὶς γὰρ τίκτει μῆλα τελεσφόρον εἰς ἐνιαυτόν·
" Ἔνθα μὲν οὔτε ἄναξ ἐπιδεύεται, οὔτε τι ποιμὴν,
" Τυροῦ καὶ κρειῶν, ἁδὲ γλυκεροῖο γάλακτος·
" Ἀλλ' αἰεὶ παρέχουσιν ἐπηετανὸν γάλα θηλυ.

71 ΦΡΑ. Ἀντὶ ἔ, ὄρχ.

72 ΣΤΕ. Ἐκλαμψιν. ΗΧ. Μεγάλα.

76 ΞΥΝ. Σωπῆκεν, ἤκουσεν.

80 ΕΡ. Φιλοτεκνήσῃ.

81 ΕΠ. Πλανηθείς· οἱ δὲ ἀπὸ τοὺς ἀληθεῖς Αἰγυπτίους, ὅτι μαντικῆς ἐμπειροι.

83 ΑΙ. Ἐπὶ τὰς Αἰγυπτίους.

84 ΙΚ. Παρεχθύοιμεν. ΣΙ. Τὰς παρὰ τῇ Ἐρυθρῇ θαλάσσῃ λίγει· ὅθεν μετῳκησαν οἱ Φοίνικες. ΕΡ. Τὰς Τρωλοδύτας, παρὰ τὸ εἰς τὸν ἔρεμνον δύνειν· οἱ δὲ τὰς Ἰνδὰς, παρὰ τὸ Ἐρεβος· μέλαινες γάρ. ὅθεν καὶ Κράτης ἐρεμνὰς χάφε. οἱ δὲ ἴδιόν τινα ἔθνος. ἔνιοι δὲ τὰς Ἀραβίας, καὶ μεταγράφουσιν ὅτως· Αἰθίοπας δ' ἐρεμνὸν καὶ Σιδονίους, Ἀραβάς τε.

85 ΑΦ. Ταχέως φέρουσι ἀπὸ τῶν ὑδάτων. οἱ δὲ ἐπίθετον τῶν ἀρνῶν τὸ κεραοί. Τινὲς δὲ τὸ ἄφαρ, ὅτι ταχέως καὶ σφάγιμοι γίνονται.

86 ΤΡΙΣ. Ἄλλοτε ἄλλα, ἢ διὰ ὅλα τοιαῦτά ἐισιν αἱ γυναῖ, οὐκ ὤαπερ ἡμῖν μόνῳ τῷ ἤρι.

87 ΕΠ. Ἐνδεῖς.

89 ΕΠ. Ἐπιπολὺ, ἄφθονον. ΘΗΣ. Κυρίως μὲν τὸ θηλάσαι· νῦν δὲ τὸ ἀμέλγειν εἶπεν, παρὰ τῶν θηλέων.

" Ἐως

" Ἕως ἐγὼ κεῖνα πολὺν βίοτον συναγείρων
" Ἠλώμην, τείως μοὶ ἀδελφεὸν ἄλλος ἔπεφνε,
" Λάθρη, ἀνωΐστὶ, δόλῳ ἁλομένης ἀλόχοιο·
" Ὡς ὅτοι χαίρων τοῖσδε κτεάτεσσιν ἀνάσσω.
" Καὶ πατέρων τάδε μέλλετ' ἀκούσεσθαι, οἵ τινες ὔμμιν
" Εἰσίν· ἐπεὶ μάλα πολλ' ἔπαθον, κ' ἀπώλεσα οἶκον,
" Εὖ μάλα ναιετάοντα, κεχανδότα πολλὰ καὶ ἐσθλά.
" Ὧν ὄφελον τριτάτῳ γε ἔχων ἐν δώμασι μοῖραν
" Ναίειν, οἱ δ' ἄνδρες σοὶ ἔμμορε, οἳ τότ' ὄλοντο
" Τροίῃ ἐν εὐρείῃ, ἐκὰς Ἄργεος ἱπποβότοιο.
" Ἀλλ' ἔμπης πάντας μὲν ὀδυρόμενος κ' ἀχεύων,
" Πολλάκις ἐν μεγάροισι καθήμενος ἡμετέροισιν,
" Ἄλλοτε μέν τε γόῳ φρένα τέρπομαι, ἄλλοτε δ' αὖτε
" Παύομαι· αἰψηρὸς δὲ κόρος κρυεροῖο γόοιο.
" Τῶν πάντων ὀλίγον γε γόον ὀδυρομένοιο,
" Ὡς ἐνὸς, ὅς μοι ὕπνον ἀπεχθαίρῃ καὶ ἐδωδὴν
" Μνωομένῳ· ἐπεὶ οὔτις Ἀχαιῶν τοσσ' ἐμόγησεν,
" Ὅσσ' Ὀδυσεὺς ἐμόγησε κ' ἤρατο· τῷ δ' ἄρ' ἔμελλεν
" Αὐτῷ κήδε' ἔσεσθαι, ἐμοὶ δ' ἄχος αἰὲν ἄλαστον
" Κείσε, ὅπως δὴ δηρὸν ἀποίχεται· οὐδέ τι ἴσμεν,
" Ζώει ὅγ', ἢ τέθνηκεν. ὀδύρονται νύ πε αὐτὸν
" Λαέρτης θ' ὁ γέρων καὶ ἐχέφρων Πηνελόπεια,

91 ΗΛ. Ἐπλανώμην. ΤΕΙ. Τηνικαῦτα.
92 ΑΝ. Ἀνυποστάτως, ὥστε μηδὲ ἀξιοῦσθαί τινά.
95 ΟΙ. Ἀμφίδολον, πότερον ἢ ἑαυτῆ, ἢ τῇ Πελάμῃ.
96 ΚΕ. Χαρέντα.
102 ΤΕΡ. Πληρώμαι.
103 ΑΙΦ. Ὁ ὑπὸ τῶν ἄλλων μὴ θρηνος ταχέως θραύεται.
104 ΟΔ. Ἀποκλαίομαι.
105 ΑΠ. Εἰς μίστες ἀχθ.
106 ΜΝΩ. Μνησάμενος. ΕΜ. Ἐπιμνησθῆναι.
107 ΗΡ. Ὑπέμεινεν.
109 ΑΠ. Ἄπιστα, ἀπόδημα.

" Τηλέμαχός

" Τηλέμαχός θ', ὃν ἔλειπε νέον γεγαῶτ' ἐνὶ οἴκῳ.
Ὣς φάτο· τῷ δ' ἄρα πατρὸς ὑφ' ἵμερον ὦρσε γόοιο.
Δάκρυ δ' ὀπὸ βλεφάρων χαμάδις βάλε, πατρὸς ἀκούσας,
Χλαῖναν πορφυρέῃσι ἄντ' ὀφθαλμοῖϊν ἀνασχών
Ἀμφοτέρῃσιν χερσί· νόησε δέ μιν Μενέλαος·
Μερμήριξε δ' ἔπειτα κατὰ φρένα ἠ κατὰ θυμὸν,
Ἠέ μιν αὐτὸν πατρὸς ἐάσειε μνηθῆναι,
Ἢ πρῶτ' ἐξερέοιτο, ἕκαστά τε μυθήσαιτο.
Ἑως ὁ ταῦθ' ὥρμαινε κατὰ φρένα ἠ κατὰ θυμὸν,
Ἐκ δ' Ἑλένη θαλάμοιο θυώδεος ὑψορόφοιο
Ἦλυθεν, Ἀρτέμιδι χρυσηλακάτῳ εἰκυῖα·
Τῇ δ' ἄρ' ἅμ' Ἀδρήστη κλισίην εὐτυκτον ἔθηκεν·
Ἀλκίππη δὲ τάπητα φέρεν μαλακὸν ἐρίοιο·
Φυλὼ δ' ἀργύρεον τάλαρον φέρε, τὸν οἱ ἔδωκε
Ἀλκάνδρη, Πολύβοιο δάμαρ, ὃς ἔναι' ἐνὶ Θήβῃς
Αἰγυπτίης, ὅθι πλεῖστα δόμοις ἐνὶ κτήματα κεῖται·
Ὅς Μενελάῳ δῶκε δύ' ἀργυρέας ἀσαμίνθους,
Δοιὰς δὲ τρίποδας, δέκα δὲ χρυσοῖο τάλαντα·
Χωρὶς δ' αὖθ' Ἑλένη ἄλοχος πόρε κάλλιμα δῶρα,
Χρυσέην τ' ἠλακάτην, τάλαρόν θ' ὑποκύκλον ὄπασσεν
Ἀργύρεον, χρυσῷ δ' ἐπὶ χείλεα κεχρύσαντο.
Τόν ῥά οἱ ἀμφίπολος φυλὼ παρέθηκε φέρουσα,
Νήματος ἀσκητοῖο βεβυσμένον· αὐτὰρ ἐπ' αὐτῷ

119 ΕΞ. Ἐξερώνησιν, ἀνακρίνει. ΜΥ. Εἶπον.
121 ΘΥ. Εὐώδης.
123 ΚΑΙ. Δίφρον, ἀνάκλιντρον ἔχοντα.
125 ΤΑ. Κάλαθον.
126 ΘΗ. Θῆβαι, πόλις Αἰγύπτου, ἢ νῦν καλουμένη Διὸς πόλις.
130 ΚΑΛ. Ἄγαν καλά.
131 ΤΑ. Κύκλον ἔχοντα, ἢ ὑποτροχον.
132 ΚΕ. Ἐπιπλέοντο.
134 ΑΣ. Εἰς ῥῆσιν ἐπιτηδειοτέρων, καλῶς μεταγνούς. ΒΕ. Πεπληρωμένον.

Ἠλακάτη

Ἠλακάτη τεπάνυσο, ἰοδνεφὲς εἶρος ἔχουσι. 135
Ἕζετο δ' ἐν κλισμῷ, ὑπὸ δὲ θρῆνυς ποσὶν ἧεν.
Αὐτίκα δ' ἥγ' ἐπέεσσι πόσιν ἐρέεινεν ἔκαστα·
" Ἴδμεν δή, Μενέλαε διοτρεφές, οἵ τινες οἵδε
" Ἀνδρῶν εὐχετόωνται ἱκανέμεν ἡμέτερον δῶ;
" Ψεύσομαι, ἢ ἔτυμον ἐρέω; κέλεται δέ με θυμός. 140
" Οὐ γάρ πω πινά φημι ἐοικότα ὧδε ἰδέσθαι
" Οὔτ' ἄνδρ', ὔτε γυναῖκα, (σέβας μ' ἔχει εἰσορόωσιν)
" Ὡς ὅδ' Ὀδυσῆος μεγαλήτορος υἷι ἔοικε
" Τηλεμάχῳ, τὸν ἔλειπε νέον μεγάθυμος ἐνὶ οἴκῳ
" Κεῖνος ἀνὴρ, ὅτ' ἐμεῖο κυνώπιδες εἵνεκ' Ἀχαιοὶ 145
" Ἦλθεθ' ὑπὸ Τροίῃ, πόλεμον θρασὺν ὁρμαίνοντες.
Τὴν δ' ἀπαμειβόμενος προσέφη ξανθὸς Μενέλαος·
" Οὕτω νῦν καὶ ἐγὼ νοέω, γύναι, ὡς σὺ εἰσκεις.
" Κεῖνα γὰρ τοιάδε πόδες, τοιαίδε τε χεῖρες,
" Ὀφθαλμῶν τε βολαὶ, κεφαλή τ', ἐφύπερθέ τε χαῖται. 150
" Καὶ νῦν ἦτοι ἐγὼ μεμνημένος ἀμφ' Ὀδυσῆϊ,
" Μυθεόμην, ὅσσα κεῖνος ὀϊζύσας ἐμόγησεν
" Ἀμφ' ἐμοί· αὐτὰρ ὁ πικρὸν ὑπὸ ὀφρύσι δάκρυον εἶβε,
" Χλαίναν πορφυρέην ἄντ' ὀφθαλμοῖϊν ἀνασχών.
Τὸν δ' αὖ Νεστορίδης Πεισίστρατος ἀντίον ηὔδα· 155
" Ἀτρεΐδη Μενέλαε, διοτρεφὲς, ὄρχαμε λαῶν,
" Κεῖνα μὲν τοι ὅδ' ἧος ἐτήτυμον, ὡς ἀγορεύεις·

135 ΗΑ. Ἐλικρινὲς ἰρσαλέον. ΤΕ. Ἐτέκετο. ΙΟ. Μίλαι, ἢ πορφυροῦν. ΕΙ. Ἔελον.
139 ΕΥ. Ἔνεσι, Εὐχετόωντο. ἱκνεῖσθαι.
141 ΕΟ. Ὅμοιον ὄντα.
148 ΕΙ. Ἀπεικάζας.
149 ΤΟΙ. Τοιοῦτον.
150 ΒΟ. Τὰ βλέμματα. ΕΦ. Ἐπάνωθεν.
152 ΜΥ. Ἔλιχον, διηγούμην. ΟΙ. Ταλαιπωρήσας.

" Ἀλλὰ σιόφρων ἐστὶ, νεμεσσᾶται δ' ἐνὶ θυμῷ,
" Ὧδ' ἐλθὼν τοπρῶτον, ἐπεσβολίας ἀναφαίνειν
" Ἀντα σέθεν, ξὺν νῶϊ, θεᾷ ὣς, τερπόμεθ' ἀοιδῇ. 160
" Αὐτὰρ ἐμὲ προέηκε Γερήνιος ἱππότα Νέστωρ,
" Τῷ ἅμα πομπὸν ἕπεσθαι· ἐέλδετο γάρ σε ἰδέσθαι,
" Ὄφρα οἱ ἤ τι ἔπος ὑποθήσεαι, ἠέ τι ἔργον.
" Πολλὰ γὰρ ἄλγε' ἔχει πατρὸς πάϊς οἰχομένοιο,
" Ἐν μεγάροις, ᾧ μὴ ἄλλοι ἀοσσητῆρες ἔωσιν· 165
" Ὡς νῦν Τηλεμάχῳ· ὁ μὲν οἴχεται, ἀδὲ οἱ ἄλλοι
" Εἶσ', οἵ κεν κατὰ δῆμον ἀλάλκοιεν κακότητα.
Τὸν δ' ἀπαμειβόμενος προσέφη ξανθὸς Μενέλαος·
" Ὦ πόποι, ἦ μάλα δὴ φίλε ἀνέρος υἱὸς ἐμὸν δῶ
" Ἵκεθ', ὃς εἵνεκ' ἐμεῖο πολεῖς ἐμόγησεν ἀέθλους· 170
" Καί μιν ἔφην ἐλθόντα φιλησέμεν ἔξοχον ἄλλων
" Ἀργείων, εἰ νῶϊν ὑπείρ ἅλα νόστον ἔδωκε
" Νηυσὶ θοῇσι γλυκέως Ὀλύμπιος εὐρύοπα Ζεύς·
" Καί κέν οἱ Ἄργεϊ ναίσα πόλιν, καὶ δώματ' ἔτευξα,
" Ἐξ Ἰθάκης ἀγαγὼν σὺν κτήμασι καὶ τέκεϊ ᾧ, 175
" Καὶ πᾶσιν λαοῖσι, μίαν πόλιν ἐξαλαπάξας,
" Αἳ πειναλεπάεσσιν, ἀναασον δ' ἐμοὶ αὐτῷ.
" Καί κε δὴν ἐνθάδ' ἐόντες ἐμισγόμεθ'· οὐδέ κεν ἡμέας

158 ΣΑ. Σώφρων. ΝΕ. Ἐντρέπεται, αἰδεῖται.

159 ΕΠ. Τὰς γυναῖκας καὶ μητέρων εἰς αὐτὸν φλυαρίας, ἢ πρὸς αὐτὸν τὸν οἶκον αὐτῆς φλυαρίας, καὶ λοιδορίας, διεξίεναι. ἢ ὑπὸ σωφροσύνης καὶ βέλτιστα καθηκατέχεσθαι λόγων. ἐπισκολιὰς δὲ νῦν τὰς περὶ ἐπῶν εἰσκολὰς καὶ ἔχας. ΑΝ. Φαίνειν, διεξιέναι.

162 ΕΕΛ. Ἐπιθυμεῖ.

163 ΥΠ. Ὑποθάλης.

165 ΑΟΣ. Βοηθοί.

167 ΑΛ. Κωλύσωσι, βοηθήσωσιν.

171 ΕΦ. Ἔλιγον. ΦΙ. Φιλοφρονήσασθαι.

174 ΝΑΣ. Κατώκησα. ΕΤ. Κατεσκεύασα.

175 ΤΕ. Τέκνῳ.

176 ΕΞ. Μεταστήσας τὰς οἰκήσεις εἰς ἕτερον τόπον.

" Ἄλλο

" Ἄλλο διέκρινεν Φιλέοντί τε τερπομένω τε,
" Πρίν γ' ὅτε δὴ θανάτοιο μέλαν νέφος ἀμφεκάλυψεν.
" Ἀλλὰ τὰ μέν πω μέλλεν ἀκάματος θεὸς αὐτὸς,
" Ὃς κεῖνον δύσηνον ἀνοσιμον οἷον ἔθηκεν.
Ὣς φάτο· τοῖσι δὲ πᾶσιν ὑφ' ἵμερον ὦρσε γόοιο.
Κλαῖε μὲν Ἀργείη Ἑλένη Διὸς ἐκγεγαῖα,
Κλαῖε δὲ Τηλέμαχός τε καὶ Ἀτρεΐδης Μενέλαος·
Οὐδ' ἄρα Νέστορος υἱὸς ἀδακρύτω ἔχεν ὄσσε·
Μνήσατο γὰρ κατὰ θυμὸν ἀμύμονος Ἀντιλόχοιο,
Τὸν ῥ' Ἠὼς ἔκτεινε φαεινῆς ἀγλαὸς υἱός·
Τῷ ὄγ' ὀπιμνησθεὶς ἔπεα πτερόεντ' ἀγόρευεν·
" Ἀτρεΐδη, περὶ μέν σε βροτῶν πεπνυμένον εἶναι
" Νέστωρ φάσκ' ὁ γέρων, ὅτ' ἐπιμνησαίμεθα σεῖο
" Οἵσιν ἐνὶ μεγάροισι, καὶ ἀλλήλους ἐρέοιμεν.
" Καὶ νῦν, εἴ τι πω ἐστὶ, πιθήσιό μοι· ὃ γὰρ ἔγωγε
" Τέρπομ' ὀδυρόμενος μεταδόρπιος· ἀλλὰ καὶ Ἠὼς
" Ἔστεται ἠριγένεια· νεμεσσῶμαί γε μὲν ὄδὲν
" Κλαίειν, ὅς κε θάνησι βροτῶν καὶ πότμον ἐπίσπῃ.
" Τοῦτό νυ τοι γέρας οἷον ὀιζυροῖσι βροτοῖσι,
" Κείρασθαί τε κόμας, βαλέειν τ' ἀπὸ δάκρυ παρειῶν.
" Καὶ γὰρ ἐμὸς τέθνηκεν ἀδελφεὸς, ὅστις ἀμείνων

179 ΔΙ. Διεχώρισεν.
180 ΑΜ. Περικάλυψεν.
181 ΤΑ. Ἀλλὰ τούτοις μὲν ἐᾶκεν. ΑΓ. Φθονήσειν.
182 ΑΝ. Ἐπανύδω μὴ τυχόντα.
188 ΥΙ. Ὁ Μέμνων. Τιθωνῷ γὰρ καὶ τῇ Ἡμέρᾳ υἱός.
192 ΕΡ. Ἐρωτήσωμεν.
193 ΕΙ. Εἰ συνέχιτον.
194 ΜΕ. Μετὰ τὸ δεῖπνον· ἢ οὕτως, οὐκ ἀρέσκει μοὶ θρηνεῖν μετὰ τὸ δεῖπνον. Ἄλλως. Μετὰ δόρπος, δεῖπνα ὥρας, ἤγουν οὐ τῷ δείπνῳ· ὁ μεταδήμιος, ἐνδημῶν, ὁ ἐν δήμῳ ὤν.
195 ΝΕ. Νεμεσίζομαι, μέμφομαι.
199 ΚΑ. Δειλός.

" Ἀργείων· μέλλεις δὲ σὺ ἴδμεναι· ἀ γὰ ἔγωγε
" Ἥντησ', ὐδὲ ἴδον· πέρι δ' ἄλλων φασὶ γλυκάζ
" Ἀντίλοχον, θεὶ μὲν θέειν ταχὺν, ἠδὲ μαχητώ.
Τὸν δ' ἀπαμειβόμενος προσέφη ξανθὸς Μενέλαος·
" Ὦ φίλ', ἐπεὶ τόσα εἶπες, ὅσ' ἂν πεπνυμένος ἀνὴρ
" Εἴπῃ καὶ ῥέξειε, καὶ ὃς προγενέστερος ἔῃ·
" (Τοίῳ γὰρ σὺ πατρὸς, ὃ καὶ πεπνυμένα βάζεις·
" Ῥεῖα δ' ἀρίγνωτος γόνος ἀνέρος, ᾧ τε Κρονίων
" Ὄλβον ἐπικλώσῃ γαμέοντί τε γεινομένῳ τε.
" Ὡς νῦν Νέστορι δῶκε Διαμπερὲς ἤματα πάντα,
" Αὐτὸν μὲν λιπαρῶς γηράσκεμεν ἐν μεγάροισιν,
" Υἱέας αὖ πινυτούς τε καὶ ἔγχεσιν εἶναι ἀρίστους)
" Ἡμεῖς δὲ κλαυθμὸν μὲν ἐάσομεν, ὃς πρὶν ἐτύχθη·
" Δόρπα δ' ἐξαῦτις μνησώμεθα, χερσὶ δ' ἐφ' ὕδωρ
" Χλιάντων· μῦθοι δὲ καὶ ἠῶθέν περ ἔσσιν)
" Τηλεμάχῳ δ' ἐμοὶ, Διαειπέμεν ἀλλήλοισιν.
Ὣς ἔφατ'. Ἀσφαλίων δ' ἄρ ὕδωρ ἐπὶ χεῖρας ἔχυτεν,
Ὀτρηρὸς θεράπων Μενελάου κυδαλίμοιο.
Οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
Ἔνθ' αὖτ' ἄλλ' ἐνόησ' Ἑλένη Διὸς ἐκγεγαῖα·
Αὐτίκ' ἄρ' εἰς οἶνον βάλε φάρμακον, ἔνθεν ἔπινον,
Νηπενθές τ' ἄχολόν τε, κακῶν ἐπίληθον ἁπάντων·

200 ΙΔ. Εἰδέναι.
205 ΡΕ. Πρόξοι.
206 Ο. Δί ὅ.
207 ΑΡ. Εὔγνωστος.
208 ΕΠ. Ἐμφερμέϊον ποιήσῃ. ΓΕΙ. Τεκνοποιῆσαι, χρυσᾶπτ.
210 ΑΙ. Εὐδαιμόνως, μεγάλως.
211 ΠΙ. Σώφρονας, σωστούς.
213 ΜΝΗ. Ἐπιμεληθῶμεν,
214 ΧΕΥ. Ἐπιχείτωσαν, Ἀπλικῶς.
215 ΔΙΑ. Διαλεχθῆναι.
216 ΑΣ. Πεποίηκε τὸ ὄνομα παρὰ τὸ ἀσφάλειαν.
221 ΝΗ. Ἀπιθὲς. ΑΧ. Τὸ τῷ χαλῷ παῦον. ΕΠ. Προπαροξυτόνως, ἢ ἐπιληπτικόν. οἱ δὲ περιῃρέσαντες, ἢ ἐπιλανθάνεσθαι ποιοῦν.

Ὃς

Ος τὸ καταβρόξειεν, ἐπιλὺ κρητῆρι μιγείη,
Οὐκ ἂν ἐφημέριός γε βάλοι κατὰ δάκρυ παρειῶν,
Οὐδ' εἴ οἱ καταθναίη μήτηρ τε πατήρ τε,
Οὐδ' εἴ οἱ προπάροιθεν ἀδελφεὸν, ἢ φίλον υἱὸν,
Χαλκῷ δηϊόωεν, ὁ δ' ὀφθαλμοῖσιν ὁρῷτο.
Τοῖα Διὸς θυγάτηρ ἔχε φάρμακα μηλόβοτα,
Ἐσθλὰ, τά οἱ Πολύδαμνα πόρεν Θῶνος πολυάκοιτις,
Αἰγυπτίη· τῇ πλεῖστα φέρει ζείδωρος ἄρουρα
φάρμακα, πολλὰ μὲν ἐσθλὰ μεμιγμένα, πολλὰ δὲ λυγρά.
Ἰητρὸς δὲ ἕκαστος ἐπιστάμενος περὶ πάντων
Ἀνθρώπων· ἦ γὰρ Παιήονός εἰσι γενέθλης.
Αὐτὰρ ἐπεί ῥ' ἐνέηκε, κέλευσέ τε οἰνοχοῆσαι,
Ἐξαῦτις μύθοισιν ἀμειβομένη προσέειπεν·
" Ἀτρεΐδη Μενέλαε, διοτρεφὲς, ἠδὲ καὶ οἵδε
" Ἀνδρῶν ἐσθλῶν παῖδες, (ἀτὰρ θεὸς ἄλλοτ' ἐπ' ἄλλῳ
" Ζεὺς ἀγαθόν τε κακόν τε διδοῖ· δύναται γὰρ ἅπαντα)
" Ἧ τοι νῦν δαίνυσθε, καθήμενοι ἐν μεγάροισι,
" Καὶ μύθοις τέρπεσθε· ἐοικότα γὰρ καταλέξω.

222 ΚΑ. Καταπίοι.

223 ΕΦ. Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ἐν ᾗ ἵππει.

225 ΔΗ. Ἀναιρεῖεν, φονεύοιεν.

227 ΜΗ. Πρακλικὴ, ἢ ὑπὸ σιωπᾶς κυρημένα.

228 ΠΟ. Ἀμφίβολα, πότερον τῆς φαρμακίδος ἐστὶ τὸ ὄνομα· ἢ τὰ φάρμακα τὰ πολλὰς δαμάζοντα. ἐκείνῳ γὰρ θέμις Πτολεμαῖος ἐν τῷ περίτῳ χρονικῶν φησί.

231 ΙΗ. Ἕκαστος τῶν ἐκεῖθι ἰατρῶν ἰᾶτο τὰς ἄλλας ἐπὶ· ἰατὰ Παιήονος ἐπίστασθαι εἰσι. χρήσιμα καὶ περὶ πάντων φαρμακοποιῶν· ἃ γὰρ πάντες πάντα ἴσασι. ΠΕ. Ὑπὲρ πάντας.

232 ΠΑΙ. Παιήων ἰατρὸς ἦν, ἐχ ὁ αὐτὸς τῷ Ἀπόλλωνι· ἀλλὰ κεχωρισμένῳ. παρὰ μέντοι τοῖς νεωτέροις ὁ αὐτὸς νομίζεται εἶναι. ᾧ Ἡσίοδος μάρτυς ἐστὶ, δ' ἕτερον εἶναι τὸν Παιήονα τοῦ Ἀπόλλωνος, λέγων,

Εἰ μὴ Ἀπόλλων Φοῖβος ὑπ' ἐκ θνητὸν σώσῃ,
Ἢ αὐτὸς Παίων, ὃς ἀπαύστων φάρμακα οἶδεν.

233 ΟΙ. Κερόσας.

238 ΔΑΙ. Τὸ ἑξῆς, Ἀτρεΐδη καὶ παῖδες, ἤτοι νῦν δαίνυσθε· Ζεὺς γὰρ ἄλλοτε ἄλλα περιποιεῖ. καὶ μέντοι ἡμῖν τὸ συμπίνειν.

239 ΚΑ. Ἕκαστα ἔπου.

" Πάντα

" Πάντα μὲν οὖκ ἂν ἐγὼ μυθήσομαι ὐδ' ὀνομήνω,
" Ὅσσοι Ὀδυσσῆος παλαισίφρονος εἰσὶν ἄεθλοι·
" Ἀλλ' οἷον τόδ' ἔρεξε καὶ ἔτλη καρτερὸς ἀνὴρ
" Δήμῳ ἔνι Τρώων, ὅθι πάσχετε πῆματ' Ἀχαιοί.
" Αὐτόν μιν πληγῇσιν ἀεικελίῃσι δαμάσας,
" Σπεῖρα κάκ' ἀμφ' ὤμοισι βαλὼν, οἰκῆι ἐοικὼς,
" Ἀνδρῶν δυσμενέων κατέδυ πόλιν εὐρυάγυιαν.
" Ἄλλῳ δ' αὖτὸν φωτὶ κατακρύπλων ἤισκε
" Δέκτῃ, ὃς ἀθέν τοῖος ἔην ἐπὶ νηυσὶν Ἀχαιῶν·
" Τῷ ἴκελος κατέδυ Τρώων πόλιν· οἱ δ' ἀβάκησιν
" Πάντες· ἐγὼ δέ μιν οἴη ἀνέγνων τοῖον ἐόντα,
" Καί μιν ἀνηρώτων· ὁ δὲ κερδοσύνῃ ἀλέεινεν.
" Ἀλλ' ὅτε δή μιν ἐγὼν ἐλόουν ἠ χριὸν ἐλαίῳ,
" Ἀμφὶ ἧ εἵματα ἕστο, καὶ ὤμοισι καρτερὸν ὄρκον,
" Μὴ μὲν πρὶν Ὀδυσῆα μετὶ Τρῶεσ' ἀναφῆναι,
" Πρίν γε τ' ἐς νῆάς τε θοὰς κλισίας τ' ἀφικέσθαι·
" Καὶ τότε δή μοι πάντα νόον κατέλεξεν Ἀχαιῶν.
" Πολλοὺς δὲ Τρώων κτείνας ταναήκεϊ χαλκῷ,
" Ἦλθε μετ' Ἀργείους· κατὰ δὲ φρόνιν ἤγαγε πολλήν.

241 ΑΕ. Ἄθλοι, ἀγῶνες.

244 ΑΥ. Δύο ἰσοδυναμοῦσαι ἀντωνυμίαι ἀντὶ μιᾶς παρολαμβάνονται. ΑΕΙ. Δυσμενεῖς, δεινοὺς, χαλεπούς.

245 ΣΠΕΙ. Ἰμάτια, ῥακοσίβηκτα δὲ κακῶς, ἵνα δηλώσῃ ῥάκη. ΟΙ. Οἰκέτῃ, δούλῳ.

246 ΑΝ. Οἱ μέν, ἵνα μετρήσῃ τὸ πῖχυς, οἱ δέ, ἵνα πίσῃ τῶν Ἑλένῃ συμπραγῆσαι τοῖς Ἕλλησι. ΚΑ. Εἰσῆλθεν.

247 ΗΙΣ. Ἀπέκαζεν, ὡμοιώθη.

248 ΔΕΚ. Ἐπαίτῃ, ἀπὸ τοῦ δέχεσθαι. ΟΥ. Τὸ δὲν πυρέλκει.

249 ΑΒ. Ἠγνόησαν· παρὰ τὸ βάζω ἐχνημάτισμαι· ἢ ἓν λέξις, τὸ ἅπαξ εἰρημένον ἐστίν.

250 ΑΝ. Ἐπίγνων.

251 ΑΝ. Ἠρώτων. ΚΕΡ. Δόλῳ, πανουργίᾳ. ΑΛ. Ἐφυλάττετο.

252 ΕΛ. Ἕλκων· ἵνα ἀκριβοέστερον τὰ καθ' ἑαυτὸν μάθῃ, αὐτὴ ἕλκειν αὐτόν.

253 ΕΣ. Ἐνέδυσε.

254 ΑΝ. Μηύσῃ, δείξῃ.

257 ΤΑ. Τεταμένην ἔχοντι τῷ ἀκμῇ.

258 ΚΑ. Καταφρόνησιν αὐτῶν ἔχαμεν.

" Ἔνθ' ἄλλαι Τρωαὶ λίγ' ἐκώκυον· αὐτὰρ ἐμὸν κῆρ
" Χαῖρ', ἐπεὶ ἤδη μοι κραδίη τέτραπλο νέεσθαι
" Ἄψ οἰκόνδ'· ἄτιμα δὲ μετέφρενον, ἣν Ἀφροδίτη
" Δῶχ', ὅτε μ' ἤγαγε κεῖσε φίλης ἀπὸ πατρίδος αἴης,
" Παῖδά τ' ἐμὴν νοσφισαμβύη, θάλαμόν τε, πόσιν τε,
" Οὔ τευ δευόμενον, ὅτ' ἄρ' φρένας, ὅτε τι εἶδος.
Τὴν δ' ἀπαμειβόμενος προσέφη ξανθὸς Μενέλαος·
" Ναὶ δὴ ταῦτά γε πάντα, γύναι, κατὰ μοῖραν ἔειπες.
" Ἤδη μὲν πολέων ἐδάλω βυλήν τε νόον τε
" Ἀνδρῶν ἡρώων, πολλὴν δ' ἐπελήλυθα γαῖαν·
" Ἀλλ' ὔπω τοιοῦτον ἐγὼν ἴδον ὀφθαλμοῖσιν,
" Οἷον Ὀδυσσῆος ταλασίφρονος ἔσκε φίλον κῆρ·
" Οἷον Ϲ τόδ' ἔρεξε καὶ ἔτλη καρτερὸς ἀνὴρ,
" Ἵππῳ ἔνι ξεστῷ, ἵν' ἐνήμεθα πάντες ἄριστοι
" Ἀργείων, Τρώεσσι φόνον Ϲ κῆρα φέροντες.
" Ἦλθες ἔπειτα σὺ κεῖσε· κελευσέμεναι δέ σ' ἔμελλε
" Δαίμων, ὃς Τρώεσσιν ἐβάλετο κῦδος ὀρέξαι,
" Καὶ τοι Δηΐφοβος θεοείκελος ἕσπετ' ἰόντι.
" Τρὶς δὲ περίστειξας κοίλον λόχον ἀμφαφόωσα,
" Ἐκ δ' ὀνομακλήδην Δαναῶν ὀνόμαζες ἀρίστους,

χιν· τετίηται, ἢ αὐτὸς κραιφροιῆσαι, ὃ ἐπεσε τὴν Ἑλένην· ἢ φρονήσασ ἀπέμε ἑωυτῇ σῴζεσθαι τὸ ὄνομα παῦσαι πειήσασ· οἱ δ' νεώτεροι, φρονέοντα τὰ λέαν ἀπόλεσαντο.

259 ΛΙ. Ὀξέως. ΕΚ. Ἐθρήνεν.
260 ΝΕ. Περιύσεσθαι.
261 ΜΕ. Μετεμελόμην.
263 ΝΟΣ Χωρίσασα, καταλιποῦσα. ΠΟ. Ἄνδρα.
264 ΤΕΥ. Τινός. ΔΕΥ. Ἐνδεὴς ὅλος, ἀδέμφων.
267 ΕΔ. Ἔμαθεν.
268 ΕΠ. Ἐπῆλθον.
272 ΙΠ. Τῷ δορὶ ἵππῳ, καλῶς ἐξεσμένῳ. ΕΝ. Ἐμοὶ ἐδεδημένοι ἦμεν.
274 ΚΕ. Προτρέψαι.
276 ΔΗΙ. Ἐπὶ πλαδιήσαντι τῇ Ἀλεξάνδρᾳ ὑπὸ Φιλοκτήτᾳ, Δηΐφοβος ἐχαμήθη ἡ Ἑλένη. ΘΕ. Θεοῖς ὅμοιος. ΙΟΥ. Περσωμένῃ. ΤΟΙ. Σοί.
277 ΠΕ. Περιῆλθες· ἀπὸ δ' τείχεα, ὅ ἐστι περιῴθησας. ΛΟ. Τὸν δόρειον ἵππον. ΑΜ. Ψηλαφῶσα.
278 ΟΝ. Ἐξ ὀνόματος.

" Πάντων

" Πάντων Ἀργείων φωνὴν ἴσκω σ' ἀλόχοισιν.
" Αὐτὰρ ἐγὼ, καὶ Τυδείδης, καὶ δῖος Ὀδυσσεὺς
" Ἥμενοι ἐν μέσσοισιν, ἀκούσαμεν, ὡς ἐβόησας.
" Νῶϊ μὲν ἀμφοτέρω μενεήναμεν ὁρμηθέντε,
" Ἢ ἐξελθέμεναι, ἢ ἔνδοθεν αἶψ' ὑπακοῦσαι·
" Ἀλλ' Ὀδυσεὺς κατέρυκε, καὶ ἔσχεθεν ἱεμένω περ.
" Ἐνθ' ἄλλοι μὲν πάντες ἀκὴν ἔσαν ἠδὲ Ἀχαιῶν·
" Ἀνδρῶν δὲ σέ γ' οἷος ἀμείψασθαι ἐπέεσσιν
" Ἤθελεν· ἀλλ' Ὀδυσεὺς ἐπὶ μάστακα χερσὶ θῖεζε
" Νωλεμέως κρατερῇσι, σάωσε δὲ πάντας Ἀχαιούς·
" Τόφρα δ' ἔχ', ὄφρα σὲ νόσφιν ἀπήγαγε Παλλὰς Ἀθήνη.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
" Ἀτρεΐδη Μενέλαε, διοτρεφὲς, ὄρχαμε λαῶν,
" Ἄλγιον· ἀ γάρ οἱ τι τάγ' ἤρκεσε λυγρὸν ὄλεθρον,
" Οὐδ' εἴ οἱ κραδίη γε σιδηρέη ἔνδοθεν ἦεν.
" Ἀλλ' ἄγε δὴ, εἰς εὐνὴν τρέπεθ' ἡμέας, ὄφρα κεν ἤδη
" Ὕπνῳ ὑπὸ γλυκερῷ τερπώμεθα κοιμηθέντες.
Ὣς ἔφαθ'· Ἀργείη δ' Ἑλένη δμωῇσι κέλευσε
Δέμνι' ὑπ' αἰθούσῃ θέμεναι, καὶ ῥήγεα καλὰ
Πορφύρε' ἐμβαλέειν, στορέσαι τ' ἐφύπερθε τάπητας,
Χλαίνας τ' ἐνθέμεναι ὄλας καθυπέρθεν ἕσασθαι.
Αἱ δ' ἴσαν ἐκ μεγάροιο, δάος μετὰ χερσὶν ἔχουσαι.

279 ΙΣ. Ἀπεικάζουσι.
282 ΝΩΙ. Ἡμεῖς. ΜΕ. Προσθυμήθημεν.
283 ΕΝ. Ἔσωθεν.
284 ΚΑ. Κατίσχεν, κώλυεν. ΕΣ. Ἔπισχεν. ΙΕ. Καὶ ἐσθυμεμένω.
285 ΑΚ. Ἥσυχοι.
286 ΑΜ. Ἀποκρίνασθαι.
287 ΜΑ. Τὸ στόμα. ΠΙ. Ἔσφιγγεν.
288 ΝΩ. Ἀδιαλείπτως. ΣΑ. Ἔστωσαν.
289 ΟΦ. Ἕως.
292 ΑΛ. Λυπηρόν. ΗΡ. Ἐσκέπτην.
295 ΓΛΥ. Ἡδεῖ. ΤΕΡ. Τερφθῶμεν.
297 ΔΕΜ. Στρώματα.
298 ΕΦ. Ὑπεράνωθεν.
300 ΔΑ. Φῶς, λαμπάδα.

Δέμνια

Δέμνια δὲ στόρεσαν· ἐκ δὲ ξείνους ἄγε κήρυξ.
Οἱ μὲν ἄρ' ἐν προδόμῳ δόμου αὐτόθι κοιμήσαντο
Τηλέμαχός θ' ἥρως καὶ Νέστορος ἀγλαὸς υἱός·
Ἀτρεΐδης δὲ κάθευδε μυχῷ δόμου ὑψηλοῖο,
Παρ δ' Ἑλένη τανύπεπλος ἐλέξατο δῖα γυναικῶν.
Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠώς,
Ὧρνυθ' ἄρ' ἐξ εὐνῆφι βοὴν ἀγαθὸς Μενέλαος
Εἵματα ἑσσάμενος· περὶ δὲ ξίφος ὀξὺ θέτ' ὤμῳ,
Ποσσὶ δ' ὑπὸ λιπαροῖσιν ἐδήσατο καλὰ πέδιλα·
Βῆ δ' ἴμεν ἐκ θαλάμοιο θεῷ ἐναλίγκιος ἄντην,
Τηλεμάχῳ δὲ παρίζεν, ἔπος τ' ἔφατ', ἐκ τ' ὀνόμαζε·
" Τίπτε δέ σε χρειὼ δεῦρ' ἤγαγε, Τηλέμαχ' ἥρως,
" Ἐς Λακεδαίμονα δῖαν, ἐπ' εὐρέα νῶτα θαλάσσης;
" Δήμιον, ἢ ἴδιον; τόδε μοὶ νημερτὲς ἐνισπε.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
" Ἀτρεΐδη Μενέλαε, διοτρεφὲς, ὄρχαμε λαῶν,
" Ἦλυθον, εἴτινά μοι κληηδόνα πατρὸς ἐνίσποις·
" Ἐσθίεταί μοι οἶκος, ὄλωλε δὲ πίονα ἔργα.
" Δυσμενέων δ' ἀνδρῶν πλεῖος δόμος, οἵ τε μοι αἰεὶ
" Μῆλ' ἀδινὰ σφάζουσι, καὶ εἰλίποδας ἕλικας βοῦς,
" Μητρὸς ἐμῆς μνηστῆρες ὑπέρβιον ὕβριν ἔχοντες.
" Τὼνεκα νῦν τὰ σὰ γούναθ' ἱκάνομαι, αἴ κ' ἐθέλῃσθα

301 ΣΤΟ. Ἔρωτων.
302 ΠΡΟ. Τῷ δὲ θαλάμῳ.
304 ΜΥ. Τῷ ἐσπερίῳ.
305 ΤΑ. Τετμημένον πέπλον ἔχουσα. ΕΛ. Ἐκσυμένη.
306 ΗΜ. Ἦλθε, ὄπ.
310 ΙΜ. Προσθῆκαι.
312 ΔΕΥ. Ἐνθάδε.
313 ΝΩ. Μεταφορικῶς τὸ πλάτος τῆς θαλάσσης εἶπεν.
314 ΔΗ. Δημόσιον. ΝΗ. Ἀληθές.
317 ΚΛΗ. Κληδόνα, φημίν. ΕΝ. Εἶπους.
319 ΠΛΕΙ. Πλήρης.
321 ΥΠ. Μεγάλην.
322 ΙΚ. Ἱκετεύω.

" Κέκυε λυγρὸν ὄλεθρον ἐνιαυτεῖαι, εἴπερ ὄπωπας
" Ὀφθαλμοῖσι τεοῖσιν, ἢ ἄλλου μῦθον ἄκουσας
" Πλαζομένου· πέρι γάρ μιν ὀιζυρὸν τέκε μήτηρ.
" Μηδέ τί μ' αἰδόμενος μειλίσσεο, μήδ' ἐλεαίρων,
" Ἀλλ' εὖ μοι κατάλεξον, ὅπως ἤντησας ὀπωπῆς.
" Λίσσομαι, εἴ ποτέ τοι τι πατὴρ ἐμὸς ἐσθλὸς Ὀδυσεὺς
" Ἢ ἔπος ἠέ τι ἔργον ὑπουρήσας ἐξετέλεσσε
" Δήμῳ ἔνι Τρώων, ὅθι πάσχετε πήματ' Ἀχαιοί,
" Τῶν νῦν μοι μνῆσαι, καί μοι νημερτὲς ἐνίσπε.
Τὸν δὲ μέγ' ὀχθήσας προσέφη ξανθὸς Μενέλαος·
" Ὦ πόποι, ἦ μάλα δὴ κρατερόφρονος ἀνδρὸς ἐν εὐνῇ
" Ἤθελον εὐνηθῆναι, ἀνάλκιδες αὐτοὶ ἐόντες.
" Ὡς δ' ὁπότ' ἐν ξυλόχῳ ἔλαφος κρατεροῖο λέοντος
" Νεβρὸς κοιμήσασα νεηγενέας γαλαθηνὰς,
" Κνημοὺς ἐξερέῃσι καὶ ἀγκεα ποιήεντα
" Βοσκομένη, ὁ δ' ἔπειτα ἑὴν εἰσήλυθεν εὐνὴν,
" Ἀμφοτέροισι δὲ τοῖσιν ἀεικέα πότμον ἐφῆκεν·
" Ὡς Ὀδυσεὺς κείνοισιν ἀεικέα πότμον ἐφήσει.
" Αἰ γὰρ, Ζεῦ τε πάτερ, καὶ Ἀθηναίη, καὶ Ἄπολλον,
" Τοῖος ἐὼν, οἷός ποθ', ἐυκλειμένῃ ἐνὶ Λέσβῳ,
" Ἐξ ἔριδος Φιλομηλείδῃ ἐπάλαισεν ἀναχθείς,

323 ΟΠ. Ἐάρακας.
325 ΟΙ. Ταλαίπωρον.
326 ΜΕΙ. Προσηνῶς ἁλιεύει.
329 ΥΠ. Ὑποδιχόμενος.
331 ΕΝ. Εἰπέ.
334 ΑΝ. Ἀθηναῖος.
335 ΞΥ. Σκωδίνῃ τόπῳ, κοίτῃ θηρίων.
336 ΝΕ. Τὰ ἔγγονα τῶν ἐλάφων. ΝΕ. Νεωστὶ πεφυκότας, νηπίους. ΓΑ. Μικρούς, ἔτι γάλακτι τρεφομένους.
337 ΚΝΗ. Τὰς κοίτας τῶν θηρίων. ΕΞ. Ἐξερευνᾷ. ΑΓ. Τὰς κοίλας τοπους τῶν ὀρέων. ΠΟΙ. Βοσκομένη.
338 ΕΗ. Τὴν ἑαυτοῦ. ΕΙ. Εἰσῆλθεν.
340 ΕΦ. Ἐπιβαλεῖ.
343 ΦΙ. Τῷ Πκτῳόκλῳ. Φιλομήλιδης γὰρ ἦν υἱός.

" Καὶ

" Καὰ δ' ἔβαλε κρατερῶς, κεχάροντο δὲ πάντες Ἀχαιοί.
" Τοῖος ἐὼν μνηστῆρσιν ὁμιλήσειεν Ὀδυσεὺς,
" Πάντες κ' ὠκύμοροί τε γλυοίατο πικρόγαμοί τε.
" Ταῦτα δ', ἃ μ' εἰρωτᾷς καὶ λίσεαι, οὐκ ἂν ἔγωγε
" Ἄλλα παρὲξ εἴποιμι ἰδὼν Πρωτῆος ἀκλιδὸν, ὃς μ' ἀπατήσω·
" Ἀλλὰ τὰ μέν μοι ἔειπε γέρων ἁλιος νημερτὴς,
" Τῶν δέν τοι ἐγὼ κρύψω ἔπος, οὐδ' ὑποκύσω.
" Αἰγύπτῳ μ' ἔτι δεῦρο θεοὶ μεμαῶτα νέεσθαι
" Ἔσχον, ἐπεὶ οὔ σφιν ἕρεξα τελήεσσας ἑκατόμβας·
" Οἱ δ' αἰεὶ βούλοντο θεοὶ μεμνῆσθαι ἐφετμέων.
" Νῆσος ἔπειτά τις ἐστὶ πολυκλύστῳ ἐνὶ πόντῳ,
" Αἰγύπτῳ προπάροιθε, (Φάρον δὲ ἑ κικλήσκουσι)
" Τόσσον ἄνευθ', ὅσσον τε πανημερίη γλαφυρὴ νηῦς
" Ἴνυσεν, ἢ λιγὺς ἔρος ὑπηνέμιος ὄπισθεν.
" Ἐν δὲ λιμένι εὔορμος, ὅθεν τ' ἀπὸ νῆας ἔασι
" Ἐς πόντον βάλλουσιν, ἀφυσάμενοι μέλαν ὕδωρ.
" Ἔνθα μ' ἐείκοσιν ἤματ' ἔσχον θεοὶ, οὐδέ πτ' ἔροι
" Πνείοντες φαίνονθ' ἁλιαέες, οἵ ῥά τε νηῶν
" Πομπῆες γίνονται ἐπ' εὐρέα νῶτα θαλάσσης.

344 ΚΑΔ. Κατίδαλε δὲ, ἐφῆκεν, ἔπαυσεν. ΚΕ. Ἐχάρησαν.

345 ΟΜ. Συνάδαλοι, μαχίσαιντο.

347 ΛΙΣ. Ἱκετεύσεις, παρακαλέσεις.

348 ΠΑ. Ἔξω, παρὰ ταῦτα. ΠΑ. Παρακλινθήσῃ, παρεξεκπέσῃς τῆς λέξεως.

349 ΓΕ. Θαλάσσιε γέρων, ὁ Πρωτεύς. ΝΗ. Ἀληθὴς, ἀψευδὴς.

355 ΦΑ. Νῦν Αἰγύπτῳ, τῷ νῦν Ἀλεξάνδρειαν.

356 ΤΟΣ. Εἰκὼς, τοσοῦτον ἂν ἡμέρας ἔπλει ἡ τῆς ἡμέρας χρόνος τὸ ἀφέστηκε, εἶτα ἀπολαμβάνει, ὃ Νέλεα ὑπερχέοντος τὴν ἰδίαν ἰλύν· ποταμοχώστου γὰρ ἡ Αἴγυπτος, κατὰ Ἡρόδοτον. ΑΝ. Μακρὰν, πόρρω. ΠΑΝ. Διὰ πάσης ἡμέρας. ΓΛΑ. Κοίλη.

357 ΗΝ. Διαπέρασιν. ΕΠ. Ἐπιπνέει.

358 ΕΥ. Εὐκαθέμιστος.

359 ΑΦ. Ἀντλήσαντες.

361 ΑΛ. Οἱ ἐν τῇ θαλάσσῃ πλέοντες.

" Καί νύ κεν ἠΐα πάντα κατέφθιτο, χ̀ μὴν ἀνδρῶν,
" Εἰ μή τίς με θεῶν ὀλοφύρατο, καί μ' ἐσάωσε,
" Πρωτέος ἰφθίμην δυγάτηρ, ἁλίοιο γέροντος,
" Εἰδοθέη· τῇ γάρ ῥα μάλιστά γε θυμὸν ὄρνυα,
" Ἥ μ' οἷῳ ἔρροντι συνήντετο, νόσφιν ἑταίρων.
" Αἰεὶ γὰρ ὥβιοι νῆσιν ἀλώμενοι ἰχθυάασκον
" Γναμπτοῖς ἀγκίστροισιν· ἔτειρε δ' ἄρα λιμός.
" Ἡ δ' ἐμεῦ ἄγχι στᾶσα ἔπος φάτο, φώνησέν τε·
" Νήπιος εἶς, ὦ ξεῖνε, λίλιω τόσσον, ἠὲ χαλίφρων,
" Ἠὲ ἑκὼν μεθίης, χ̀ τέρπεαι ἄλγεα πάσχων,
" Ὡς δὴ δήθ' ἐνὶ νήσῳ ἐρύκεαι, ἀδέ τι τέκμωρ
" Εὑρέμεναι δύνασαι, μινύθῃ δέ τοι ἦτορ ἑταίρων.
" Ὡς ἔφαθ'· αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
" Ἐκ μέν τοι ἐρέω, ἥτις σύ περ ἐσσὶ θεάων,
" Ὡς ἐγὼ ἄτι ἑκὼν κατερύκομαι, ἀλλά νυ μέλλω
" Ἀθανάτας ἀλιτέσθαι, οἳ οὐρανὸν εὐρὺν ἔχουσιν·
" Ἀλλὰ σύ περ μοι εἰπὲ, (θεοὶ δέ τε πάντα ἴσασιν,)
" Ὅστις μ' ἀθανάτων πεδάα χ̀ ἔδησε κελεύθῳ·
" Νόσον θ', ὡς ἥπτ' ὤόντον ἐλεύσεσθαι ἰχθυόεντα.
" Ὡς ἐφάμην· ἡ δ' αὐτίκ' ἀμείβετο δῖα θεάων·
" Τοιγὰρ ἐγώ τοι, ξεῖνε, μάλ' ἀτρεκέως καταλέξω,

363 Η. Ἐφίδια. ΚΑ. Κατηνάλωτο, ἀπίλιπεν.
364 ΟΛ. Ὤκλεσεν.
365 ΘΥ. Εἰδοθέα.
366 ΟΡ. Ἐπέρρεξε.
367 ΕΡ. Μετὰ λύπης πορδυομένῳ χ̀ φθορᾶς.
368 ΑΛ. Πλανώμενοι. ΙΧ. Ἰχθῦς ἤγρευον.
369 ΓΝΑΜ. Ἐπικαμπίσιν. ΕΤ. Κατιπόνῃ.
371 ΧΑ. Κιχλασμένας ἴχνη τὰς φοίνας, ἢ ἁλίπους.
372 ΜΕ. Ἀμιλᾶς.
373 ΕΡ. Κατίσχῃ, κωλύῃ.
374 ΜΙ. Ἐλαπίνατε, μειῶτε.
377 ΚΑ. Κατίσχομαι. ΜΕΛ. Ἔοικα.
378 ΑΛ. Ἁμαρτῆσαι.
380 ΠΕ. Ἐμποδίζῃ, κατίσχῃ.

" Πωλεῖται

" Πωλεῖταί τις δεῦρο γέρων ἅλιος νημερτὴς,
" Ἀθάνατος Πρωτεὺς Αἰγύπτιος, ὅστε θαλάσσης
" Πάσης βένθεα οἶδε, Ποσειδάωνος ὑποδμώς·
" Τόνδε τ' ἐμὸν φασὶν πατέρ' ἔμμεναι, ἠδὲ τεκέσθαι.
" Τόνγ' εἴπως σὺ δύναιο λοχησάμενος λελαβέσθαι,
" Ὅς κέν τοι εἴπῃσιν ὁδὸν ἠδ' ἕκαστα κελεύθους,
" Νόστον θ', ὡς ἐπὶ πόντον ἐλεύσεαι ἰχθυόεντα·
" Καὶ δέ κέ τοι εἴπῃσι, διοτρεφὲς, αἴκ' ἐθέλῃθα,
" Ὅττι τοι ἐν μεγάροισι κακὸν τ' ἀγαθόν τε τέτυκται,
" Οἰχομένοιο σέθεν δολιχὴν ὁδὸν ἀργαλέην τε.
" Ὣς ἔφαθ'· αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
" Αὐτὴ νῦν φράζευ σὺ λόχον θείοιο γέροντος,
" Μήπως με προϊδὼν, ἠὲ προδαείς, ἀλέηται·
" Ἀργαλέος γάρ τ' ἐστὶ θεὸς βροτῷ ἀνδρὶ δαμῆναι.
" Ὣς ἐφάμην· ἡ δ' αὐτίκ' ἀμείβετο δῖα θεάων·
" Τοιγὰρ ἐγώ τοι, ξεῖνε, μάλ' ἀτρεκέως καταλέξω·
" Ἡμὸς δ' ἠέλιος μέσον οὐρανὸν ἀμφιβεβήκῃ,
" Τῆμος ἄρ' ἐξ ἁλὸς εἶσι γέρων ἅλιος νημερτὴς,
" Πνοιῇ ὕπο Ζεφύροιο, μελαίνῃ φρικὶ καλυφθείς·
" Ἐκ δ' ἐλθὼν κοιμᾶται ὑπὸ σπέσσι γλαφυροῖσιν.
" Ἀμφὶ δέ μιν φῶκαι, νέποδες καλῆς Ἁλοσύδνης,

384 ΠΩ. Ἀνακρίφεται, πειρωτᾶται.
386 ΥΠ. Θεράπων, ὑπηρέτης.
388 ΔΥ. Δωμηθείης. ΛΟ. Ἐνεδρεύσας. ΛΕ. Ἐπιλαθοίσθαι, κρατῆσαι.
393 ΔΟ. Μακρὰν.
395 ΦΡΑΖ. Διαυσῦ, βυλεύσ.
396 ΠΡΟ. Προμαθὼν. ΑΛ. Ἐκλίνῃ, φυλάξηται.
397 ΔΑ. Δαμασθῆναι.
400 ΑΜ. Περιέχῃ.
401 ΑΛ. Ἤτοι ἔξω τῆ θαλάσσης.
402 ΦΡΙ. Τῇ ἐπιχθομένῃ μιλαινίᾳ ἐν τῷ ὦα τῆ ἐππολαίᾳ κινήσεως τῆ ὑδάτων.
404 ΑΜ. Περὶ αὐτὸν ἢ φῶκας σωολαιτᾶται ὁ Πρωτεύς· ἐπιτηδειότατον γὰρ τῆ ἁναλίων ζώων τῆτο εἰς μαγείαν. ΝΕ. Αἱ ἁλὸς ἔνηχεσθαι τὴν περίαν ποιήμνας, ἢ ἄποδες. ΑΛ. Τῆς θαλάσσης, παρὰ τὸ ἐν ἁλὶ σύεσθαι.

" Ἀθρόαι

" Ἀθρόαι εὔδωσιν, πολιῆς ἁλὸς ἐξαναδῦσαι,
" Πικρὸν ἀποπνείουσαι ἁλὸς πλυσεινοῦς ὀδμήν.
" Ἔνθα σ' ἐγὼν ἀγαγοῦσα, ἅμ' ἠοῖ φαινομένῃφιν,
" Εὐνάσω ἐξείης· σὺ δ' εὖ κρίναοθαι ἑταίρους
" Τρεῖς, οἵ τοι ᾠδὴ νηυσὶν εὐσελμοισιν ἄρηται·
" Πάντα δέ τοι ἐρέω ὀλοφῶια τοῖο γέροντος.
" Φώκας μέν τοι πρῶτον ἀριθμήσῃ, ἢ ἔπεισιν·
" Αὐτὰρ ἐπὴν πάσας πεμπάσσεται, ἠδὲ ἴδηται,
" Λέξεται ἐν μέσσοισι, νομεὺς ὡς πώεσι μήλων·
" Τὸν μὲν ἐπὶν δὴ πρῶτα καθυπνωθέντα ἴδηαθε,
" Καὶ τότ' ἔπειτ' ὔμμιν μελέτω κάρτος τε βίη τε,
" Αὖθι δ' ἔχειν μεμαῶτα ἢ ἐσύμενόν περ ἀλύξαι.
" Πάντα δὲ γιγνόμενος πειρήσεται, ὅσσ' ἐπὶ γαῖαν
" Ἕρπετ' γίνονται, καὶ ὕδωρ, καὶ θερμὸν πῦρ·
" Ὑμεῖς δ' ἀσφαλέως ἐχέμεν, μᾶλλόν τε πιέζειν.
" Ἀλλ' ὅτε κεν δὴ σ' αὐτὸς ἀνείρηται ἐπέεσσιν,
" Τοῖος ἐὼν, οἷόν κε καθυπνωθέντα ἴδηαθε,
" Καὶ τότε δὴ χαλάσαι τε βίης, λῦσαί τε γεροῦλα,
" Ἥρως· εἶπαι δ', θεῶν ὅστις σε χαλέπτει·
" Νόστον θ', ὡς ἐπὶ πόντον ἐλεύσεαι ἰχθυόεντα.

405 ΑΘ. Ὁμῶ πᾶσαι.
406 ΑΠ. Ὄζασαι. ΠΟ. Πολὺ βάλης ἰχνύσης.
408 ΕΥΝ. Κατακλινῶ, κημίσω. ΚΡΙ. Ἐπιλέξασθαι.
410 ΟΛ. Ὀλίθρια, ἢ λοπέρυφα, ἢ δέλια.
411 ΕΠ. Ἐπιλεύσῃ.
412 ΠΕΜ. Κατὰ πέντε ἀριθμήσῃ.
413 ΑΕΞ. Κατακλιθήσεται. ΝΟ. Ὡς πειμήν. ΠΩ. Ποιμνίοις.
414 ΚΑ. Κοιμηθέντα.
416 ΑΛ. Ἐκφυγεῖν.
417 ΠΕΙ. Πειρᾶσθαι.
418 ΕΡ. Κυρίως μὲν, οἱ ὄφεις· καταχρηστικῶς δὲ νεῦ, πάντα τὰ ζῳρία.
419 ΑΣ. Ἀσφαλῶς, βεβαίως, ἀμετακινήτως. ΠΙ. Βιαιότερον κρατεῖν.
420 ΑΝ. Ἐρωτήσῃ.
422 ΣΧΕΣ. Παῦσαι.
423 ΕΙ. Ἐρωτᾶν. ΧΑ. Βλάπτῃ.
424 ΕΛ. Ἔλθῃς, πράσεις.

" Ὡς

405 "Ὣς εἰπὼν, ὑπὸ κῦμα κατ' ἰχθυόεντα θάλασσαν
"Αὐτὰρ ἐγὼν ἐπὶ νῆας, ὅθ' ἕταιροι ἐν ψαμάθοισιν,
"Ἤια· πολλὰ δέ μοι κραδίη πόρφυρε κιόντι.
"Αὐτὰρ ἐπεί ῥ' ἵκανον ἐπὶ νῆα κατήλυθον ἠδὲ θάλασσαν,
Δόρπον θ' ὁπλισσάμεθ', ἐπί τ' ἦλυθεν ἀμβροσίη νύξ,
410 Δὴ τότε κοιμήθημεν ἐπὶ ῥηγμῖνι θαλάσσης.
"Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠώς,
Καὶ τότε δὴ σεῦα θοὴν θάλασσης εὐρυπόροιο
"Ἤια, πολλὰ θεὸς γενόμενος· αὐτὰρ ἑταίρους
Τρῆς ἄγον, οἵσι μάλιστα πεποίθεα πᾶσιν ἐπ' ἰθύν.
415 Τόφρα δ' ἄρ' ἦγ' ὑποδῦσα θαλάσσης εὐρέα κόλπον,
Τέσσαρα φωκάων ἐκ πόντου δέρματ' ἔνεικε·
Πάντα δ' ἔσαν νεόδαρτα· δόλον δ' ἐπεμήδετο πατρί·
Εὐνὰς δ' ἐν ψαμάθοισι διαγλάψασ' ἁλίησιν,
"Ἧστο μένασ', ἡμεῖς δὲ μάλα σχεδὸν ἦλθομεν αὐτῆς·
420 Ἐξείης δ' εὖνησε, βάλεν δ' ὑπὲρ δέρμα ἑκάστῳ.
Κεῖθι δὴ αἰνότατος λόχος ἔπλετο· τείρε γὰρ αἰνῶς
Φωκάων ἁλιοτρεφέων ὀλοώτατος ὀδμή·
Τίς γὰρ ἂν εἰναλίῳ πόντου κῆτει κοιμηθείη;
Ἀλλ' αὐτὴ ἐσάωσε, καὶ ἐφράσατο μέγ' ὄνειαρ·

425 ΕΔ. Κατίδωσιν.
427 ΗΙ. Ἐπορεύθην, ἢ ἐπορδόμην. ΠΟΡ. Ἐν βαθεῖ τῷ ἁλμυρίδι διεισῶτο ἐκ ἐκινᾶτο, καὶ ἐπεράστετο· ὥσπερ συμβαίνει ἐπὶ τῶν ὑδάτων, τὰ ἐκ βάθους κινούμενα μελαίνεσθαι. ΚΙ. Ἀπέπτη.
429 ΟΠ. Παρεσκευάσαμεν. ΑΜ. Ἁρμοστῶ, θεία.
434 ΠΕ. Ἐπιποίθειν, ἐπαίρων. ΙΘ. Ἐπὶ πᾶσαν ὁρμὴν καὶ πεῖραν.
435 ΥΠ. Κατελθοῦσα. ΕΥ. Πλάτον, ἢ μίζαν.
437 ΝΕ. Νεωστὶ ἐκδαρθέντα.
438 ΔΙ. Διακοιλάναντα.
440 ΕΥ. Κατέκλινεν, ἐκοίμησεν.
441 ΑΙ. Δεινότατος, χαλεπώτατος. ΤΕ. Κατεπόνει.
442 ΑΛ. Τῶν ἐν τῇ θαλάσσῃ τρεφομένων. ΟΛ. Ὀλεθριώτατος.
443 ΕΙ. Θαλασσίῳ.
444 ΟΝ. Ὠφέλειαν.

"Αμβροσίην

" Ἀμβροσίην ὑπὸ ῥῖνα ἑκάστῳ θῆκε Φέρεσθαι,
" Ἡδὺ μάλα πνείουσαν· ὄλεσε δὲ κήτεος ὀδμήν.
" Πᾶσαν δ' ἠοίλιον μθύομεν τετληότι θυμῷ.
" Φῶκαι δ' ἐξ ἁλὸς ἦλθον ἀολλέες· αἱ μὲν ἔπειτα
" Ἑξῆς ηὐνάζοντο παρὰ ῥηγμῖνι θαλάσσης.
" Ἔνθιος δ' ὁ γέρων ἦλθ' ἐξ ἁλὸς, εὗρε δὴ φώκας
" Ζατρεφέας· πάσας δ' ἄρ' ἐπῴχετο, λέκτο δ' ἀριθμόν.
" Ἐν δ' ἡμέας πρώτους λέγε κήτεσιν, οὐδέ τι θυμῷ
" Ὠίθη δόλον εἶναι· ἔπειτα δὲ λέκτο καὶ αὐτός.
" Ἡμεῖς δ' αἶψ' ἰάχοντες ἐπεσύμεθ'· ἀμφὶ δὴ χεῖρας
" Βάλλομεν· ὃδ' ὁ γέρων δολίης ἐπελήθετο τέχνης,
" Ἀλλ' ἦτοι πρώτιστα λέων γένετ' ἠϋγένειος,
" Αὐτὰρ ἔπειτα δράκων, καὶ πάρδαλις, ἠδὲ μέγας σῦς·
" Γίνετο δ' ὑγρὸν ὕδωρ, καὶ δένδρεον ὑψιπέτηλον.
" Ἡμεῖς δ' ἀσπερχὲς ἔχομεν τετληότι θυμῷ·
" Ἀλλ' ὅτε δὴ ῥ' ἀνίαζ' ὁ γέρων, ὀλοφώια εἰδὼς,
" Καὶ τότε δὴ μ' ἐπέεσσιν ἀνειρόμενος προσέειπεν·
" Τίς νύ τοι, Ἀτρέος υἱὲ, θεῶν συμφράσατο βουλὰς,
" Ὄφρα μ' ἕλοις ἀέκοντα λοχησάμενος; τέο σε χρή;

445 ΑΜ. Νῦν τὸ θεῖον καὶ εὐῶδες ἔλαιον.

446 ΗΔ. Ἡδέως.

447 ΗΟΙ. Τὸν ἀπὸ πρωΐας ἕως ὥρας ἕκτης καιρὸν. ΤΕ. Καρτερικῶς, ὑπομνητικῶς.

449 ΕΞ. Ἐφιξῆς, καὶ τάχιον. ΗΥ. Ἐκιμῶντο.

450 ΕΝ. Μεσημβρινός· τότε γὰρ ἄρχεται λοιπὸν εὐδεῖν ἡ ἴλη, ὅ ἐστιν, ἡ ἀκτὶς ἡλία.

451 ΖΑ. Εὐτραφεῖς. ΛΕΚ. Ἠρίθμησεν.

452 ΛΕ. Κατηρίθμει.

453 ΩΙ. Ὑπονόησιν. ΛΕΚ. Νῦν σκαρδεύδησεν.

454 ΙΑ. Βοήσαντες. ΕΠΕΣ. Μιᾷ ὁρμῇ ἐπαλθόμεν.

456 ΑΛ. Οὐχ ὅλως μετιόαλις, ἀλλὰ φαυλασίαν ἐποίει τέχνη μαγικὴ· ἐληφθη γὰρ οὐ δόλῳ ὑπ' ἐσμαντοδόμφθη, οὐδὲ προσφθακὼς ἐπὶ τὰς μιδόδους μυτέας. ΗΥ. Καλὸν ἔχων γύεσιον.

459 ΕΧ. Κατίχομεν.

460 ΑΝ. Ἐτίναζεν.

461 ΑΝ. Ἐρωτῶν.

463 ΤΕΟ. Τίνος σοὶ χρεία ἐστίν;

" Ὡς

" Ὣς ἔφαθ'· αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
" Οἶδα, γέρον· τί με ταῦτα πολυτροπίων ἐρεείνεις;
" Ὡς δὴ δηθ' ἐνὶ νήσῳ ἐρύκεσθαι, ἀδέ τι τέκμωρ
" Εὑρέμεναι δύναμαι, μινύθῃ δέ μοι ἔνδοθεν ἦτορ.
" Ἀλλὰ σύ πέρ μοι εἰπέ, (θεοὶ δέ τε πάντα ἴσασιν)
" Ὅστις μ' ἀθανάτων πεδάα καὶ ἔσχετο κελεύθου,
" Νόστον θ', ὡς δὴ πόντον ἐλεύσομαι ἰχθυόεντα.
" Ὣς ἐφάμην· ὁ δέ μ' αὖτις ἀμειβόμενος προσέειπεν·
" Ἀλλὰ μάλ' ὤφελλες Διΐ τ' ἄλλοισίν τε θεοῖσιν
" Ῥέξας ἱερὰ κάλ' ἀναβαινέμεν, ὄφρα τάχιστα
" Σὴν ἐς πατρίδ' ἵκοιο, πολέων ἐπὶ οἴνοπα πόντον.
" Οὐ γάρ τοι πρὶν μοῖρα φίλους τ' ἰδέειν, καὶ ἱκέσθαι
" Οἶκον ἐϋκτίμενον καὶ σὴν ἐς πατρίδα γαῖαν,
" Πρίν γ' ὅτ' ἂν Αἰγύπτοιο διιπετέος πολαμοῖο
" Αὖτις ὕδωρ ἔλθῃς, ῥέξῃς θ' ἱερὰς ἑκατόμβας
" Ἀθανάτοισι θεοῖσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσι·
" Καὶ τότε τοι δώσουσιν ὁδὸν θεοὶ, ἣν σὺ μενοινᾷς.
" Ὣς ἔφαθ'· αὐτὰρ ἔμοιγε κατεκλάσθη φίλον ἦτορ,
" Οὕνεκά μ' αὖτις ἄνωγεν ἐπ' ἠεροειδέα πόντον
" Αἰγυπτόνδ' ἰέναι, δολιχὴν ὁδὸν ἀργαλέην τε.
" Ἀλλὰ καὶ ὣς μιν ἔπεσσιν ἀμειβόμενος προσέειπον·
" Ταῦτα μὲν ὅτω δὴ τελέω, γέρον, ὡς σὺ κελεύεις.

465 ΠΑ. Παραλογιζόμενος.
466 ΕΡ. Κατίχομαι.
469 ΠΕ. Ἐμποδίζῃ, κατίχῃ.
470 ΕΛ. Ἕλῃ, ἁλιπερόεσσαν.
472 ΩΦ. Ὤφειλες.
473 ΑΝ. Ἀναβαίνειν, ἐπὶ τῇ πλοίῳ ἐλθόντα.
474 ΙΚ. Πάρεχθοις, ἔλθοις.
477 ΑΙ. Αἰγυπτίου, ὁ Νεῖλος ποταμὸς καλεῖται. ΔΙ. Τοῦ ὑπὸ Διὸς πληρουμένου.
481 ΚΑ. Ἐλυπήθη λίαν.
483 ΔΟ. Μακράν.
485 ΤΕ. Τελέσω, πλησίον, πληρώσω.

" Ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως καταλέξον,
" Εἰ πάντες σὺν νηυσὶν ἀπήμονες ἦλθον Ἀχαιοὶ,
" Οὓς Νέστωρ τε ἐγὼ λίπομεν Τροίηθεν ἰόντες,
" Ἠέ τις ὤλετ' ὀλέθρῳ ἀδδυκεῖ ἦς ἐπὶ νηὸς,
" Ἠὲ φίλων ἐν χερσὶν, ἐπεὶ πόλεμον τολύπευσεν; 490
" Ὡς ἐφάμην· ὁ δέ μ' αὖτις ἀμειβόμενος προσέειπεν·
" Ἀτρεΐδη, τί με ταῦτα διείρεαι; οὐδέ τί σε χρὴ
" Ἴδμεναι, οὐδὲ δαῆναι ἐμὸν νόον· οὐδέ σε φημὶ
" Δὴν ἄκλαυτον ἔσεσθαι, ἐπὴν εὖ πάντα τύθηαι·
" Πολλοὶ μὲν γὰρ τῶνδε δάμεν, πολλοὶ δὲ λίποντο. 495
" Ἀρχοὶ δ' αὖ δύο μοῦνοι Ἀχαιῶν χαλκοχιτώνων,
" Ἐν νόσῳ ὀπόλοντο· μάχῃ δέ τι καὶ σὺ παρῆθα·
" Εἷς δ' ἔτι πω ζωὸς κατερύκε) εὐρεῖι πόντῳ.
" Αἴας μὲν μετὰ νηυσὶ δάμη δολιχηρέτμοισι·
" Γυρῆσιν μὲν πρῶτα Ποσειδάων ἐπέλασσε 500
" Πέτρῃσιν μεγάλῃσι, καὶ ἐξεσάωσε θαλάσσης·
" Καί νύ κεν ἔκφυγε κῆρα, περ ἐχθόμενός περ Ἀθήνῃ,
" Εἰ μὴ ὑπερφίαλον ἔπος ἔκβαλε, καὶ μέγ' ἀάσθη·
" Φῆ ῥ' ἀέκητι θεῶν φυγέειν μέγα λαῖτμα θαλάσσης·
" Τὸν δὲ Ποσειδάων μεγάλ' ἔκλυεν αὐδήσαντος. 505

489 ΑΔ. Ἀπροσδόκητα, χαλεπά.
490 ΤΟΛ. Ἐμπαιωνίσαι, μὴ κακοπαθείας ποιῆσαι. τολυπεύειν ἐργάζεσθαι· τολύπη ἡ ἐργασία· τολυπόεντος, καθισκόμενος καὶ πεφιλοκαλημένος ἔριον.
492 ΔΙ. Ἐρωτᾷς.
493 ΔΑ. Μαθεῖν.
496 ΑΡ. Τὸν Αἴαντα τὸν Λοκρὸν λέγει, ὃς τὸν Ἀγαμέμνονα· ὃς γὰρ αὐτὸς ἀδίκου εἰς τὸν αὐτοῦ παῖδα οἰκίαν.
497 ΠΑ. Πατρᾶς.
499 ΔΟ. Μεγάλας, ἐπιμήκεις, μακροτάτας.
500 ΓΥ. Πέτραις πλησίον Μυκήνης τῆς νήσου, ἅτινας καλεμένας, ἐπεὶ ἐπ' αὐτῶν Φιρᾶς. ΕΠ. Προσήγγισεν.
502 ΕΧ. Λοπιμῶν.
503 ΥΠ. Ὑπερφανῶν. ΑΑΣ. Ἐθελόντος.
504 ΑΕ. Ἀσυλία, παρὰ γνώμην. ΑΑΙΤ. Βάθος, ἢ ἀβύσσημα.

" Αὐτίκ'

" Αὐτίκ' ἔπειτα τρίαιναν ἐλὼν χερσὶ στιβαρῇσιν,
" Ἤλασε Γυραίῃσι πέτρην, λύτο δ' ἔρισεν αὐτήν.
" Καὶ τὸ μὲν αὐτόθι μεῖνε, τὸ δὲ τεύφος ἔμπεσε πόντῳ·
" Τῷ ῥ' Αἴας τὸ πρῶτον ἐφεζόμενος μέγ' ἀάσθη,
" Τὸν δ' ἐφόρεϲ κατὰ πόντον ἀπείρονα κυμαίνοντα.
" Ὡς ὁ μὲν ἔνθ' ἀπόλωλεν, ἐπεὶ πίεν ἁλμυρὸν ὕδωρ·
" Σὸς δὲ πατὴρ ἔκφυγε κῆρας ἀδελφεὸς, ἠδ' ὑπάλυξεν,
" Ἐν νηυσὶ γλαφυρῇσι· σάωσε δὲ πότνια Ἥρη.
" Ἀλλ' ὅτε δὴ τάχ' ἔμελλε Μαλειάων ὄρος αἰπὺ
" Ἵξεσθ, τότε δή μιν ἀναρπάξασα θύελλα
" Πόντον ἐπ' ἰχθυόεντα φέρεν, μεγάλα στενάχοντα,
" Ἀγρὸν ἐπ' ἐσχατιὴν, ὅθι δώματα ναίε Θυέστης
" Τοπρὶν, ἀτὰρ τότ' ἔναιε Θυεστιάδης Αἴγισθος.
" Ἀλλ' ὅτε δὴ κ̓ κεῖθεν ἐφαίνετο νόστος ἀπήμων,
" Αὖ δὲ θεοὶ ὄρον ἔτραπον, ὦ οἵκαδ' ἵκοντο.
" Ἦτοι ὁ μὲν χαίρων ἐπεβήσετο πατρίδος αἴης,
" Καὶ κύνεϵ ἀπόμυϵς ἦν πατρίδα· πολλὰ δ' ἀπ' αὐτῆ
" Δάκρυα θερμὰ χεόν', ἐπεὶ ἀσπασίως ἴδε γαῖαν.
" Τὸν δ' ἄρ' ἀπὸ σκοπιῆς εἶδε σκοπὸς, ὃν ῥα καθεῖσεν
" Αἴγισθος δολόμητις ἄγων· ὑπὸ δ' ἔρχετο μισθὸν,
" Χρυσῷ δοιὰ τάλαντα· φύλαϰα δ' ὅγ' εἶς ἑαυτὸν,
" Μή ἑ λάθοι παριὼν, μνήσαιτο δὲ θάρσεος ἀλκῆς.

507 ΕΛ. Ἔπληξεν. ΓΥ. Τὰς Γυναικῆς.
508 ΑΥ. Ἐπὶ χώρας, ἐπὶ τόπου. ΤΡΥ. Τὸ ἀπόκλασμα.
509 ΕΦ. Ἐπικαθήμενος.
510 ΕΦ. Ἔφερεν. ΑΠ. Τὸν μίσαν, ἢ πίσας μὴ ἔχοντα.
512 ΥΠ. Ἐξέφυγεν.
514 ΜΑ. Ἀκρωτήριον τῆς Λακωνικῆς.
515 ΙΞ. Ἀφίξεσθαι, παραγίνεσθαι. ΘΥ. Ἀνήμων συμφορά.
517 ΝΑΙ. Ὠκύ.
518 ΘΥ. Θυέστου παῖς, Αἴγισθος.
522 ΚΥ. Προσκύνει.
525 ΥΠ. Ὑπῆρχετο δέ. Τιμήσις.
527 ΜΝΗ. Μνησθείη.

" Βῆ δ' ἴμεν ἀγχελέων πρὸς δώματα πιμπλύ λαῶν·
" Αὐτίκα δ' Αἴγισθος δολίην ἐφράσατο τέχνην·
" Κρινάμβους κατὰ δῆμον ἐείκοσι φῶτας ἀρίστους,
" Εἶσε λόχον, ἑτέρωθι δ' ἀνώγει δαῖτα πένεσθαι.
" Αὐτὰρ ὁ βῆ καλέων Ἀγαμέμνονα, πιμπλὰ λαῶν,
" Ἵπποισιν καὶ ὄχεσφιν, ἀεικέα μερμηρίζων.
" Τὸν δ' οὐκ εἰδότ' ὄλεθρον ἀνήγαγε καὶ κατέπεφνε
" Δειπνίσας, ὡς τις τε κατέκτανε βοῦν ἐπὶ φάτνῃ.
" Οὐδέ τις Ἀτρείδεω ἑτάρων λίπεθ', οἵ οἱ ἕποντο,
" Οὐδέ τις Αἰγίσθου· ἀλλ' ἔκταθεν ἐν μεγάροισιν.
" Ὣς ἔφατ'· αὐτὰρ ἔμαιγε κατεκλάσθη φίλον ἦτορ.
" Κλαῖον δ' ἐν ψαμάθοισι καθήμενος· οὐδέ νυ μοι κῆρ
" Ἤθελ' ἔτι ζώειν καὶ ὁρᾶν φάος ἠελίοιο.
" Αὐτὰρ ἐπεὶ κλαίων τε κυλινδόμενός τ' ἐκορέσθην,
" Δὴ τότε μοι προσέειπε γέρων ἅλιος νημερτὴς·
" Μηκέτι, Ἀτρέος υἱὲ, πολὺν χρόνον ἀσκελὲς ὧδε
" Κλαῖ', ἐπεὶ οὐκ ἄνυσίν τινα δήομεν· ἀλλὰ τάχιστα
" Πεῖρα, ὅππως κεν δὴ σὴν πατρίδα γαῖαν ἵκηαι.
" Ἦ γάρ μιν ζωόν γε κιχήσεαι, ἦ κεν Ὀρέστης
" Κτείνεν ὑποφθάμενος· σὺ δέ κεν τάφου ἀντιβολήσαις.
" Ὣς ἔφατ'· αὐτὰρ ἐμοὶ κραδίη καὶ θυμὸς ἀγήνωρ
" Αὖτις ἐνὶ στήθεσσι, σὺ ἀχνυμένῳ περ, ἰάνθη·

529 ΤΕΧ. Μηχανήν.
530 ΚΡΙ. Ἐπιλιξάμενος.
531 ΕΤ. Ἀναχῦ. ΠΕ. Ἐνεργεῖν, πεῖραν λαβεῖν.
535 ΔΕΙΠ. Εὐωχήσας. ΚΑ. Ἀνεῖλεν, ἐφόνευσεν.
540 ΖΩ. Ζῆν.
541 ΚΥ. Κυλινδόμενος.
543 ΑΣ. Ἀδιαλείπτως.
544 ΑΝ. Πρᾶξιν. ΔΗ. Εὑρήσεμεν.
545 ΠΕΙ. Πειρᾶν, ἀποδοῦναι.
546 ΚΙ. Καταλαβέσθαι.
547 ΚΤΕΙ. Ἔκτεινεν, ἀνεῖλεν. ΥΠ. Προλαβών. ΤΑ. Τὸ ἐνεδρεύειν. ΑΝ. Μετάσχοις.
549 ΙΑ. Διεχύθη, ἤδη.

" Καὶ

" Καί μιν Φωνήσας ἔπεα πτερόεντα προσηύδα·
" Τέτυς μὲν δὴ οἶδα· σὺ δὲ τρίτον ἄνδρ' ἐνόμαζε,
" Ὅστις ἔτι ζωὸς κατερύκεται εὐρέϊ πόντῳ,
" Ἦ θανέων· ἐθέλω γὰρ, καὶ ἀχνύμενός περ, ἀκοῦσαι.
" Ὣς ἐφάμην· ὁ δέ μ' αὖτις ἀμειβόμενος προσέειπεν·
" Υἱὸς Λαέρτεω, Ἰθάκῃ ἔνι οἰκία ναίων·
" Τὸν δ' ἴδον ἐν νήσῳ θαλερὸν κατὰ δάκρυ χέοντα,
" Νύμφης ἐν μεγάροισι Καλυψοῦς, ἥ μιν ἀνάγκῃ
" Ἴσχει· ὁ δ' οὐ δύναται ἣν πατρίδα γαῖαν ἱκέσθαι·
" Οὐ γὰρ οἱ πάρα νῆες ἐπήρετμοι, οὐ ἑταῖροι,
" Οἵ κέν μιν πέμπειεν ἐπ' εὐρέα νῶτα θαλάσσης.
" Σοὶ δ' οὐ θέσφατόν ἐστι, διοτρεφὲς ὦ Μενέλαε,
" Ἄργι' ἐν ἱπποβότῳ θανέειν καὶ πότμον ὀπάσσαι·
" Ἀλλά σ' ἐς Ἠλύσιον πεδίον καὶ πείρατα γαίης
" Ἀθάνατοι πέμψουσιν, (ὅθι ξανθὸς Ῥαδάμανθυς,
" Τῇ περ ῥηϊδίη βιοτὴ πέλει ἀνθρώποισιν·
" Οὐ νιφετὸς, οὔτ' ἄρ χειμὼν πολὺς, οὔτε ποτ' ὄμβρος,
" Ἀλλ' αἰεὶ Ζεφύροιο λιγυπνείοντας ἀήτας
" Ὠκεανὸς ἀνίησιν, ἀναψύχειν ἀνθρώπους·)
" Οὕνεκ' ἔχεις Ἑλένην, καί σφιν γαμβρὸς Διός ἐσσι.
" Ὣς εἰπὼν, ὑπὸ κῦμα βάλ' ἐς βυσσόεν ἰών.

558 ΙΣ. Κατίχω, κωλύω.
559 ΕΠ. Ἐπίκωποι.
560 ΠΕΜ. Διακριζειν.
561 ΘΕΣ. Τὸ οὐκ θεῖον πεφημισμένον, ἀμαρτόν.
563 ΗΛ. Τὸ τῶν ἡρώων εὐδαίτημα, κεκλημένον ὑπὸ Ἡλυσίων καὶ Ἐλυσθηρῶν, ὑποϊσάτω γλυκείην· ἢ παρὰ τὸ ἅλυτα ἐν αὐτῷ μένειν τὰ σώματα· ὁ δὲ τόπος, ἐν ταῖς κεκλημέναις μακάρων νήσοις.
565 ΡΗ. Ἀρετὴ, ἄφθονος. ΒΙ. Ζωὴ, βίος.
566 ΝΙ. Χιών.
567 ΑΙ. Ἡδεῖαν ἔχοντας ποήν.
568 ΑΝ. Ἀναδίδωσιν, ἀνακάμπτει. ΑΝ. Ἀνακτᾶσθαι.
570 ΚΥ. Κυματόμβρον.

" Αὐτὰρ

" Αὐτὰρ ἐγὼν ἐπὶ νῆας ἅμ' ἀνδράσι θέοις ἑπάροισιν
" Ἥια· πολλὰ δέ μοι κραδίη πόρφυρε κιόντι.
" Αὐτὰρ ἐπεί ῥ' ἐπὶ νῆα κατήλυθομεν ἠδὲ θάλασσαν,
" Δόρπον δ' ὁπλισάμεθ', ἐπί τ' ἤλυθεν ἀμβροσίη νύξ,
" Δὴ τότε κοιμήθημεν ἐπὶ ῥηγμῖνι θαλάσσης.
" Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠώς,
" Νῆας μὲν πάμπρωτον ἐρύσαμεν εἰς ἅλα δῖαν,
" Ἐν δ' ἱστοὺς τιθέμεθα καὶ ἱστία νηυσὶν εἴσης·
" Ἐν δὲ καὶ αὐτοὶ βάντες ἐπὶ κληῖσι κάθιζον,
" Ἑξῆς δ' ἑζόμενοι πλιὴν ἅλα τύπτον ἐρετμοῖς.
" Ἂψ δ' εἰς Αἰγύπτοιο, διίπετέος ποταμοῖο,
" Στῆσα νέας, καὶ ἔρεξα τελησάσας ἑκατόμβας.
" Αὐτὰρ ἐπεὶ κατέπαυσα θεῶν χόλον αἰὲν ἐόντων,
" Χεῦ' Ἀγαμέμνονι τύμβον, ἵν' ἄσβεστον κλέος ἔῃ.
" Ταῦτα τελευτήσας νεόμην· ἔδοσαν δέ μοι ὦρον
" Ἀθάνατοι, τοί μ' ὦκα φίλην ἐς πατρίδ' ἔπεμψαν.
" Ἀλλ' ἄγε νῦν ἐπίμεινον ἐνὶ μεγάροισιν ἐμοῖσιν,
" Ὄφρα κεν ἑνδεκάτη τε δυωδεκάτη τε γένηται·
" Καὶ τότε σ' εὖ πέμψω, δώσω δέ τοι ἀγλαὰ δῶρα,
" Τρεῖς ἵππους καὶ δίφρον εὐξέστην· αὐτὰρ ἔπειτα
" Δώσω καλὸν ἄλεισον, ἵνα σπένδηθα θεοῖσιν
" Ἀθανάτοις, ἐμέθεν μεμνημένος ἤματα πάντα.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
" Ἀτρεΐδη, μὴ δή με τόλυν χρόνον ἐνθάδ' ἐρύκε.

572 ΠΟΡ. Διιτρέφεος. ΚΙ. Ἀπόλλ, παρδομένην.
577 ΕΡ. Εἰλκύσαμεν, κατηγάγομεν.
580 ΠΟ. Λάβρην ἀλὸς ἢ τ' ἀφρόν.
584 ΧΕΥ. Ἔχωσα. ΑΣ. Ἀκταπάυσιον.
585 ΤΕ. Τελειώσας, πληρώσας. ΝΕ. Ἐπορούσαμεν.
594 ΕΡ. Κατίσχω.

" Καὶ

" Καὶ γάρ κ' ἐὶς ἑωυτὸν ἐγὼ τοῖά σοί γ' ἀνεχοίμην
" Ἤμυος, ὐδὲ κέ μ' οἶκα ἔλοι πόθος, ὐδὲ τοκήων·
" (Αἰνῶς γὸ μύθοισιν ἔπεσί τε σοῖσιν ἀκόων
" Τέρπομαι·) ἀλλ' ἤδη μοι ἀνιάζουσιν ἑταῖροι
" Ἐν Πύλῳ ἠγαθέῃ· σὺ δέ με χρόνον ἐνθάδ' ἐρύκεις.
" Δῶρον δ', ὅ, τί κέ μοι δοίης, κειμήλιον ἔσω·
" Ἵππους δ' εἰς Ἰθάκην σὸκ ἄξομαι, ἀλλά σοι αὐτῷ
" Ἐνθάδε λείψω ἄγαλμα· σὺ γὸ πεδίοιο ἀνάσσεις
" Εὐρέος, ᾧ ἔνι μὲν λωτὸς τολὺς, ἐν δὴ κύπειρον,
" Πυροί τε, ζειαί τε, ἰὸ' εὐρυφυὲς κρῖ λόγκόν.
" Ἐν δ' Ἰθάκῃ ὄτ' ἀρ ἀρόμοι εὐρέες, ὅτε τι λειμών·
" Αἰγίβοτος, ᾗ μᾶλλον ἐπήρατος ἱππόβοτος.
" Οὐ γάρ τις νήσων ἱππήλατος, ὐδ' εὐλείμων,
" Αἵ θ' ἁλὶ κεκλίαται· Ἰθάκη δέ τε κἠπέρι πασέων.
Ὣς φάτο· μείδησεν δὲ βοὴν ἀγαθὸς Μενέλαος,
Χειρί τέ μιν κατέρεξεν, ἔπος τ' ἔφαΤ', ἔκ τ' ὀνόμαζεν·
" Αἵματος ἐὶς ἀγαθοῖο, φίλον τέκος, οἷ' ἀγορεύεις.
" Τοιγὰρ ἐγώ τοι ταῦτα μεταιξήσω· δύναμαι γάρ.
" Δώρων δ', ὅσσ' ἐν ἐμῷ οἴκῳ κειμήλια κεῖται,
" Δώσω, ὃ κάλλιστον καὶ τιμηέστατόν ἐστιν.

595 ΑΝ. Ὑποφείρομαι, τείνομαι.
596 ΗΜ. Ἀπρακτος καθιζόμενος.
598 ΑΝ. Λυπῶνται, ἀνιῶνται.
599 ΕΡ. Κατίσχεις.
602 ΛΕΙ. Καταλείψω, ἐάσω.
603 ΛΩ. Εἰδὸς ποίας, καὶ θέσφατον. ΚΥ. Εἰδὸς ποίας, τὸ κύπειρον.
604 ΖΕΙ. Ὀλύρας. ΕΥ. Τὸ ἐπὶ πλάτος καὶ ἐπιπολὺ φυόμενον. ΚΡΙ. Κριθή.
606 ΑΙ. Τραχεῖα, ὡὸς βίστι καὶ νομίζω αἰγῶν ἐπιτηδεία. ΚΑΙ. Ἀπὸ ἄλλης ἀρχῆς τοῦτο· ἐν ᾗ, καί τοι αἰγίβοτος ὅσα, τὸ ἱππόβοτον ἐμοὶ μᾶλλον ἐπήρατος· ἐπήρατος ᾗ. ἡ ἐπιθυμητός.
607 ΙΠ. Εἰς ἕλεσιν ἵππων ἐπιτηδεία. ΕΥ. Καλὴς λειμῶνας ἔχουσα.
608 ΚΕΚ. Περιέχουσ' ᾗ τῇ θαλάσσῃ. ΠΕ. Ὑπὲρ πάσας.
611 ΑΙ. Γίνης. ΟΙΑ. Ὀπτία.
612 ΜΕ. Μεγαλαλῶ, μεγαλαίνω.

" Δώσω

" Δώσω τοι κρητῆρα τετυγμένον· ἀργύρεος δὲ
" Ἔστιν ἄπας, χρυσῷ δ' ἐπὶ χείλεα κεκράανται·
" Ἔργον δ' Ἡφαίστοιο· πόρεν δέ ἑ Φαίδιμος ἥρως
" Σιδονίων βασιλεὺς, ὅθ' ἑὸς δόμος ἀμφεκάλυψε
" Κεῖσέ με νοσήσαντα· τεῖν δ' ἐθέλω τόδ' ὀπάσαι.
Ὡς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον·
Δαιτυμόνες δ' ἐς δῶμα θείου βασιλῆος
Οἱ δ' ἦγον μὲν μῆλα, φέρον δ' εὐήνορα οἶνον·
Σῖτον δὲ σφ' ἄλοχοι καλλικρήδεμνοι ἔνεικαν.
Ὡς οἱ μὲν πρὶ δεῖπνον ἐνὶ μεγάροισι πένοντο.
Μνηστῆρες δ' ἄρα σφιν Ὀδυσσῆος μεγάροιο
Δίσκοισιν τέρποντο καὶ αἰγανέῃσιν ἱέντες,
Ἐν τυκτῷ δαπέδῳ, ὅθι περ πάρος ὕβριν ἔχεσκον.
Ἀντίνοος δὲ καθῆστο καὶ Εὐρύμαχος θεοειδὴς,
Ἀρχοὶ μνηστήρων, ἀρετῇ δ' ἔσαν ἔξοχ' ἄριστοι·
Τοῖς δ' ἰὼς Φρονίοιο Νοήμονος ἐγγύθεν ἐλθὼν,
Ἀντίνοον μύθοισιν ἀνειρόμενος προσέειπεν·
" Ἀντίνοε, ἦ ῥά τι ἴδμεν ἐνὶ φρεσὶν, ἠὲ καὶ οὐκί,
" Ὁππότε Τηλέμαχος νεῖτ' ἐκ Πύλου ἠμαθόεντος;
" Νῆά μοι οἴχετ' ἄγων· ἐμὲ δὲ χρεὼ γίνεται αὐτῆς,
" Ἠλιδ' ἐς εὐρύχορον διαβήμεναι, ἔνθα μοι ἵπποι

616 ΚΕ. Τετελείωνται, πεπλήρωνται.
617 ΦΑΙ. Ὀνομαι κύριον.
618 Ε. Ὁ ἴδιος. ΑΜ. Περιεκάλυψεν· ἀντὶ τοῦ ὑπεδέξατο.
619 ΤΕ. Σοί. ΟΠ. Παρακεῖν.
621 ΔΑΙ. Οἱ ἱσπάτορες.
622 ΕΥ. Τὸν ἀνδρείαν παρίχουσι ἐν καιρῷ ποινήρωσιν.
623 ΚΑΛ. Καλὰ προσοίσουσι ἐπὶ τῇ κεφαλῇ ἔχοντα.
627 ΤΥ. Κατασκασμένην καὶ λελειωμένην ἰδάφει.
633 ΟΠ. Ποτέ. ΝΕΙ. Ἐπαινέσῃ, ἐλεύσεται, πορεύσεται.
635 ΔΙ. Διελθεῖν, διαπλεῦσαι.

" Δώδεκα

" Δώδεκα Θήλειαι, ὑπὸ δ' ἡμίονοι παλαιεργοὶ
" Ἀδμῆτες· τῇ κέν τιν' ἐλαυνόμενος δαμασαίμην.
Ὣς ἔφαθ'· οἱ δ' ἀνὰ θυμὸν ἐθάμβεον· ἀ γὰ ἔφαντο
Ἐς Πύλον οἰχεσθαι Νηλήϊον, ἀλλά πᾳ αὐτῇ
Ἀγρῶν, ἢ μήλοισι παρέμμεναι, ἠὲ συβώτῃ.
Τὸν δ' αὖτ' Ἀντίνοος προσέφη Εὐπείθεος υἱός·
" Νημερτές μοι ἔνισπε, πάτ' ὤχετο, ⸗ τίνες αὐτῷ
" Κῆροι ἕπονθ' Ἰθάκης ἐξαίρετοι, ἢ ἑοὶ αὐτῷ
" Θῆτές τε δμῶές τε; δύναιτό γε κἠ τὸ τελέσσαι;
" Καί μοι τῷδ' ἀγόρευσον ἐτήτυμον, ὄφρ' εὖ εἰδῶ,
" Ἦ σε βίῃ ἀέκοντος ἀπηύρατο νῆα μέλαιναν,
" Ἠὲ ἑκὼν οἱ δῶκας, ἐπεὶ φρεσὶ πᾶσι μύθῳ;
Τὸν δ' αὖ Φρονίοιο Νοήμων ἀντίον ηὔδα·
" Αὐτὸς ἑκὼν οἱ δῶκα· τί κεν ῥέξειε κἠ ἄλλος,
" Ὅππότ' ἀνὴρ τοιοῦτος, ἔχων μελεδήματα θυμῷ,
" Αἰτίζῃ; χαλεπόν κεν ἀνήναδς δόσιν εἴη.
" Κῆροι δ', οἳ κατὰ δῆμον ἀρίστευσι μεθ' ἡμέας,
" Οἵ οἱ ἕποντ'· ἐν δ' ἀρχὸν ἐγὼ βαίνοντ' ἐνόησα,
" Μέντορα, ἢ θεὸν, τῷ δ' αὐτῷ πάντα ἐΐκτην.
" Ἀλλὰ τὸ θαυμάζω· ἰδὸν ἐνθάδε Μέντορα δῖον
" Ἀθίζον ὑπ' ἠοῖον· τότε δ' ἔμβη νηὶ Πύλονδε.

636 ΤΑ. Ὑπερθυμικοί.
637 ΑΔ. Ἀδάμαστοι.
638 ΕΘ. Ἐξεπλήσσοντο.
644 ΘΗ. Οἱ ἐπὶ μισθῷ δουλεύοντες.
ΔΜΩ. Οἱ δοῦλοι, παρὰ τὸ δεδμῆσθαι. εἶσι ὑποτετάχθαι.
647 ΠΡΟ. Ἐκολάκευσεν, ἐξελιπάρησεν, ἐφιλοφρονήσατο.
649 ΤΙ. Τί ἂν πράξειε καὶ ἄλλος, αἰτηθεὶς τοιαῦτα; πάντως σωϊδώκειν.
650 ΜΕ. Μεριμνᾶς, παρὰ τὸ μέλη ἔδειν, ὁ ἐστιν ἐσθίειν.
651 ΑΙ. Αἰτῇ, παρακαλῇ. ΑΝ. Ἀρνήσασθαι. ΔΟ. Δωρεάν.
652 ΚΟΥ. Ἀνδρες αὐτῷ συμπλέοντες λογάδες Ἰθακήσιοι, οἳ μετ' ὑμᾶς κρατοῦσιν.
653 ΒΑΙ. Εἰσόπιν.
656 ΗΟΙ. Ὑπὸ τὴν ἕω, ὀρθρινόν. ΕΜ. Εἰσῆλθεν.

Ὣς ἄρα φωνήσας ἀπέβη πρὸς δώματα πατρός.
Τοῖσιν δ' ἀμφοτέροισιν ἀγάασατο θυμὸς ἀγήνωρ.
Μνηστῆρες δ' ἄμυδις κάθισαν, καὶ παῦσαν ἀέλθων.
Τοῖσιν δ' Ἀντίνοος μετέφη Εὐπείθεος υἱός,
Ἀχνύμενος· μένεος δὲ μέγα φρένες ἀμφιμέλαιναι
Πίμπλαντ', ὄσσε δέ οἱ πυρὶ λαμπετόωντι ἐίκτην·
"Ὦ πόπποι, ἦ μέγα ἔργον ὑπερφιάλως ἐτελέσθη,
"Τηλεμάχῳ ὁδὸς ἥδε· φάμεν δέ οἱ ἀ τελέεσθαι.
"Ἐκ τόσσων δ' ἀέκητι νέος πάις οἴχεται αὐτως
"Νῆα ἐρυσσάμενος, κρίνας τ' ἀνὰ δῆμον ἀρίστους.
"Ἀρξῇ καὶ πρότερόν κακὸν ἔμμεναι· ἀλλά οἱ αὐτῷ
"Ζεὺς ὀλέσειε βίλν, πρὶν ἡμῖν πῆμα φυτεῦσαι.
"Ἀλλ' ἄγε μοι δότε νῆα θοὴν καὶ εἴκοσ' ἑταίρους,
"Ὄφρα μιν αὐτὸν ἰόντα λοχήσομαι, ἠδὲ φυλάξω,
"Ἐν πορθμῷ Ἰθάκης τε Σάμοιό τε παιπαλόεσσης·
"Ὡς ἂν ὀπισμυγερῶς ναυτίλλεται εἵνεκα πατρός.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἐπήνεον, ἠδ' ἐκέλευον.
Αὐτίκ' ἔπειτ' ἀναστάντες ἔβαν δόμον εἰς Ὀδυσῆος.
Οὐδ' ἄρα Πηνελόπεια πολὺν χρόνον ἦεν ἄπυστος
Μύθων, οὓς μνηστῆρες ἐνὶ φρεσὶ βυσσοδόμευον.
Κῆρυξ γάρ οἱ ἔειπε Μέδων, ὃς ἐπεύθετο βουλάς,
Αὐλῆς ἐκτὸς ἐών· οἱ δ' ἔνδοθι μῆτιν ὕφαινον.

658 ΑΓ. Ἐθαύμασεν, ἐξεπλάγη.
666 ΕΡ. Ἑλκύσας, καθέλκυσον. ΚΡΙ. Τὰς κρείττονας ἐκλεξάμενος.
667 ΑΡ. Οἷον ἐθηκάσω ἡμᾶς· οἱ γὰρ ἔνομα, ἀπὸ εὐθείας τὴν ἀρξις· ἵν' ᾖ, ἀπὸ ταύτης τῆς ἀρχῆς χεῖρον ἡμᾶς ἐργάσηται.
670 ΛΟ. Ἐνεδρεύσω. ΦΥ. Τηρήσω.
671 ΠΟΡ. Τῷ μὲν περαίᾳ τῆς νήσου τόπῳ. πορθμὸς γὰρ λέγεται ἡ πρὸς θάλασσα. ΠΑΙ. Τραχείας.
672 ΕΠ. Ἐπὶ κακῷ τῷ ἑαυτῶν, ἐπὶ πόνῳ. ΝΑΥ. Πλεῖ.
675 ΑΠ. Ἀνήχθη, ἀνήχθησθε.
676 ΒΥΣ. Κατὰ βάθος τῆς θαλάσσης ἐκκλεύσῃ.
678 ΥΦ. Καπνοκινάζον.

Βῆ δ' ἴμεν ἀγγελέων Διὰ δώματα Πηνελοπείης·
Τὴν δὲ καὶ ὧδε βάντα προσηύδα Πηνελόπεια·
" Κῆρυξ, τίπτε δέ σε προέηκαν μνηστῆρες ἀγαυοί;
" Ἦ εἰπέμεναι δμωῇσιν Ὀδυσσῆος θείοιο
" Ἔργων παύσασθαι, σφίσι δ' αὐτοῖς δαῖτα πένεσθαι;
" Μὴ μνηστεύσαντες, μηδ' ἄλλοθ' ὁμιλήσαντες,
" Ἴσταθ' ὑμεῖς τύμπατα νῦν ἐνθάδε δειπνήσειαν,
" Οἱ θαμὰ ἀγειρόμενοι, βίοτον κατακείρετε πολλὸν,
" Κτῆσιν Τηλεμάχοιο δαίφρονος· ἠδέ τι πατρῶν
" Ὑμετέρων τὸ πρόσθεν ἀκούετε, παῖδες ἐόντες,
" Οἷος Ὀδυσσεὺς ἔσκε μεθ' ὑμετέροισι τοκεῦσιν,
" Οὔτε τινὰ ῥέξας ἐξαίσιον, οὔτε τι εἰπὼν
" Ἐν δήμῳ· (ἦτ' ἐστὶ δίκη θείων βασιλήων·)
" Ἄλλον μὲν ἐχθαίρῃσι βροτῶν, ἄλλον κε φιλοίη.
" Κεῖνος δ' οὔποτε πάμπαν ἀπάσθαλον ἄνδρα ἐώργει·
" Ἀλλ' ὁ μὲν ὑμέτερος θυμὸς καὶ ἀεικέα ἔργα
" Φαίνει), ἠδέ τις ἐστὶ χάρις μετόπισθ' εὐεργέων.
Τὴν δ' αὖτε προσέειπε Μέδων, πεπνυμένα εἰδώς·
" Αἶ γὰρ δὴ, βασίλεια, τόδε πλεῖον κακὸν ἔστω·
" Ἀλλὰ πολὺ μεῖζόν τε καὶ ἀργαλεώτερον ἄλλο
" Μνηστῆρες φράζονται), ὃ μὴ τελέσειε Κρονίων·
" Τηλέμαχον μεμάασι κατακτάμεν ὀξέϊ χαλκῷ,

681 ΠΡΟ. Προέπεμψαν.
684 ΑΛ. Μηδὲ ἄλλοθί πω συγχρώμενοι.
685 ΠΥ. Ἔχαζε, πλούτιε.
686 ΑΓ. Σωφρονιζόμενοι. ΚΑ. Καθικλίσκετε, καταδαπανᾶτε.
687 ΠΑ. Πικτίσαν, συχνῶν.
690 ΕΞ. Ἔξω τῆς καθήκοντος, ἄδικον.
691 ΔΙ. Νόμος, ἢ τρόπος.
692 ΕΧ. Μισοίη.
693 ΑΤ. Ἀμαρτωλὸν, ἄδικον. ΕΩΡ. Εἰργάσατο.
694 ΑΕΙ. Ἀπειπᾶν, χαλεπόν.
695 ΕΥ. Εὐεργεσιῶν.
698 ΑΡ. Δεινότερον, χαλεπώτερον.
699 ΤΕ. Εἰς τέλος ἄξειν.

" Οἴκαδε νεισομένου· ὁ δ' ἔβη μετὰ πατρὸς ἀκοὴν
" Ἐς Πύλον ἠγαθέην, ἠδ' ἐς Λακεδαίμονα δῖαν.
Ὣς φάτο· τῷ δ' αὐτῷ λύτο γούνατα καὶ φίλον ἦτορ·
Δὴν δέ μιν ἀμφασίη ἐπέων λάβε· τὼ δέ οἱ ὄστε
Δακρυόφιν πλῆσθεν, θαλερὴ δέ οἱ ἔσχετο φωνή.
Ὀψὲ δὲ δή μιν ἔπεσσιν ἀμειβομένη προσέειπε·
" Κῆρυξ, τίπτε δέ μοι πατὶς οἴχεται; ἠδέ τί μιν χρεὼ
" Νηῶν ὠκυπόρων ἐπιβαινέμεν, αἴθ' ἁλὸς ἵππους
" Ἀνδράσι γίγνονται, περόωσι δὲ πλὸν ἐφ' ὑγρήν·
" Ἦ ἵνα μηδ' ὄνομ' αὐτὸ ἐν ἀνθρώποισι λίπῃ;
Τὸν δ' ἠμείβετ' ἔπειτα Μέδων, πεπυμένα εἰδώς·
" Οὐκ οἶδ', εἴτις μιν θεὸς ὤρορεν, ἦε καὶ αὐτὸ
" Θυμὸς ἐφορμήθη ἴμεν ἐς Πύλον, ὄφρα πύθῃ
" Πατρὸς ἑοῦ, ἢ νόσον, ἢ ὁντινα πότμον ἐπέσπεν.
Ὣς ἄρα φωνήσας ἀπέβη κατὰ δῶμ' Ὀδυσῆος.
Τὴν δ' ἄχος ἀμφεχύθη θυμοφθόρον, οὐδ' ἄρ' ἔτ' ἔτλη
Δίφρῳ ἐφέζεσθαι, πολλῶν κατὰ οἶκον ἐόντων·
Ἀλλ' ἄρ' ἐπ' οὐδὸν ἶζε πολυκμήτου θαλάμοιο,
Οἴκτρ' ὀλοφυρομένη· περὶ δὲ δμωαὶ μινύριζον
Πᾶσαι, ὅσαι κατὰ δῶματ' ἔσαν νέαι ἠδὲ παλαιαί·
Τῇς ἀδινὸν γόωσι μετηύδα Πηνελόπεια·
" Κλῦτε, φίλαι, πέρι γάρ μοι Ὀλύμπιοι ἄλγε' ἔδωκαν

701 ΝΕΙ. Ἐπανιεχόμενον, ὑποστρέφοντα.
704 ΑΜ. Ἀφασία, ἀφωνία· κεῖται τὸ μ ἐφελκυστόν.
710 ΑΙ. Καταλειφθείη.
712 ΩΡ. Παρώρμησεν.
713 ΠΥ. Ἀκούσῃ, μάθῃ.
714 ΕΠ. Ἐπλήρωσεν.
716 ΘΥ. Βλαπλικὴν λογισμόν.
717 ΕΦ. Ἐπικαθίζεσθαι.
718 ΠΟ. Μετὰ πολλὰ καμάτου κατασκαθέντα.
719 ΟΙΚ. Ἐλεεινά. ΜΙ. Ἡσύχως ἴκλαιον, ἐθρώουν.
721 ΑΔ. Ἀθρόως, ἀδινῶς.

" Ἐκ

" Ἐκ πασέων, ὅσσαι μοι ὁμῇ τράφεν ἠδ' ἐγένοντο·
" Ἦ πρὶν μὲν πόσιν ἐσθλὸν ἀπώλεσα θυμολέοντα,
" Παντοίῃς ἀρετῇσι κεκασμένον ἐν Δαναοῖσιν,
" Ἐσθλὸν, ὃ κλέος εὐρὺ κατ' Ἑλλάδα καὶ μέσον Ἄργος.
" Νῦν δ' αὖ παῖδ' ἀγαπητὸν ἀνηρέψαντο θύελλαι
" Ἀκλέα ἐκ μεγάρων· ὀδ' ὁρμηθέντες ἄκουσα.
" Σχέτλιαι, ὀδ' ὑμεῖς περ ἐνὶ φρεσὶ θέσθε ἑκάστη
" Ἐκ λεχέων μ' ἀνεγεῖραι, ἐπιστάμεναι σάφα θυμῷ,
" Ὁππότ' ἐκεῖνος ἔβη κοίλῃσι σὺν νηυσὶ μέλαιναν.
" Εἰ γὰρ ἐγὼ πυθόμην ταύτην ὁδὸν ὁρμαίνουσαν,
" Τῷ κε μάλ' οὐκ ἔμεινε, καὶ ἐστύμενός περ ὀδοῖο,
" Ἢ κέ με τεθνηκυῖαν ἐνὶ μεγάροισιν ἔλειπεν.
" Ἀλλά τις ὀτρηρὸς Δολίον καλέσειε γέροντα,
" Δμῶ' ἐμὸν, (ὃν μοι ἔδωκε πατὴρ ἔτι δεῦρο κιόντι,
" Καί μοι κῆπον ἔχει πολυδένδρεον·) ὄφρα τάχιστα
" Λαέρτῃ τάδε πάντα παρεζόμενος καταλέξῃ,
" Εἰ δή πῃ τινα κεῖνος ἐνὶ φρεσὶ μῆτιν ὑφήνας,
" Ἐξελθὼν λαοῖσιν ὀδύρεται, οἳ μεμάασιν
" Ὃν καὶ Ὀδυσσῆος φθῖσαι γόνον ἀντιθέοιο.
Τὴν δ' αὖτε προσέειπε φίλη τροφὸς Εὐρύκλεια·

724 ΘΥ. Ἀνδρεῖον, λεοντόθυμον.
725 ΚΕ. Κεκοσμημένον.
728 ΑΚ. Ἄδοξον. ΟΡ. Ἐξελθόντ'.
729 ΣΧΕ. Ἀγνώμονες, χαλεπαί. ΘΕΣ. Ἀπειθέσι, ἠσωρίζοντες.
732 ΠΥ. Ἤκουσα, ἔμφρων. ΟΡ. Προσημάμβων.
734 ΕΛ. Ἀφῆκέ με.
735 Ο. Ἔνεισι, Ὀλιγῶς. Δραστικῶς, ἀπειλαίως. ΔΟ. Ὄνομα κύριον.
736 ΚΙ. Περιεσομένην.
737 ΚΗ. Νῦν αὐτὴ τοῦ, ἐπιμελεῖται.
738 ΚΑ. Εἴποι ἴκηται.
739 ΜΗ. Σύνισιν, βυλὴν, γνώμην, τέχνην, δόλον, ἀπάτην, ἦθος. ΥΦ. Κατασκευάσας.
740 ΟΔ. Ἀποκλαύσεται.
741 ΦΘΙ. Διαφθεῖραι.

" Νύμφα

" Νύμφα Φίλη, σὺ μὲν ἄρ με κατέκτανε νηλέϊ χαλκῷ,
" Ἦ ἔα ἐν μεγάρῳ· μῦθον δέ τι σὸκ ἀπικύσω·
" Ἦ δὲ ἐγὼ τάδε πάντα· τῶρον δέ οἱ, ὅσσ' ἐκέλευσε,
" Σῖτον ⟨ μέθυ ἡδύ· ἐμεῦ δ' ἔλετο μέγαν ὅρκον,
" Μὴ πρίν σοι ἐρέειν, πρὶν δωδεκάτῳ τε γενέσθ,
" Ἢ σ' αὐτὴν πορθέσαι, ἢ ἀφορμηθέντες ἀκέσαι·
" Ὡς ἂν μὴ κλαίησι κατὰ χρόα καλὸν ἰάπτης.
" Ἀλλ' ὑδρηναμένη, καθαρὰ χροῒ εἵματ' ἐλέσθαι,
" Εἰς ὑπερῷ' ἀναβᾶσα, σὺν ἀμφιπόλοισι γυναιξὶν,
" Εὔχετ' Ἀθηναίῃ, κούρῃ Διὸς Αἰγιόχοιο·
" Ἡ γάρ κέν μιν ἔπειτα ⟨ σὺκ θανάτοιο σαώσῃ.
" Μηδὲ γέροντα κάκα κεκακωμένον· ἀ γὰ οἶδα
" Πάγχυ θεοῖς μακάρεσσι γονὴν Ἀρκεισιάδαο
" Ἔχθεθ'· ἀλλ' ἔτι πᾶς τις ἐπέσσεται, ὅς κεν ἔχῃσι
" Δώματά θ' ὑψερεφέα ⟨ ἀπόπροθι πίονας ἀγρούς.
Ὡς φάτο· τ᾽ δ' εὖνησε γόον, ⟨ἑέθε δ' ὅστε χόοιο.
Ἡ δ' ὑδρηναμένη, καθαρὰ χροῒ εἵματ' ἐλέσθαι,
Εἰς ὑπερῷ' ἀνέβαινε σὺν ἀμφιπόλοισι γυναιξίν·
Ἐν δ' ἔθετ' ἀλοχύτας κανέῳ, ἠρᾶτο δ' Ἀθήνην·
" Κλῦθί μοι, αἰγιόχοιο Διὸς τέκος, ἀτρυτώνη,
" Εἴποτέ τοι πολύμητις ἐνὶ μεγάροισιν Ὀδυσεὺς
" Ἢ βοὸς, ἢ οἰὸς κατὰ πίονα μηρί' ἔκηε,
" Τῶν νῦν μοι μνῆσαι, καὶ μοι φίλον ἦμαρ σάωσον·

743 ΚΑ. Ἄνελε, φόνευσον.
746 ΕΛ. Ἐλάσσει.
749 ΙΑ. Διαφθείρῃς.
750 ΥΔ. Λουσαμένη, ὕδατι ⟨ ἐπιχεομένη. ΕΛ. Λαβοῦσα, ἀντὶ ⟨ ἐνδυσαμένη.
754 ΚΑ. Λύπῃ.
755 ΓΟ. Γένος. ΑΡ. Πατρωνυμικῶς, ⟨ Λαέρτου.
756 ΕΧ. Μισῆσθαι. ΕΠ. Καὶ ἐς τὸ μεταταῦτα ἔσαι.
757 ΥΨ. Ὑψηλόσεσα. ΠΙ. Τὰς πιαίνοντας, τυτθὶ λιπαρὰς, πλησίον πιοῦσας τὰς ἀνθρώπους.
758 ΕΥ. Ἔπουσιν, σκοίμισιν.

" Μνησῆρας

" Μνηστῆρας δ' ἀπάλαλκε κακῶς ὑπερμενορέοντας.
Ὣς εἰπὼν ὀλόλυξε· θεὰ δέ οἱ ἔκλυεν ἀρῆς·
Μνηστῆρες δ' ὁμάδησαν ἀνὰ μέγαρα σκιόεντα·
Ὧδέ δέ τις εἴπεσκε νέων ὑπερμενορεόντων·
" Ἦ μάλα δὴ γάμον ἄμμι πολυμνήστη βασίλεια
" Ἀρτύνῃ· ἀδέ τι οἶδεν, ὅ οἱ φόνος ἔμμι τέτυκται.
Ὣς ἄρα τις εἴπεσκε· τὰ δ' οὐκ ἴσαν, ὡς ἐτέτυκτο.
Τοῖσιν δ' Ἀντίνοος ἀγορήσατο μετέειπε·
" Δαιμόνιοι, μύθῳ μὲν ὑπερφιάλῳ ἀλέασθε
" Πάντας ὁμῶς, μήπως τις ἐπαγγείλῃσι καὶ ἔσω.
" Ἀλλ' ἄγε σιγῇ τοῖον ἀνάστάντες τελέωμεν
" Μῦθον, ὃ δὴ καὶ πᾶσιν ἐνὶ φρεσὶν ἤραρεν ἡμῖν.
Ὣς εἰπὼν, ἐκρίνατ' ἐείκοσι φῶτας ἀρίστους·
Βὰν δ' ἰέναι ἐπὶ νῆα θοὴν καὶ ἐπὶ θῖνα θαλάσσης.
Νῆα μὲν ἀρ πέμπρωτον ἁλὸς βένθοσδε ἔρυσαν·
Ἐν δ' ἱστόν τ' ἐτίθεντο καὶ ἱστία νηὶ μελαίνῃ·
Ἠρτύναντο δ' ἐρετμὰ τροποῖς ἐν δερματίνοισι,
Πάντα κατὰ μοῖραν· ἀνὰ θ' ἱστία λεύκ' ἐπέτασαν.
Τεύχεα δέ σφιν ἔνεικαν ὑπέρθυμοι θεράποντες·

766 ΑΠ. Ἀποκώλυε. ΥΠ. Ὑπερέχοντας τῇ δυνάμει· σημαίνει δὲ καὶ ὑπερηφανεύεσθαι.
767 ΟΛ. Ὀλοφυρτικὸν ἐφθέγξατο. ΑΡ. Εὐχῆς.
768 ΟΜ. Ἐθορύβησαν. ΜΕ. Κατὰ τὰς οἰκίας.
770 ΠΟ. Ὑπὸ πολλῶν μεμνηστευμένη.
771 ΑΡ. Παρασκευάζει.
772 ΙΣ. Οὐκ ἐγίνωσκον.
774 ΔΑ. Μακάριοι, θαύμασιοι. ΑΛ. Ἐκκλίνατε, φυλάξατε.
776 ΣΙ. Μετὰ σιγῆς ἅπαν. ΤΕ. Τελειώσωμεν, πληρώσωμεν.
777 ΗΡ. Ἥμισυ.
778 ΕΚ. Ἐπιλέξατο.
781 ΙΣΤ. Πῶς, τῇ ἀρισίᾳ χρώμενοι; κόσμια χάριν.
782 ΗΡ. Παρισκευάσαντο. ΕΡ. Κώπας. ΤΡΟ. Πεπλατυσμένους· δηλοῖ γὰρ τὰς τροπωτῆρας, ᾧ ἐς αἱ κῶπαι τρίπτουσι καὶ στρέφονται ἐν ἁλὶ τοῖς ἐξωτερικοῖς τῶν κωπῶν.
784 ΥΠ. Ἀνδρειότατοι.

Ὑψῆ δ' ἐν νοτίῳ πλώ γ' ὥρμισαν· ἐν δ' ἔβαν αὐτοὶ,
Ἔνθα δὲ δόρπον ἕλοντο, μθον δ' ἐπὶ ἔασερον ἐλθεῖν.
Ἡ δ' ὑπερῷ' ἀναβᾶσα πεΐφρων Πηνελόπεια
Κεῖτ' ἄρ' ἄσιτος, ἄπαστος ἐδητύος ἠδὲ ποτῆτος,
Ὀρμαίνεσ', εἴ οἱ θάνατον φύγοι υἱὸς ἀμύμων,
Ἦ ὅγ' ὑπὸ μνηςῆρσιν ὑπερφιάλοισι δαμείη.
Ὅσσα δ' ἐν μερμήριξε λέων ἀνδρῶν ἐν ὁμίλῳ
Δείσας, ὁππότε μιν δόλιον πεὶ κύκλον ἄγωσι·
Τόσσα μιν ὀρμαίνεσαν ἐπέλλαβε νήδυμος ὕπνος·
Εὗδε δ' ἀνακλινθεῖσα· λύθεν δέ οἱ ἅψεα πάντα.
Ἔνθ' αὖτ' ἄλλ' ἐνόησε θεὰ γλαυκῶπις Ἀθήνη·
Εἴδωλον ποίησε, δέμας δ' ἤικτο γυναικὶ
Ἰφθίμῃ, κύρῃ μεγαλήτορος Ἰκαρίοιο·
Τλῳ Εὔμηλος ὄπυιε, Φερῆς ἔνι οἰκία ναίων.
Πέμπε δέ μιν πρὸς δώματ' Ὀδυσῆος θείοιο,
Εἵπως Πηνελόπειαν ὀδυρομθύην γοόωσαν
Παύσειε κλαυθμοῖο, γόοιό τε δακρυόεντος.
Ἐς θάλαμον δ' εἰσῆλθε πρὸ κληῖδος ἰμάντα,
Στῆ δ' ἄρ' ὑπὲρ κεφαλῆς, καί μιν πρὸς μῦθον ἔειπεν·

785 ΥΨ. Ἐν ὑψῇ, ἐν τῷ βαθυτέρῳ τόπῳ. ΝΟ. Τῷ διὰ χερῶ· οἱ ᾖ, σποτίῳ, τῷ πρὸς νότον τόπῳ. ΩΡ. Ἡσύχως ἐστάναγ τλῳ ναῦν ἐποίησαν. Ε. Ἔδησαν, ἐσῆλθον.

786 ΕΛ. Ἕλκυσον. ΕΣ. Τλῳ ἐπτέραν.

788 ΑΠ. Ἄγυιας.

789 ΟΡ. Λογιζομένη.

791 ΟΜ. Πλήθῃ.

792 ΚΥΚ. Τὸ δίκτυον.

794 ΑΨ. Ἄψεα ᾖ, μέλη φησὶν, ἀπὸ τῶ σωμφθέγ.

796 ΕΚ. Φάσμα. ΗΙ. Ὅμοιον ἦν.

797 ΙΦ. Οὕτως ἐκαλεῖτο κυρίως ἡ ἀδελφὴ τῦ Πηνελόπης. Ἄπος δέ φησι, Κεφαλ' τ' Ἰκαρίοιο Μέδη κ᾽ Πηνελόπειαν. Ἀνδρὸν ᾖ Δηϊτύλλου λέγῃ.

798 ΦΕ. Ἐν ταῖς Φεραῖς. Φεραὶ μὲ πόλις τῆς Μεσσηνίας· Φεραὶ δὲ, τῆς Θεσσαλίας, ὡς σύνταγμα. Εὔμηλ᾽ γὰρ Ἀδμήτυ κ᾽ Ἀλκήσδος. Ἄδμητος ᾖ τὸ Φέρητος, ἐξ ὃ τῇ πόλῃ ὄνομα.

801 ΔΑ. Δακρύων ποιητικῶς.

802 ΠΑ. Ἀλιτρόφως περὶ τὴν κλεῖδα, ἣ τις ἰμάντα εἶχε περὶ τὸ κλεῖθρον.

" Εὐθεῖς

" Εὕδεις, Πηνελόπεια, φίλον τεθυμμένη ἦτορ;
" Οὐ μέν σ' ἀδὲ ἐῶσι θεοὶ ῥεῖα ζώοντες
" Κλαίειν, ἀδ' ἀκαχῆσθαι, ἐπεί ῥ' ἔτι νόστιμός ἐστι
" Σὸς πάϊς· ἀ μὲν γάρ τι θεοῖς ἀλιτήμονός ἐστιν.
Τὴν δ' ἠμείβετ' ἔπειτα περίφρων Πηνελόπεια,
Ἠδὺ μάλα νώσασα ἐν ὀνειρέῃσι πύλῃσι·
" Τίπτε, κασιγνήτη, δεῦρ' ἤλυθες; ἔτι πάρος γε
" Πώλεε, ἐπεὶ μάλα πολλὸν ἀπέπροθι δώματα ναίεις·
" Καί με κέλη παύσασθαι ὀιζύος, ἠδ' ὀδυνάων
" Πολλέων, αἳ μ' ἐρέθουσι κατὰ φρένα καὶ κατὰ θυμόν·
" Ἣ πρὶν μὲν πόσιν ἐσθλὸν ἀπώλεσα θυμολέοντα,
" Παντοίης ἀρετῇσι κεκασμένον ἐν Δαναοῖσιν,
" Ἐσθλόν· τοῦ κλέος εὐρὺ κατ' Ἑλλάδα καὶ μέσον Ἄργος.
" Νῦν δ' αὖ παῖς ἀγαπητὸς ἔβη κοίλης ἐπὶ νηὸς
" Νήπιος, ὅτε πόνων εὖ εἰδὼς, ὅτ' ἀγοράων.
" Τὸ δὴ ἐγὼ καὶ μᾶλλον ὀδύρομαι, ἢπερ ἐκείνου·
" Τὸ δ' ἀμφιτρομέω καὶ δείδια, μή τι πάθῃσιν
" Ἢ ὅγε τ' ἐνὶ δήμῳ, ἵν' οἴχεται, ἢ ἐνὶ πόντῳ·
" Δυσμενέες γὰρ πολλοὶ ἐπ' αὐτῷ μηχανόωνται,

804 ΤΕ. Λελυπημένη.
805 ΡΕΙ. Ῥᾳδίως καὶ ἀπόνως ζῶντες.
806 ΝΟΣ. Ἐλπίζων ἀνακομιεῖσθαι καὶ σωθῆναι.
807 ΑΛ. Ἡμαρτηκὼς, ἢ ἡμαρτημένος.
809 ΚΝΩ. Κοιμωμένη. ΠΥ. Ἐν τῷ ἐμοὶ τοῦ ὕπνου· ἐμοὶ γὰρ τότε ἔρχεται ὕπνος.
810 ΤΙΠ. Τί δή; ΚΑ. Ἀδελφή. ΗΛ. Ἦλθες.
811 ΠΩ. Παρακύπτη, ἀναβρίπτη. ΑΠ. Πόρρω. ΝΑΙ. Οἰκεῖς.
812 ΟΙ. Ταλαιπωρίας, κακοπαθείας.
813 ΕΡ. Ἐρεθίζουσι.
814 ΠΟ. Ἄνδρα.
818 ΝΗ. Νῦν ὁ πραγμάτων ἄπειρος, ἢ μικρός. ΕΥ. Ἀκριβῶς ἐπισκόπει.
820 ΤΡΟ. Τρέμω. ΔΕΙ. Φοβοῦμαι, εὐλαβοῦμαι.
821 ΙΝ. Ὅπως.
822 ΜΗ. Ἐπινοῦσι.

" Ἰέμενοι κτεῖναι, πρὶν πατρίδα γαῖαν ἱκέσθαι.
Τὴν δ' ἀπαμειβόμενον προσέφη εἴδωλον ἀμαυρόν·
" Θάρσει, μηδέ τι πάγχυ μετὶ φρεσὶ δείδιθι λίην·
" Τοίη γάρ τοι πομπὸς ἅμ' ἕρχεται, ἣν τε κὴ ἄλλοι
" Ἀνέρες ἠήσαντο παρεστάμμεναι, (δύναται γὰρ,)
" Παλλὰς Ἀθηναίη· σὲ δ' ὀδυρομένην ἐλεαίρει·
" Ἦ νῦν μοι προέηκε, τεὴν πάρα μυθήσασθαι.
Τὴν δ' αὖτε προσέειπε πεφνὼν Πηνελόπεια·
" Εἰ μὲν δὴ θεὸς ἐσσὶ, θεοῖό τε ἔκλυες αὐδῆς,
" Εἶ δ' ἄγε μοι κὴ κεῖνον ὀϊζυρὸν κατάλεξον,
" Εἴπερ ἔτι ζώει, καὶ ὁρᾷ φάος ἠελίοιο,
" Ἦ ἤδη τέθνηκε, καὶ εἰν ἀΐδαο δόμοισι.
Τὴν δ' ἀπαμειβόμενον προσέφη εἴδωλον ἀμαυρόν·
" Οὐ μέν τοι κείνου γε διηνεκέως ἀγορεύσω,
" Ζώει ὅγ', ἢ τέθνηκε· κακὸν δ' ἀνεμώλια βάζειν.
Ὣς εἰπὸν, σταθμοῖο παρὰ κληῖδα λιάσθη
Ἐς πνοιὰς ἀνέμων· ἡ δ' ἐξ ὕπνος ἀνόρσε
Κύρη Ἰκαρίοιο· φίλον δέ οἱ ἦτορ ἰάνθη,
Ὡς οἱ ἐναργὲς ὄνειρον ἐπέσσυτο νυκτὸς ἀμολγῷ.

823 ΙΕ. Προθυμέμφμοι.
824 ΑΜ. Τὸ μὴ βλεπόμενον· οἱ δὲ, τὸ ἄμικτα ταῖς αὔραις φερόμενον, ἀσθενές.
825 ΔΕΙ. Φοβοῦ.
826 ΠΟΜ. Παραπέμπουσα, ὁδηγός.
829 ΤΕ. Σοί.
832 ΕΙΔ. Ἄγε δή.
834 ΤΕΘ. Ἀπίθανον. ΑΙ. Ἐν ᾄδου.
836 ΔΙ. Σαφῶς, ἀκριβῶς, ἕως τέλους, τὰ πάντα.
837 ΑΝ. Μάταια. ΒΑ. Λίγειν.
838 ΣΤΑΘ. Τῆς παραστάδος. ΚΛΗ. Τῷ κλεῖ, τὸ κλεῖθρον. ΑΙ. Ἐλύθη, ἐχωρίσθη.
840 ΙΑΝ. Εὐφράνθη.
841 ΕΝ. Φαεινόν. ΑΜ. Ἐν τῇ μεσονυκτίῳ ὥρᾳ· καὶ ἔστι κατὰ τὸ ἔτυμον, ἤτοι ἀμολγῷ, καθ' ἣν ὥραν συμποσιάζειν μὴ ἀμέλγεσθαι ζῶα· ἢ κατὰ ἀφαίρεσιν τοῦ γ ἀμολγῷ, καθ' ἣν ὥραν ἀδῖνες μαλίσκει, ὅ ἐστι βαδίζει· ἢ κατὰ ἀφαίρεσιν τῆς λ ἀμολγῷ, καθ' ἣν ὥραν ἀδῖνες μαλακαί, ὅπερ ἐστὶ καταπαθεῖ, ἀλλὰ ἀναπαύεται· ταῦτα δὲ πάντα εἰς τὸ τοῦ μεσονυκτίου ὥραν καταφέρει.

Μνηστῆρες

Μνηστῆρες δ' ἀναβάντες ἐπέπλεον ὑγρὰ κέλευθα,
Τηλεμάχῳ φόνον αἰπὺν ἐνὶ φρεσὶν ὁρμαίνοντες.
Ἔστι δέ τις νῆσος μέσῃ ἁλὶ πετρήεσσα,
Μέσσηγὺς Ἰθάκης τε Σάμοιό τε παιπαλόεσσης,
Ἀστερὶς, ἣ μεγάλη· λιμένες δ' ἔνι ναύλοχοι αὐτῇ
Ἀμφίδυμοι· τῇ τόν γε μνώων λοχόωντες Ἀχαιοί.

842 ΥΓ. Τὴν ἁλὰ θαλάσσης ὁδόν.
844 ΜΕΣ. Ἐν μέσῃ τῇ θαλάσσῃ. ΠΕ. Πετρώδης, τραχεῖα.
846 ΑΣΤ. Ὄνομα νήσου κειμένης μέσον Ἰθάκης καὶ Σάμου. ΝΑΥ. Ἐν οἷς αἱ νῆες λοχῶσαι καὶ ἐνεδρεύσαι λαθεῖν δύνανται· ἢ οἱ τὰς ναῦς ὑποδεχόμενοι τόποι.
847 ΑΜ. Ἀμφοτέρωθεν εἰσβύσεις, τουτέστιν ἐξ ἑκατέρου μέρους, ἄπλους καὶ κατωγαίους ἔχοντες· ἢ διπλοῦς. ΤΗ. Ἐχεῖ. ΑΟ. Ἐνεδρεύοντες. ΑΧ. Οἱ μνηστῆρες.

ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΟΔΥΣΣΕΙΑΣ Ε

ΤΟΥ ΟΜΗΡΟΥ

ΡΑΨΩΔΙΑΣ.

Ἐκκλησίαν τῶν θεῶν δευτέραν ποιησάμενος ὁ Ζεὺς, Ἑρμῆν πέμπει ἐπὶ Καλυψὼ, κελεύων ἀποπέμπειν τὸν Ὀδυσσέα· ὁ δὲ τὸ κελευσθὲν ποιεῖ· τῇ δὲ ὀκτωκαιδεκάτῃ ἡμέρᾳ ἰδὼν αὐτὸν ὁ Ποσειδῶν, καὶ χαλεπήνας, λύει τὸν σχεδίαν. Ἐνὼ δὲ αὐτῷ δίδωσι κρήδεμνον, σύνταλαμίνη ἐπιβάντα τῆς γῆς ἀπορίψαι αὐτὸ· καὶ πολλὰ παθόντα, εἰς τὴν τῶν Φαιάκων χώραν ἔρχεται Ἀλκινοθάης.

Ε, πλεῖ ἐπὶ σχεδίης Ὀδυσεὺς πόντῳ κεκαδείσης.

Ἠὼς δ' ἐκ λεχέων παρ' ἀγαυοῦ Τιθωνοῖο
Ὄρνυθ', ἵν' ἀθανάτοισι φόως φέροι ἠδὲ βροτοῖσιν·
Οἱ δὲ θεοὶ θῶκόνδε καθίζανον, ἐν δ' ἄρα τοῖσι
Ζεὺς ὑψιβρεμέτης, ὅς τε κράτος ἐστὶ μέγιστον.
Τοῖσι δ' Ἀθηναίη λέγε κήδεα πολλ' Ὀδυσῆος, 5

1 ΤΙ. Τιθωνὸς, Λαομέδοντος παῖς, Πριάμου ἀδελφὸς, Ἕκτορος ἀνήρ. ὁ Ἐνδυμίων λέγεται σωφρονῆσαι τῇ Σελήνῃ, καὶ ὁ Τιθωνὸς τῇ Ἡμέρᾳ· ἀληθεύεται δ' ἕτερος· ὁ Ἐνδυμίων, εἰς ἄνδρα κωμῳδίτην, καὶ τῇ μὲν νυκτὶ κοιμώμενον, τῇ δὲ ἡμέρᾳ ὀδὲ ποσῶς, ἀλλὰ τὸ ἠχολῆσθαι ὠδὲ τὰ κωμῳδίσια· ὁ δὲ Τιθωνὸς, εἰς ἀστρονόμον, καὶ τῇ μὲ ἡμέρᾳ κοιμώμενον, τῇ δὲ νυκτὶ ἐπαγρυπνῆσαι ἀλλὰ τὸ ἠχολῆσθαι ὠδὲ τὰ ἄστρα.

3 ΘΩ. Εἰς σωϊδελον.

Μνησαμένη

Μνησαμένη· μέλε γάρ οἱ ἐὼν ἐν δώμασι νύμφης.
" Ζεῦ πάτερ, ἠδ' ἄλλοι μάκαρες θεοὶ αἰὲν ἐόντες,
" Μήτις ἔτι τρόφρων, ἀγανὸς καὶ ἤπιος ἔστω
" Σκηπτοῦχος βασιλεύς, μηδὲ φρεσὶν αἴσιμα εἰδώς,
" Ἀλλ' αἰεὶ χαλεπός τ' εἴη, καὶ αἴσυλα ῥέζοι·
" Ὡς ὄφρις μέμνηται Ὀδυσσῆος θείοιο
" Λαῶν, οἷσιν ἄναστε, πατὴρ δ' ὡς ἤπιος ἦεν·
" Ἀλλ' ὁ μὲν ἐν νήσῳ κεῖται κρατερὰ ἄλγεα πάσχων,
" Νύμφης ἐν μεγάροισι Καλυψοῦς, ἣ μιν ἀνάγκῃ
" Ἴσχει· ὁ δ' οὐ δύναται ἣν πατρίδα γαῖαν ἱκέσθαι.
" Οὐ γάρ οἱ πάρα νῆες ἐπήρετμοι, καὶ ἑταῖροι,
" Οἵ κέν μιν πέμπειεν ἐπ' εὐρέα νῶτα θαλάσσης.
" Νῦν αὖ παῖδ' ἀγαπητὸν ὀλέσθαι μεμάασιν,
" Οἴκαδε νεισόμενον· ὁ δ' ἔβη μετὰ πατρὸς ἀκουὴν
" Ἐς Πύλον ἠγαθέην, ἠδ' ἐς Λακεδαίμονα δῖαν.
Τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
" Τέκνον ἐμόν, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων;
" Οὐ γὰρ δὴ τοῦτον μὲν ἐβούλευσας νόον αὐτὴ,
" Ὡς ἦτοι κείνῳς Ὀδυσεὺς ὀπάσσεται ἐλθών;
" Τηλέμαχον δὲ σὺ πέμψον ὀπιζομένως, (δύναται γάρ,)
" Ὡς κε μάλ' ἀσκηθὴς ἣν πατρίδα γαῖαν ἵκηται·
" Μνηστῆρες δ' ἐν νηῒ παλιμπετὲς ὀπονέωνται.

6 ΜΝΗ. Ὑπομνησθεῖσα. ΜΕ. Διὰ ῥεοντίδος ἦν.
8 ΗΠ. Πρᾶος, ἥσυχος.
10 ΑΙ. Πκοάνομαι, καὶ ἀμφεταλά.
15 ΙΣ. Κατέχει, κωλύει.
16 ΠΑ. Πάρεισιν.
19 ΑΚ. Φήμιον.
20 ΔΙ. Μεγάλην.
23 ΟΥ. Οὐ τοῦτο; σὺ ἐρωτᾷς ἀποστικτέον. ΕΒ. Ἐβουλεύσω, ἐσκέψω.
24 ΑΠ. Τιμωρήσῃ.
25 ΕΠ. Ἐπισταμένως.
26 ΑΣ. Ὑγιὴς, ἐξ ἐπιμελείας.
27 ΠΑ. Ἐξ ἀποτροφῆς, ὡς τὸ ὀπίσω.
28 ΗΥ. Ἔλιγμα.

" Ἦ ῥα,

Ἦ ῥα, καὶ Ἑρμείαν, φίλον υἱὸν, ἀντίον ηὔδα·
" Ἑρμεία, (σὺ γὰρ αὖτε τά τ' ἄλλα περ ἄγγελός ἐσσι,)
" Νύμφῃ ἐϋπλοκάμῳ εἰπεῖν νημερτέα βουλὴν,
" Νόστον Ὀδυσσῆος παλαίφρονος, ὥς κε νέηται,
" Οὔτε θεῶν πομπῇ, ὅτε θνητῶν ἀνθρώπων·
" Ἀλλ' ὅγ' ὀπὶ σχεδίης πολυδέσμου πήματα πάσχων
" Ἤματί κ' εἰκοστῷ Σχερίῃ ἐρίβωλον ἵκοιτο,
" Φαιήκων ἐς γαῖαν, οἳ ἀγχίθεοι γεγάασιν·
" Οἵ κέν μιν περὶ κῆρι, θεὸν ὣς, τιμήσουσιν,
" Πέμψουσιν δ' ἐν νηῒ φίλῃ ἐς πατρίδα γαῖαν,
" Χαλκόν τε χρυσόν τε ἅλις, ἐσθῆτά τε δόντες,
" Πολλὰ, ὅσ' ἂν ἀδέπολ' ἐκ Τροίης ἐξήρατ' Ὀδυσσεύς,
" Εἴ περ ἀπήμων ἦλθε, λαχὼν ἀπὸ λῆίδος αἶσαν.
" Ὡς γάρ οἱ μοῖρ' ἐστὶ φίλους τ' ἰδέειν, καὶ ἱκέσθαι
" Οἶκον ἐς ὑψόροφον, καὶ ἣν ἐς πατρίδα γαῖαν.
Ὣς ἔφατ'· οὐδ' ἀπίθησε διάκτορος Ἀργειφόντης·
Αὐτίκ' ἔπειθ' ὑπὸ ποσσὶν ἐδήσατο καλὰ πέδιλα,
Ἀμβρόσια, χρύσεια· τά μιν φέρον ἠμὲν ἐφ' ὑγρὴν,
Ἠδ' ἐπ' ἀπείρονα γαῖαν, ἅμα πνοιῇς ἀνέμοιο.

30 ΕΙ. Ἀντὶ τοῦ ἀπό. ΤΑ. Καρπελικοῦ.

32 ΟΥ. Οὐδενὸς θεῶν παραπέμποντος. ΠΟΜ. Παραπεμπόμενος.

33 ΣΧΕ. Λεπτῆς, νεὼς τῆς αὐτοχειρίας πηχθείσης. ΠΟ. Πολλοῖς ἐμπεπηγμένης δεσμοῖς.

34 Η. Ἡμέρᾳ. ΣΧΕ. Σχερία ἐκαλεῖτο ἡ νῆσος τῶν Φαιάκων· τὸ δὲ μετὰ ταῦτα ἐκλήθη Κερκύρα· τὸ δὲ ἐσχατώτατον ἐκαλεῖτο Δρεπάνη. ΕΡ. Μεγαλόσωλον, εὔγειον.

35 ΑΓ. Ἤτοι καθότι τρίτοι εἰσὶν ἀπὸ Ποσειδῶνος, οἱ βασιλεῖς αὐτῶν· ἢ ὅτι εὐδαίμονές εἰσιν· ἢ καθὰ οἱ θεοὶ συνδιατρίβουσιν αὐτοῖς καὶ εὐοχοῦνται.

36 ΠΕ. Πεισμόνως, καὶ λίαν τῇ ψυχῇ, ἐκθύμως.

38 ΑΛ. Ἱκανῶς, αὐτάρκως.

39 ΤΡΟΙ. Διαιρετέον. τὸ γὰρ ἔξεις, Τροίης ἀπὸ λῆιδος, ἀπὸ τῆς Τρωϊκῆς λείας. ΕΞ. Ἐξαίρετα ἔλκοιν.

40 ΑΛ. Κληρωσάμενος.

41 ΜΟΙ. Εἱμαρμένη.

43 ΔΙ. Ἀγίλεος, σαφὴς, ὁ ἀφαιρῶν τὰς ἀγελείας.

Εἵλετο

Εἵλετο· ἦ ῥάβδον, τῇ τ' ἀνδρῶν ὄμματα θέλγει,
Ὧν ἐθέλει, τοὺς δ' αὖτε καὶ ὑπνώοντας ἐγείρει.
Τὴν μὲν χερσὶν ἔχων πέτετο κρατὺς Ἀργειφόντης·
Πιερίην δ' ἐπιβὰς, ἐξ αἰθέρος ἔμπεσε πόντῳ.
Σκαt' ἔπειθ' ὑπὸ κῦμα, λάρῳ ὄρνιθι ἐοικὼς,
Ὅστε κατὰ δεινὰς κόλπους ἁλὸς ἀτρυγέτοιο
Ἰχθῦς ἀγρώσσων, πυκινὰ πέρᾳ δεύεται ἅλμῃ·
Τῷ ἴκελος πολέεσσιν ὀχήσατο κύμασιν Ἑρμῆς.
Ἀλλ' ὅτε δὴ τὴν νῆσον ἀφίκετο τηλόθ' ἐοῦσαν,
Ἔνθ' ἐκ πόντου βὰς ἰοειδέος, ἤπειρόνδε
Ἤιεν· ὄφρα μέγα σπέος ἵκετο, τῷ ἔνι νύμφη
Ναῖεν ἐϋπλόκαμος· τὴν δ' ἔνδοθι τέτμεν ἐοῦσαν.
Πῦρ μὲν ἐπ' ἐσχαρόφιν μέγα καίετο, τηλόθι δ' ὀδμὴ
Κέδρου τ' εὐκεάτοιο, θύου τ' ἀνὰ νῆσον ὀδώδει,
Δαιομένων· ἡ δ' ἔνδον ἀοιδιάουσ' ὀπὶ καλῇ,
Ἰσὸν ἐποιχομένη, χρυσείῃ κερκίδ' ὕφαινεν.
Ὕλη δὲ σπέος ἀμφιπεφύκει τηλεθόωσα,

47 ΕΙ. Λόγῳ ὀρθότητα νοητέον, τὴν δὲ Ἑρμῆ ῥάβδον· ὥστε ψυχὰς μὲ τετραγμένας παύειν, καὶ λυμένας ἢ διεγείρειν. ΘΕΛ. Ἀμαυρεῖ· νῦν δὲ, κοιμίζει.
48 ΥΠ. Κοιμωμένους, καθεύδοντας.
50 ΠΙ. Πιερίαν, ὄρος Μακεδονίας, ἀφ' ὧν Μοῦσαι. ΕΜ. Ἀθρόως κατῆλθεν.
51 ΛΑ. Τὴν ὁρμὴν, ἢ τὸ σῶμα· λάβε δὲ, ὄρειον θαλάσσιον.
52 ΚΟΛ. Τὰ κυλίσματα τῆς θαλάσσης.
53 ΑΓ. Θηρεύων, ἀγρεύων. ΠΥ. Πυκνῶς, συνεχῶς. ΔΕΥ. Βρίσκεται.
54 ΟΧ. Ἐπιχήσατο, ἐπίδραμεν.
56 ΒΑΣ. Ἐκοῦσαν, ἐξιλεῶν. ΙΟ. Μέλανος. ΗΠ. Εἰς τὴν γῆν.
57 ΤΩ. Ἐν ᾧ.
58 ΝΑΙ. Ὠκεῖ. ΕΥ. Καλῶς πλοκάμους ἔχουσα. ΤΕΤ. Κατέλαβεν.
59 ΕΣ. Ἐπὶ τῇ ἑστίᾳ, ἢ ἐπὶ τῇ ἐχάρᾳ. ΤΗ. Ἄλλοι, τηλόθι. πρόσω.
60 ΚΕ. Εἶδος δένδρου. ΕΥ. Εὐκατασκεύαστον, εὐκλάστον, εὐχίστον. ΘΥ. Εἶδος δένδρου, ἢ φυτόν. ΝΗ. Κατὰ τὴν νῆσον. ΟΔ. Ἔπνεεν, ἀνεδίδοτο, ἄζεν.
61 ΔΑΙ. Καιομένων. ΑΟΙ. Ἀθέσπι.
62 ΕΠ. Ἐπιπερθομένη.
63 ΣΠΕ. Περὶ τὸ σπήλαιον. ΠΕ. Ἐπεφύτευτο, ἦν. ΤΗ. Ἄγαν θάλλουσα.

Κλήθρη

Κλήθρη τ', αἴγειρός τε, καὶ εὐώδης κυπάρισσος.
Ἔνθα δὲ τ' ὄρνιθες πανυσίπτεροι εὐνάζοντο,
Σκωπές τ', ἴρηκές τε, πανύγλωσσοί τε κορῶναι
Εἰνάλιαι, τῇσίν τε θαλάσσια ἔργα μέμηλεν.
Ἡ δ' αὐτῇ τετάνυστο ὑπὲκ πετέος γλαφυροῖο,
Ἡμερὶς ἠὼ ὡσαι, τεθηλυῖ ἠὲ ταφυλῇσι·
Κρήνας δ' ἐξείης τέσσυρες ῥέον ὕδατι λευκῷ,
Πλησίαι ἀλλήλων τετραμμέναι ἄλλυδις ἄλλη·
Ἀμφὶ δὲ λειμῶνες μαλακοὶ ἴα, ἠδὲ σελίνα,
Θήλεον· ἔνθα κ' ἔπειτα καὶ ἀθάνατός περ ἐπελθὼν
Θηήσαιτο ἰδὼν, καὶ τερφθείη φρεσὶν ἧσιν·
Ἔνθα τὰς ἧκτο Διάκτορος Ἀργειφόντης.
Αὐτὰρ ἐπειδὴ πάντα ἐῷ θηήσατο θυμῷ,
Αὐτίκ' ἄρ' εἰς εὐρὺ δόμου ἤλυθεν· ἀδὲ μιν ἄντιον
Ἠγνοίησεν ἰδοῦσα Καλυψὼ, δῖα θεάων·
(Οὐ γάρ τ' ἀγνῶτες θεοὶ ἀλλήλοισι τέλονται
Ἀθανάτοι, οὐδ' εἴτις ἀποπροθι δώματα ναίῃ.)
Οὐδ' ἄρ' Ὀδυσσῆα μεγαλήτορα ἔνδον ἔτλμεν,
Ἀλλ' ὅγ' ἐπ' ἀκτῆς κλαῖε καθήμενος· ἔνθα πάρος περ

64 ΚΛΗ. καὶ ΑΙΓ. Εἰδὴ δένδρων.
65 ΤΑ. Οἱ ἐν τῇ πίσσῃ τένοντες τὰ πτερά.
66 ΣΚΩ. Ὄρνιθα νυκτονόμα, κακόφωνα· σκοπεῖται δέ τινες. ΙΡ. Ἱέρακες. ΤΑ. Πλατύγλωσσοι.
67 ΕΙ. Θαλάσσιαι. ΤΗ. Αἷς τισιν. ΘΑ. Αἱ ἐν τῇ θαλάσσῃ ἁλιεύουσαι.
68 ΤΕ. Ἐξετέταστο. ΠΕ. Περὶ τὸν σκοπέλους. ΓΛΑ. Τὸ κοῖλον.
69 ΗΜ. Ἀμπέλος, εἰς ἀφορμὴν τῆς ἀγρίας, ἀκμάζουσα. ΤΕ. Ἐθάλλων.
70 ΠΙ. Τέσσαρες.
71 ΤΕ. Ἀπεστραμμέναι. ΑΛ. Ἄλλη, ἀλλαχῆ. τὸ ἄλλη ὑγιῶς ἐστιν, ὅταν ἀπὸ τοῦ ι γραπτέον.
72 ΛΕΙ. Κακῶς πινὲς προπερισπῶσι, ἰᾶ, μαλακοί, ἁπαλοί. ἀλλαχῆ γὰρ λέγει ὑδρηλοὶ μαλακοί. ΙΟΥ. Ἴσι, ἁπλοῦς ἄνθος.
73 ΘΗ. Ἐθάλλων.
75 ΘΗΕ. Ἐθῆτο, ἐθαύμαζεν.
76 ΘΗ. Ἐθήσατο, ἐθαύμαζεν.
79 ΑΓ. Ἄγνωστοι. ΠΕ. Εἰσὶν, ὑπὲρ χυσιν.
82 ΑΚ. Ἐπὶ τοῦ αἰγιαλοῦ.

Δάκρυα

Δάκρυσι καὶ στοναχῇσι καὶ ἄλγεσι θυμὸν ἐρέχθων,
Πόντον ἐπ' ἀτρύγετον δερκέσκετο, δάκρυα λείβων.
Ἑρμείαν δ' ἐρέεινε Καλυψὼ, δῖα θεάων,
Ἐν θρόνῳ ἱδρύσασα φαεινῷ σιγαλόεντι·
" Τίπτε μοι, Ἑρμεία χρυσόῤῥαπι, εἰλήλυθας,
" Αἰδοῖός τε φίλος τε; πάρος γέ μεν ὄτι θαμίζεις.
" Αὔδα, ὅ, τι φρονέεις· τελέσαι δέ με θυμὸς ἄνωγεν,
" Εἰ δυνάμῃ τελέσαι γε, καὶ εἰ τετελεσμένον ἐστίν·
" Ἀλλ' ἕπεο προτέρω, ἵνα τοι πὶρ ξείνια θείω.
Ὣς ἄρα φωνήσασα θεὰ παρέθηκε τράπεζαν,
Ἀμβροσίης πλήσασα· κέρασσε δ' ἐρυθρὸν νέκταρ.
Αὐτὰρ ὁ πῖνε καὶ ἦθε Διάκτορος Ἀργειφόντης.
Αὐτὰρ ἐπεὶ δείπνησε, καὶ ἤραρε θυμὸν ἐδωδῇ,
Καὶ τότε δή μιν ἔπεσιν ἀμειβόμενος προσέειπεν·
" Εἰρωτᾷς μ' ἐλθόντα, θεὰ, θεόν; αὐτὰρ ἐγώ τοι
" Νημερτέως τὸ μῦθον ἐνισπήσω· κέλεαι γάρ.
" Ζεὺς ἐμὲ ἠνώγει δεῦρ' ἐλθέμεν οὐκ ἐθέλοντα·
" Τίς δ' ἂν ἑκὼν ποτόνδε διαδράμοι ἁλμυρὸν ὕδωρ,
" Ἄστεα; ἀνδρῶν τις ἄγχι βροτῶν πόλις, οἵτε θεοῖσιν

83 ΣΤΟ. Σπουδαίως. ΑΛ. Κρυφίως. ΕΡ. Καταπίνων ἐν ἑαυτῷ, σίνων, λυπήρως βαρέως.
84 ΔΕΡ. Ἐάσω, ἐᾶσαι.
85 ΕΡΕ. Ἠρώτα.
86 ΙΔ. Καθίσασα. ΣΙ. Ποικίλῳ.
87 ΧΡΥ. Χρυσῆν ῥάβδον ἔχων.
88 ΑΙ. Αἰδὼς ἄξιος, τίμιος. ΘΑ. Σωτηρίως ἐπιφοιτᾷν, ἢ ἔρχεσθαι.
89 ΑΝ. Ἐκέλευσεν.
90 ΤΕΤ. Εἰ φύσιν ἔχῃ τὸ δύνασθαι πλειωθῆναι, ἢ ἄωτον ἐστὶ χρύσεον.
93 ΑΜ. Τῷ τῶν θεῶν βρώματος. ΠΛΗ. Πληρώσασα. ΚΕ. Νῦν σύγχυσιν ἀπὸ τῆς ἀχλύος σωτηρίας· εἰς κέρας γὰρ ἐγχύσεις ἔπινον.
94 ΗΣ. Ἤσθιεν.
95 ΗΡ. Ἀρεσθῆναι ἐπείσθη, τυτθὸν ἥρμοσεν.
98 ΝΗ. Ἀληθῶς. ΕΝ. Εἶπω, λέξω.
99 ΕΘ. Ἐκ τούτου ἰμφαίνεται ἀκριβῶς ἀφίχθαι.
101 ΑΣ. Πολύ.

" Ἱερά τε ῥέζωσι καὶ ἑξαίτους ἑκατόμβας.
" Ἀλλὰ μάλ' ὄπως ἐστὶ Διὸς νόον Αἰγιόχοιο
" Οὔτε παρεξ ἐλθεῖν ἄλλον θεὸν, ὅθ' ἁλιῶσιν.
" Φησί τε ἄνδρα παρεῖναι ὀϊζυρώτατον ἄλλων
" Τῶν ἀνδρῶν, οἳ ἄρυ ῥεῖ Πριάμοιο μάχοντο
" Εἰνάετες, δεκάτῳ δὲ πόλιν πέρσαντες ἔβησαν
" Οἴκαδ'· ἀτὰρ ἐν νόῳ Ἀθηναίην ἀλίτοντο,
" Ἣ σφιν ἐπῶρσ' ἄνεμόν τε κακὸν καὶ κύματα μακρά.
" Ἐνθ' ἄλλοι μὲν πάντες ἀπέφθιθον ἐσθλοὶ ἑταῖροι,
" Τόν δ' ἄρα δεῦρ' ἄνεμός τε φέρων καὶ κῦμα πέλασσεν·
" Τὸν νῦν σ' ἠνώγη ἀποπεμπέμεν, ὄφρα τάχιστα·
" Οὐ γάρ οἱ τῆδ' αἶσα φίλων ἄπο νόστιμον ἑλέσθαι,
" Ἀλλ' ἔτι οἱ μοῖρ' ἐστὶ φίλους τ' ἰδέειν, καὶ ἱκέσθαι
" Οἶκον ἐς ὑψόροφον καὶ εἰὼ ἐς πατρίδα γαῖαν.

Ὣς φάτο· ῥίγησεν δὲ Καλυψὼ, δῖα θεάων,
Καί μιν φωνήσασ' ἔπτεα πτερόεντα προσηύδα·

" Σχέτλιοι ἐστὲ, θεοὶ, ζηλήμονες ἔξοχον ἄλλων,
" Οἵτε θεᾶις ἀγάασθε παρ' ἀνδράσιν εὐνάζεσθαι
" Ἀμφαδίην, ἤ τίς τε φίλον πόσιν' ἀκοίτιν.
" Ὡς μὲν ὅτ' Ὠρίωνα ἕλετο ῥοδοδάκτυλος Ἠώς,

102 Επ. Ἐξαιρέτους.
104 ΠΑ. Οὔτι μάταιον ἡγήσασθαι, οὔτι παριδεῖν καὶ ἀπειθῆσαι.
105 ΟΙ. Κατακεκονημένον, πεπαλαιωμένον.
106 ΤΩΝ. Ἐκείνων.
107 ΠΕΡ. Πορθήσαντες. ΕΒ. Ἐπορεύθησαν, ἐπέπλευσαν.
108 ΑΛ. Ἥμαρτον.
109 ΕΠ. Ἐπήγαγεν.
110 ΑΠ. Ἐφθάρησαν.
113 ΤΗ. Ἐνθάδε. Αἱ. Πεπρωμένη. ΟΛ. Ἀπολέσθαι.
118 ΣΧΕΤ. Ἀγνάμπτους. ΖΗ. Ζηλότυπος. ἢ, Δηλήμονες, βλαπτικοί.
119 ΑΓ. Φθονεῖτε. ΕΥ. Κοιμᾶσθαι.
121 ΩΡ. Οἱ πλείονες ὑπὸ Σκορπίου φασὶν αὐτὸν ἀνηρῆσθαι βιαζόμενον τὴν Ἄρτεμιν· ὁ δὲ Ἀπόλλων σὺν ἀνέλλει, ἴσως μὴ παρὸν τότε.

" Τόφρα

" Τόφρα οἱ ἠγάασθε θεοὶ ῥεῖα ζώοντες,
" Ἕως μιν ἐν Ὀρτυγίῃ χρυσόθρονος Ἄρτεμις ἁγνὴ
" Οἷς ἀγανοῖς βελέεσσιν ἐπιχομβήσῃ κατέπεφνεν·
" Ὡς δ' ὁπότ' Ἰασίωνι ἐϋπλόκαμος Δημήτηρ,
" Ὦι θυμῷ εἴξασα, μίγη φιλότητι καὶ εὐνῇ,
" Νειῷ ἐνὶ τριπόλῳ· οὐδὲ δὴν ἦεν ἄπυστος
" Ζεύς, ὅς μιν κατέπεφνε βαλὼν ἀργῆτι κεραυνῷ.
" Ὡς δ' αὖ νῦν μοι ἄγαισθε, θεοὶ, βροτὸν ἄνδρα παρεῖναι.
" Τὸν μὲν ἐγὼν ἐσάωσα περὶ πρόπος βεβαῶτα
" Οἷον· ἐπεί οἱ νῆα θοὴν ἀργῆτι κεραυνῷ
" Ζεὺς ἔλασας σκέδασε μέσῳ ἐνὶ οἴνοπι πόντῳ·
" Ἔνθ' ἄλλοι μὲν πάντες ἀπέφθιθον ἑταῖροι,
" Τὸν δ' ἄρα δεῦρ' ἄνεμός τε φέρων καὶ κῦμα πέλασσε.
" Τὸν μὲν ἐγὼ φιλέων τε καὶ ἔτρεφον, ἠδὲ ἔφασκον
" Θήσειν ἀθάνατον καὶ ἀγήραον ἤματα πάντα.
" Ἀλλ' ἐπεὶ οὔπως ἐστὶ Διὸς νόον Αἰγιόχοιο
" Οὔτε παρεξ ἐλθεῖν ἄλλον θεὸν, οὐδ' ἀλιῶσαι,
" Ἐρρέτω, εἴ μιν κεῖνος ἐπιτρύνῃ καὶ ἀνώγῃ
" Πόντον ἐπ' ἀτρύγετον· πέμψω δέ μιν οὔτι ἔοικε.

122 HΓ. Ἐφδονεῖτε.
123 OP. Τῇ Δήλῳ· νῆσος ᾗ ἡ Δῆλος ἐστὶν ἀπὸ μίσου τῶ Κυκλάδων.
125 IA. Τότε καὶ Δήμητρα ὁ Πλοῦτος· ἦν ᾗ Κρὴς ὁ Ἰασίων. Ἐκμάνικος δὲ Ἡλίκτρας καὶ Διὸς αὐτὸν γενεαλογεῖ. ἰσως ᾗ φασὶ γεωργικώτατον ὄντα δόξαν ἴσχειν, ὅτι τῇ Δήμητρι συνῆλθε. πῶς ᾗ φασὶ μὴ τὸ ἐπικλυσμὸν παρὰ μόνῳ Ἰασίωνι σπέρμα συρὲ εὑρεθῆναι ἐν Κρήτῃ, ἐπὶ Δευκαλιῶνος φημὶν, ὅτι ἡ Δήμητρ αὐτῷ συνῆλθε καὶ ἐγέννησε Πλοῦτον.
126 EI. Ἐπιθυμήσασα;
127 NEI. Νεοτομείῃ γῇ, ἠρομένῃ. TPI. Τρίτον ἰσραμμένῃ. ΑΠ. Ἀνήκεστος.
130 ΕΣ. Ἔσωσα. ΠΕ. Περιῤῥοιζήσασα τῷ τρόπῳ.
132 ΕΛ. Ἔνιοι, Ἔλσας, πλήξας, κεραυνώσας. ΕΚ. Ἔκαυσε, διέχισεν.
136 ΑΓ. Μὴ γηρῶντα.
139 ΕΡ. Ἀμφίσολον, πότερον ὡς Δία, ἢ εἰς Ὀδυσσέα. ΕΠ. Παρομοίως.
140 ΟΥ. Οὐδαμῶς.

" Οὐ γάρ μοι πάρα νῆες ἐπήρεμοι, ἠ ἑταῖροι,
" Οἱ κέν μιν πέμπιεν ἐπ' εὐρέα νῶτα θαλάσσης.
" Αὐτάρ οἱ πρόφρων ὑποθήσομαι, ὐδ' ὀπίσσω,
" Ὡς κε μάλ' ἀσκηθὴς ἠν πατρίδα γαῖαν ἵκηται.
Τόν δ' αὖτε προσέειπε Διάκλορος Ἀργειφόντης·
" Οὕτω νῦν ἀπόπεμπε, Διὸς δ' ἐποπίζεο μῆνιν,
" Μήπως τοὶ μετόπισθε κοτεσσάμενος χαλεπήνῃ.
Ὣς ἄρα φωνήσας ἀπέβη κρατὺς Ἀργειφόντης·
Ἡ δ' ἐπ' Ὀδυσσῆα μεγαλήτορα πότνια νύμφη
Ἦϊ', ἐπειδὴ Ζηνὸς ἐπέκλυεν ἀγγελιάων.
Τόν δ' ἄρ' ἐπ' ἀκτῆς εὗρε καθήμενον· ὐδέ ποτ' ὄσσε
Δακρυόφιν τέρσοντο· κατείβετο δ' γλυκὺς αἰὼν
Νόστον ὀδυρομένῳ, ἐπεὶ οὐκέτι ἥνδανε νύμφη.
Ἀλλ' ἦτοι νύκτας μὲν ἰαύεσκεν ἠ ἀνάγκῃ
Ἐν σπέεσι γλαφυροῖσι παρ' οὐκ ἐθέλων ἐθελούσῃ·
Ἤματα δ' ἐν πέτρῃσι ἔ ἠιόνεσι καθίζων,
Δάκρυσι ἔ στοναχῇσι ἠ ἄλγεσι θυμὸν ἐρέχθων,
Πόντον ἐπ' ἀτρύγετον δερκέσκετο, δάκρυα λείβων.
Ἀγχοῦ δ' ἱσταμένη προσεφώνεε δῖα θεάων·
" Κάμμορε, μή μοι ἔτ' ἐνθάδ' ὀδύρεο, μηδέ τοι αἰὼν
" Φθινέτω· ἤδη γάρ σε μάλα πρόφρασ' ἀποπέμψω.

141 ΠΑ. Πάρεισιν.
143 ΠΡΟ. Προθύμως, ἢ προθύμως. ΥΠΟ. Συμβουλεύσω.
146 ΕΠ. Ἐπιστέφω, φροντίζω.
147 ΧΑ. Ὀρμοθέτης.
152 ΤΕΡ. Ἐξηραίνοντο. ΚΑ. Ἐν δάκρυσιν ἦν αὐτῷ ὁ βίος χρόνος, καὶ κατετήκετο.
153 ΝΟ. Τῷ οἴκαδε ἐπαίεδεν. ΗΝ. Κατ' ἐδὲν ἤρισκεν ἀποπέμπειν ἐπ αὐτόν· ἢ τὸ μὴ πρῶτον, ὡς σώσασαν ἔστερξεν· τὸ δὲ μὴ ταῦτα, οὐκέτι.
154 ΙΑΥ. Διευκτέρουσεν, ἢ διημᾶτο.
158 ΔΕΡ. Ἔολεπεν.
160 ΚΑΜ. Ἤτοι κακόμοιρε, ἔ παλαίπωρε. ΑΙ. Ὁ βίος δ' ἀνθρώπε, τουτέστιν ὁ τῆς ζωῆς χρόνος.
161 ΦΘΙ. Φθειρέσθω.

" Ἀλλ'

" Ἀλλ' ἄγε, δέρατα μακρὰ ταμὼν, ἁρμόζεο χαλκῷ
" Εὐρεῖαν σχεδίην· ἀτὰρ ἴκρια ποίησαι ἐπ' αὐτῆ
" Ὑψοῦ, ὥς σε φέρησιν ἐπ' ἠεροειδέα πόντον.
" Αὐτὰρ ἐγὼ σῖτον καὶ ὕδωρ καὶ οἶνον ἐρυθρὸν
" Ἐνθήσω μενοεικέ', ἃ κέν τοι λιμὸν ἐρύκοι.
" Εἵματά τ' ἀμφιέσω· πέμψω δέ τοι οὖρον ὄπισθεν,
" Ὡς κε μάλ' ἀσκηθὴς σὴν πατρίδα γαῖαν ἵκηαι,
" Αἴκε θεοί γ' ἐθέλωσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν,
" Οἵ μοῦ φέρτεροί εἰσι νοῆσαί τε κρῖναί τε.

Ὡς φάτο· ῥίγησεν δὲ πολύτλας δῖος Ὀδυσσεὺς,
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·

" Ἄλλο τι δὴ σὺ, θεὰ, τόδε μήδεαι, οὐδέ τι πομπὴν,
" Ἣ με κέλεαι σχεδίῃ περάαν μέγα λαῖτμα θαλάσσης,
" Δεινόν τ' ἀργαλέον τε· τὸ δ' οὐδ' ἐπὶ νῆες ἔϊσαι
" Ὠκύπτεροι περόωσιν, ἀγαλλόμεναι Διὸς οὖρῳ.
" Οὐδ' ἂν ἐγὼν, ἀέκητι σέθεν, σχεδίης ἐπιβαίην,
" Εἰ μή μοι τλαίης γε, θεὰ, μέγαν ὅρκον ὀμόσσαι,
" Μή τι μοι αὐτῷ πῆμα κακὸν βουλευσέμεν ἄλλο.

Ὡς φάτο· μείδησεν δὲ Καλυψὼ, δῖα θεάων,
Χειρί τέ μιν κατέρεξεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε·

162 ΔΟΥ. Νεῦν, ξύλα. ΤΑ. Κόψας.
163 ΣΧΕ. Τῷ εἰκαίως κατασκευάσθαι νεῶν λέγει. ΙΚ. Τὰ ὀρθὰ ξύλα, ἐφ' ὧν τὰ τῶν νεῶν κατάστρωματα πήγνυται, τὰ ἐγκοιλία λεγόμενα παρ' ἡμῖν. ΠΗ. Σύμπηξον.
166 ΜΕ. Τῷ μὴ ἁρμόζεσθαι. ΕΡ. Κωλύει.
170 ΚΡΙ. Τελειῶσαι.
171 ΡΙ. Ἔφελξεν, ἐφοβήθη. ΠΟ. Πολλὰ ὑπομένας.
173 ΜΗ. Ἔνιοι, Μήδεα, βουλεύματα. ΠΟΜ. Ἔφοδον, ἐξαπατήλην.
176 ΩΚ. Ταχέως πλεῖσαι. ΠΕ. Διαπερῶσιν. ΑΓ. Τερπόμεναι.
177 ΑΕ. Ἀσυλία, παρὰ γνώμην.
179 ΒΟΥ. Βουλεύσασθαι, ἐπινοῆσαι.
181 ΚΑ. Κατίψησε, κατέψηλάφησε, κατεπῴδησεν· ἀπὸ τοῦ ῥίζω, ῥίξω.

" Ἦ δὴ

" Ἦ δὴ ἀλιτρός γ' ἐσσὶ, & σὸν ἀποφώλια εἰδώς·
" Οἷον δὴ τ' μῦθον ἐπεφράσθης ἀγορεῦσαι;
" Ἴσω νῦν τόδε Γαῖα καὶ Οὐρανὸς εὐρὺς ὕπερθεν,
" Καὶ τὸ κατειβόμενον Στυγὸς ὕδωρ, (ὅστε μέγιστος
" Ὅρκος δεινότατός τε πέλει μακάρεσσι θεοῖσι,)
" Μή τι τοι αὐτῷ πῆμα κακὸν βεβλυσέμεν ἄλλο·
" Ἀλλὰ τὰ μὲν νοέω καὶ φράσομαι, ἅσσ' ἂν ἐμοί περ
" Αὐτῇ μηδοίμιλα, ὅτε με χρειὼ τόσσον ἵκοι.
" Καὶ γὰρ ἐμοὶ νόος ἐστὶν ἐναίσιμος, ἠδέ μοι αὐτῇ
" Θυμὸς ἐνὶ στήθεσσι σιδήρεος, ἀλλ' ἐλεήμων.
Ὣς ἄρα φωνήσασ' ἡγήσατο δῖα θεάων
Καρπαλίμως· ὁ δ' ἕπειτα μετ' ἴχνια βαῖνε θεοῖο·
Ἵξον δ' ἀσκηθὲς γλαφυρὸν θεὸς ἠδὲ καὶ ἀνήρ·
Καί ῥ' ὁ μὲν ἔνθα κάθιζεν ἐπὶ θρόνου, ἔνθεν ἀνέστη
Ἑρμείας· νύμφη δ' ἐτίθη πάρα πᾶσαν ἐδωδὴν,
Ἔδμεν καὶ πίνειν, οἷα βροτοὶ ἄνδρες ἔδουσιν·
Αὐτὴ δ' ἀντίον ἷζεν Ὀδυσσῆος θείοιο,
Τῇ δὲ παρ' ἀμβροσίην δμωαὶ καὶ νέκταρ ἔθηκαν.
Οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
Αὐτὰρ ἐπεὶ πάρποιθεν ἐδητύος ἠδὲ ποτῆτος,
Τοῖς ἄρα μύθων ἦρχε Καλυψὼ, δῖα θεάων·
" Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,

185 190 195 200

182 ΑΛΙ. Ὁ μὴ ἀπημαλμένος παντεργίας, ὁ ἀμακτωλὸς. ΑΠ. Ἀπαίδευτα· φωλεοὶ γὰρ τὰ παιδιωτήρια· ἢ ἅσσα οὐκ ἄν τις ἀποφήναιτο, ὡς ἄρρητα, ἢ ἀσύνετα.

183 ΕΠ. Ἐοικότα, ἐπιτήδεια.

184 ΙΣ. Ἀντὶ ᾧ, γινώσκετε.

188 ΑΔ. Ἀλλὰ ταῦτά σε μὴ οὐκ, ὅσα φρονῶ, καὶ ὅσα ἂν ἐμαυτῇ συνειδῶ, ἐν τάχει τῆς χρείας καθικάσῃ.

189 ΜΗ. Βεβλυσέμεν. ΙΚ. Ἔλθοι.

190 ΕΝ. Ἀγαθός.

194 ΙΞ. Ἀφίκοντο, ἦλθον. ΓΛΑ. Κοῖλον, ἀφ' τὸ κεκλύφθαι.

" Οὕτω

" Οὕτω δὴ οἰκόνδε φίλην ἐς πατρίδα γαῖαν
" Αὐτίκα νῦν ἐθέλεις ἰέναι; σὺ δὲ χαῖρε καὶ ἔμπης·
" Εἴγε μὲν εἰδείης σῇσι φρεσὶν, ὅσσα τοι αἶσα
" Κήδε' ἀναπλῆσαι, πρὶν πατρίδα γαῖαν ἱκέσθαι,
" Ἐνθάδε καὶ μεῖναι μετὰ σοὶ τόδε δῶμα φυλάσσοις,
" Ἀθάνατός τ' εἶης· ἱμειρόμενός περ ἰδέσθαι
" Σὴν ἄλοχον, τῆς αἰὲν ἐέλδεαι ἤματα πάντα.
" Οὐ μέν σην κείνης γε χερείων εὔχομαι εἶναι,
" Οὐ δέμας, οὐδὲ φυήν· ἐπεὶ οὔπως οὐδὲ ἔοικεν
" Θνητὰς ἀθανάτῃσι δέμας καὶ εἶδος ἐρίζειν.
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
" Πότνια θεὰ, μή μοι τόδε χώεο· οἶδα καὶ αὐτὸς
" Πάντα μάλ', ὕνεκα σεῖο περίφρων Πηνελόπεια
" Εἶδος ἀκιδνοτέρη, μέγεθός τ', εἰς ἄντα ἰδέσθαι·
" (Ἡ μὲν γὰρ, βροτός ἐστι, σὺ δ' ἀθάνατος καὶ ἀγήρως.)
" Ἀλλὰ καὶ ὣς ἐθέλω καὶ ἐέλδομαι ἤματα πάντα
" Οἴκαδέ τ' ἐλθέμμαι, καὶ νόστιμον ἦμαρ ἰδέσθαι.
" Εἰ δ' αὖ τις ῥαίῃσι θεῶν ἐνὶ οἴνοπι πόντῳ,

205 ΑΥ. Ἐν ἐπιρρωτήσει. ΕΜ. Τὸ ἔμπης, (ὃ καὶ ἔμπα λέγεται,) σὺν τούτῳ τῷ τόπῳ, ὅμως σημαίνει, ποτὲ δὲ, ὁμοίως δὲ ἐπίσης, ὡς τὸ, Ἔμπης ἐς γαῖάν τε καὶ ὀρανὸν ἵκετ' ἀϋτμή.

206 ΕΙ. Ἤδεις, ἠπίστασο.

207 ΚΗ. Λύπαι, ἀνίαι. ΑΝ. Ἀναπλῆσαι.

208 ΔΩ. Καταχρηπικῶς, τὸ πτήλαιον.

209 ΑΘ. Ἀθάνατος γένοιο. ΙΜ. Ἐπιθυμῶν.

210 ΕΕΛ. Ἐπιθυμεῖς. ΗΜ. Πάντα τὰ ἐμὰ ἤθη.

211 ΟΥ. Οὐ μὰ δία.

213 ΕΡ. Φιλονεικεῖν.

215 ΠΟΤ. Σεσαρμένα, πμίκα. ΧΩ. Ὀργίζου.

217 ΑΚ. Οἱ μὲν γλωσσογράφοι, ἀσθενέστερα, οἱ δὲ, εὐπλεκτότερα· καὶ γὰρ σὺν ἄλλοις, Οὐδὲν ἀκιδνότερον γαῖα τρέφει ἀνθρώπου, ἀλλὰ δὲ εὐτελέστερον· οἱ μέν τοι γλωσσογράφοι ἀπέδοσαν πάλιν, ἀσθενέστερον.

218 ΑΓ. Μὴ γηρᾶσα.

220 ΝΟ. Τῶν τῆς ἀνακρισεως ἡμέρων.

221 ΕΙ. Εἰ δέ τις. ΡΑΙ. Διαφθείρῃ.

" Τλήσεμαι,

" Τλήσομαι, ἐν στήθεσσιν ἔχων παλαπενθέα θυμόν·
" Ἤδη γὰρ μάλα πολλ' ἔπαθον καὶ πολλ' ἐμόγησα
" Κύμασι, καὶ πολέμῳ· μετὰ καὶ τόδε τοῖσι γενέσθω.
Ὣς ἔφατ'· ἠέλιος δ' ἄρ' ἔδυ καὶ ἐπὶ κνέφας ἦλθεν· 225
Ἐλθόντες δ' ἄρα τώγε μυχῷ πετέως γλαφυροῖο,
Τερπέσθην φιλότητι παρ' ἀλλήλοισι μένοντε.
Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠώς,
Αὐτίχ' ὁ μὲν χλαῖναν τε χιτῶνά τε ἕννυτ' Ὀδυσεὺς, 230
Αὐτὴ δ' ἀργύφεον φᾶρος μέγα ἕννυτο νύμφη,
Λεπτὸν, καὶ χαρίεν, περὶ δὲ ζώνην βάλετ' ἰξυῖ
Καλὴν, χρυσείην· κεφαλῇ δ' ἐπέθηκε καλύπτρην·
Καὶ τότ' Ὀδυσσῆι μεγαλήτορι μήδετο πομπήν.
Δῶκε μέν οἱ πέλεκυν μέγαν, ἄρμενον ἐν παλάμῃσι,
Χάλκεον, ἀμφοτέρωθεν ἀκαχμένον· αὐτὰρ ἐν αὐτῷ 235
Στειλειὸν πεπάλλες, ἐλαΐνον, εὖ ἐναρηρός·
Δῶκε δ' ἔπειτα σκέπαρνον ἐΰξεστον· ἦρχε δ' ὁδοῖο
Νήσου ἐπ' ἐσχατιῆς, ὅθι δένδρεα μακρὰ πεφύκει,
Κλήθρη τ', αἴγειρός τ', ἐλάτη τ' ἦν οὐρανομήκης,
Αὖα πάλαι, πεπίκνηλα, τά οἱ πλώοιεν ἐλαφρῶς. 240
Αὐτὰρ ἐπειδὴ δεῖξε, ὅθι δένδρεα μακρὰ πεφύκει,

222 ΤΑ. Ὑπομνητικόν.
223 ΕΜ. Ἐναπαθήσω.
226 ΜΥ. Τιλοῖλαίῳ, ἐχάτῳ. ΣΠΕΙ. Σπηλαίῳ.
229 ΕΝ. Ἐνεδύσατο.
230 ΑΡ. Λαμπρὸν, λευκόν.
231 ΙΞ. Ὀσφύϊ.
232 ΚΑ. Τὸ κάλυμμα τῆς κεφαλῆς.
233 ΠΟΜ. Παρέπεμψεν.
234 ΑΡ. Ἡρμοσμένον.
235 ΑΚ. Ὀξύ.
236 ΣΤΕΙ. Στειλειὸν, ἡ λαβὴ τοῦ πελέκεως. ΠΕ. Πάνυ καλόν. ΕΝ. Ἐνηρμοσμένον.
237 ΣΚΕ. Τὸ ἔσχον λέγει τὸ σκέπτειν τὰ ἄρνα. Ἀλλὰ ἐν τούτῳ τῷ τόπῳ τὸ δέρυ ἄλλοι λέγουσιν, ἢ μᾶλλον ἀμφίσημον τίθεται.
238 ΕΣ. Ἐπὶ τῶν ἐσχάτων μερῶν.
240 ΑΥ. Κατέξηρα καὶ ἐξυλημένα· ἢ δὲ εὐφωνίαν εἵνεκεν τὸ α. ΠΕ. Πεπελεκῶς καὶ πεσκληκότα.

Ἡ μὲν

Ἡ μὲν ἔβη πρὸς δῶμα Καλυψώ, δῖα θεάων·
Αὐτὰρ ὁ ταμνετο δόρυ· θοῶς δὲ οἱ ἤνυτο ἔργον.
Εἴκοσι δ' ἔκβαλε πάντα, πελέκκησεν δ' ἄρα χαλκῷ,
Ξέσσε δ' ὀπιζημένως, κὴ ὄπὶ ςάθμῳ ἴθυνε.
Τόφρα δ' ἔνεικε τέρετρα Καλυψώ, δῖα θεάων,
Τέτρηνεν δ' ἄρα πάντα, κὴ ἤρμοσεν ἀλλήλοισι·
Γόμφοισιν δ' ἄρα τήν γε κὴ ἁρμονίῃσιν ἄρηρεν.
Ὅσσον τίς τ' ἔδαφος νηὸς τορνώσεται ἀνὴρ
φορτίδος εὐρείης, εὖ εἰδὼς τεκτοσυνάων,
Τόσσον ἐπ' εὐρείαν σχεδίην ποίησατ' Ὀδυσσεύς.
Ἱκελα δὲ ςήσας, ἀραρὼν θαμέσι ςαμίνεσι,
Ποίῃ, ἀτὰρ μακρῇσιν ἐπηγκενίδεσσι τελεύτα.
Ἐν δ' ἴστὸν ποίῃ, κὴ ὄπίκριον ἁρμὸν αὐτῷ.
Πρὸς δ' ἄρα πηδάλιον ποιήσατο, ὄφρ' ἰθύνοι.
Φραξε δὲ μιν ῥίπεσσι διαμπερὲς εἰσυνίῃσι,
Κύματος εἶλαρ ἔμεν· πολλὴν δ' ἐπεχεύατο ὕλίν.

243 HN. Ἠνύετο, ἐπλειῶτο.
244 EK. Κατίδαλε.
245 ΣΓΑ. Καινὰ, ὑπομεμιλτωμένον χρώμασι, ἢ πικτονικὴν ἀσκρίν. ΙΘ. Ἐπ' εὐθείας ἤγαγεν.
246 ΤΟ. Τηνικαῦτα. ΕΝ. Ἠτοίμασεν, ἔγαγεν. ΤΕ. Πάντα τὰ ἁρμόσματα, γομφωτήρια κὴ τρύπανα.
248 ΓΟΜ. Οἷς ἁρμοζεται τὰ ξύλα ἀλλήλα· ἢ παρασάλοις, ἢ σαλπίσιν ἴτυσι, ἢ σφήνασι. ΑΡ. Ἁρμονίαις. ΑΡ. Ἡμοσεν· χράψεται κὴ ἄρηρεν.
249 ΕΔ. Τὸ κατώπιτον κύτος τῆς νηὸς. ΤΟΡ. Περιχράψεται.
250 ΦΟΡ. Φορτηγοῦ, ἢ κὴ ὁλκάδος ἁλιμένης. ΤΕΚ. Τῆς ἐπὶ τῶν πικτονικῶν ἐμπειρίας.
252 ΑΡ. Ἁρμόσας. ΘΑ. Πυκνοῖς, πυκνίσιν. ΣΤΑ. Τοῖς ἐπιμήκεσι ξύλοις, ἃ πειρατῆρες τοῖς ἐκρίοις ἐξ ἑκατέρων τῶν μερῶν ἐπὶ τὸ ἐσώτερον ἢ τοῖς ἐρετικοῖς ξύλοις, οἷς τὰ πηδάλια ἐμπήγνυται.
253 ΕΠ. Ταῖς ἁμπταμέναις σανίσι, κὴ μετρίοις τοῦ γ, οἷον ἐπηγκυρίδεσι, ταῖς ἐπικειμέναις δοκοῖς. ΤΕ. Ἐπλεκε, ἐπλήρα.
254 ΕΠ. Τῶν κρασίων, τὸ πλάγιον ξύλον· ἢ ἰσᾶ, ἃ ἐπεσδίδει τὰ ἁρμόσματα.
255 ΠΗ. Κώπην. ΙΘ. Ἐπ' εὐθείας ἄγει, κυβερνᾷ.
256 ΡΙ. Πλέγμασι ψιαθώδεσιν. ΔΙ. Διὰ παντὸς, ὁλοσχερῆ. ΟΙ. Ταῖς τῶν ἰτέας ῥάβδοις, ὅ ἐστι κλάδοις, ἢ ἀπὸ οἰσυῶν, ὅ ἐστιν ἱμαντώδεσι φυτοῖς.
257 ΕΙ. Ἀσφάλειαν· ἢ κώλυμα κὴ φυλακήν. ΥΛ. Ἔρεισμα τῶν σχεδίας.

Τόφρα δὲ Φάρε᾽ ἔνεικε Καλυψὼ, δῖα θεάων,
Ἰσία ποιήσασθαι· ὁ δ᾽ εὖ τεχνήσατο καὶ τά·
Ἐν δ᾽ ὑπέρας τε, κάλως τε, πόδας τ᾽ ἐνέθηκεν ἐν αὐτῇ.
Μοχλοῖσιν δ᾽ ἄρα τῷ γε κατείρυσεν εἰς ἅλα δῖαν.
Τέτρατον ἦμαρ ἔην, καὶ τῷ τετέλεστο ἅπαντα·
Τῷ δ᾽ ἄρα τέμπλῳ πέμπ᾽ ἀπὸ νήσου δῖα Καλυψὼ,
Εἵματά τ᾽ ἀμφιέσασα ἰωδέα, καὶ λάσασα.
Ἐν δέ οἱ ἀσκὸν ἔθηκε θεὰ μέλανος οἴνοιο
Τὸν ἕτερον, ἕτερον δ᾽ ὕδατος μέγαν· ἐν δὲ καὶ ἤια
Κωρύκῳ, ἐν δέ οἱ ὄψα τίθη μυρικέα πολλά·
Οὖρον δὲ πρόηκεν ἀπήμονά τε λιαρόν τε.
Γηθόσυνος δ᾽ ἔρρῳ πίτασ᾽ ἱσία δῖος Ὀδυσεύς.
Αὐτὰρ ὁ πηδαλίῳ ἰθύνετο τεχνηέντως
Ἥμενος· οὐδέ οἱ ὕπνος ἐπὶ βλεφάροισιν ἔπιπτε,
Πληϊάδας τ᾽ ἐσορῶντι, καὶ ὀψὲ δύοντα Βοώτην,
Ἄρκτον θ᾽, ἣν καὶ ἅμαξαν ἐπίκλησιν καλέουσιν,

258 ΦΑ. Ὀθόνας.

259 ΤΕΧ. Εἰργασάθη.

260 ΥΠ. Τὰς μὲν τῶ ἄκρω τ᾽ ὀθόνης ἐξημμένους κάλως· ἢ τὰς τροχιλίας. ΚΑ. Τὰ ἀκοντία· δι᾽ ὧν ἀνάγεται καὶ καταγεται ἡ κεραία. ΠΟ. Τὰς πόδας τὰς κάτωθεν συνέχουσας τὸν ὄθονον· ἢ τὰς μεταχωγὰς τοῦ κέρατος· ἕτεροι δέ φασι σχοινία, οἷς συνέχεται ἀπὸ πρῴρας καὶ ἀπὸ πρύμνας, ἢ ἰσός· ἢ τὰ ἐκατέρωθεν δεδεμένα τοῖς ἁρμένιοις σχοινία.

261 ΚΑ. Καθείλκυσεν.

264 ΑΜ. Ἐνδύσασα. ΘΥ. Εὐώδη.

266 ΗΙ. Ἐφόδια, ἄλφιτα.

267 ΚΩ. Τῷ φυλακῇ. ΜΕ. Προσφωνῶν, ἀρίσκοντα τῇ ψυχῇ, ἀγαθά.

269 ΠΕ. Ἥπλωσεν.

270 ΙΘ. Ἐπ᾽ εὐθείας ἦγεν, οἰκονόμησε. ΤΕΧ. Ἐπιστημόνως.

271 ΗΜ. Καθήμενος.

272 ΠΛΗ. Ἑπτὰ ἀστέρας συνέχει, καὶ ὀφθαλμὸν δὲ Ταύρου καλοῦσιν, ὃν οἱ ἐξ μόνοι φαίνονται. ΒΟ. Τότε γὰρ μάλιστα δὲ ἔργα ἀπολύονται οἱ βόες. ΟΙ. Μετὰ πολὺν χρόνον τὰ συναπατελάντων δύοντα. καὶ γὰρ τὸν Ἄρκτον, Τέτρασι γὰρ μοίραις ἄμυδις καθίσθα Βοώτῃ Ὠκεανὸς δέχεται. συγκαταφέρεται δὲ τέτρασι ζωδίοις, Σκορπίῳ, ἀφ᾽ οὗ ἄρχεται, Τοξότῃ, Αἰγοκέρῳ, Ὑδροχόῳ, ἐφ᾽ ὃ λήγει. ΒΟΩ. Ὁ Βοώτης καὶ Ἀρτοφύλαξ καλεῖται καὶ δοκεῖ εἶναι ὁ Ἰκάριος. Βοώτης δὲ λέγεται, ὅτι καὶ τῷ ἐπιτελῶ αὐτὸ βοηλατεῖσι καὶ ἀροτριῶσιν· ἢ ἐπεὶ ὁ Ἰκάριος ἐπὶ ἁμαξῶν περιῴκιζε τὸν οἶνον.

273 ΑΡ. Καὶ ἅμαξα καλεῖται ἡ Ἄρκτος. Ἐπεὶ οὖν ποτάρων ἀστέρων τὸ πλησίον χήμακι κειμένων, καὶ τῶν ἐφιζῶν

Ἦ τ' αὐτῆ τρέφεται, καί τ' Ὠρίωνα δοκεύει·
Οἴη δ' ἄμμορος ἐστὶ λοετρῶν Ὠκεανοῖο.
Τὴν γὰρ δὴ μιν ἄνωγε Καλυψὼ, δῖα θεάων,
Παντοπροθέμμαι ἐπ' ἀριστερὰ χειρὸς ἔχοντα.
Ἑπτὰδεκαίδεκα μὲν τελέεν ἤματα παντοπορεύων,
Ὀκτωκαιδεκάτῃ δ' ἐφάνη ὄρεα σκιόεντα
Γαίης Φαιήκων, ὅθι τ' ἄγχιστον τέλεν αὐτῷ·
Εἴσατο δ', ὡς ὅτε ῥινὸν ἐν ἠεροειδεῖ πόντῳ.
Τὸν δ' ἐξ Αἰθιόπων ἀνιὼν κρείων Ἐνοσίχθων,
Τηλόθεν ἐκ Σολύμων ὀρέων ἴδεν· ἔισατο γάρ οἱ
Πόντον ἁπιπλείων· ὁ δ' ἐχώσατο κηρόθι μᾶλλον·
Κινήσας δὲ κάρη πρὸς ὃν μυθήσατο θυμόν·
" Ὤ πόποι, ἦ μάλα δὴ μετεβάλλσαν θεοὶ ἄλλως
" Ἀμφ' Ὀδυσῆι, ἐμεῖο μετ' Αἰθιόπεσσιν ἐόντος·
" Καὶ δὴ Φαιήκων γαίης σχεδὸν, ἔνθα οἱ αἶσα
" Ἐκφυγέειν μέγα πεῖρας ὀιζύος, ἣ μιν ἱκάνει·
" Ἀλλ' ἔτι μέν μιν φημὶ ἄδην ἐλάαν κακότητος.
Ὣς εἰπὼν, σύναγεν νεφέλας, ἐτάραξε δὲ πόντον,
Χερσὶ τρίαιναν ἑλών· πάσας δ' ὀρόθυνεν ἀέλλας

ἰφιξῆς τελῶν ἄπτερ ὃν τρόχων καὶ ῥύμῃ ἁμάξης ἧμα ἀπτιλᾶται. ΕΠ. Ἐπωνυμίαν.

276 ΤΗΝ. Πρὸς παύτῃ γὰρ δὴ αὐτὸν.

277 ΠΟΝ. Πρὸς τῷ θάλασσαν διαπεραιῶσθαι καὶ πλέειν.

280 ΑΓ. Τὸ ἐγγύτερον.

281 ΕΙ. Ἐφάνη, ἐδόξεν. ΡΙ. Εἰ μὴ ὄντως ἀναγνωστέον ἔσῃ, ἰφάνη, ὡς ἀσπὶς, ὁ ἐκ βύρσα· ἃ ἦ ἐρινὸν, ἔσῃ συκέα· οἱ δὲ λίγκαν Ἰκυρίας ἔρινον λίγειν τῷ ἀχλύν· ἰφάνη ἂν, ὡς ἀχλὺς, ἡ γῆ.

283 ΣΟ. Σόλυμα ὄρη τῆ Πισιδίας.

285 ΚΑ. Τὴν κεφαλήν. ΟΝ. Πρὸς τὸ ἑαυτῶ. ΜΥ. Εἶπεν.

286 ΜΕ. Μετέγνωσαν.

289 ΠΕΙ. Ἤτοι τὸ πεῖρας, τὸ τέλος· ἢ τὸ λιπαρὸν καὶ ἀκμάζον.

290 ΑΔ. Ἄθρους. ΕΛ. Κόρον ἀχθῆν τῆ κακίας.

291 ΣΥΝ. Πρὸς ἀνθρώπους πάντας πάντων ἐξουσίαν ἔχειν.

292 ΤΡΙ. Εὐτρεπῶς πρὸς τὸ κινῆσαι· φόρημα γὰρ ἄχει ἀχάλεστον. ΟΡ. Ἐτάραξε, συνήγαγεν.

Παντοίων ἀνέμων· σὺν δὲ νεφέεσσι κάλυψε
Γαῖαν ὁμῶς καὶ πόντον· ὀρώρει δ' ἐξ οὐρανόθεν νύξ.
Σὺν δ' Εὖρός τε Νότος τ' ἔπεσε, Ζέφυρός τε δυσαὴς,
Καὶ Βορέης αἰθρηγενέτης, μέγα κῦμα κυλίνδων.
Καὶ τότ' Ὀδυσσῆος λύτο γούνατα καὶ φίλον ἦτορ·
Ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
"Ὤ μοι ἐγὼ δειλὸς, τί νύ μοι μήκιστα γένηται;
"Δείδω, μὴ δὴ πάντα θεὰ νημερτέα εἶπεν,
"Ἣ μ' ἔφατ' ἐν πόντῳ, πρὶν πατρίδα γαῖαν ἱκέσθαι,
"Ἄλγε' ἀναπλήσειν· τάδε δὴ νῦν πάντα τελεῖται.
"Οἷοισιν νέφεσσι Διὶ ξυνέχῃ οὐρανὸν εὐρὺν
"Ζεὺς, ἐτάραξε δὲ πόντον, ἐπιπέρχονται δ' ἄελλαι
"Παντοίων ἀνέμων· νῦν μοι σῶς αἰπὺς ὄλεθρος·
"Τρὶς μάκαρες Δαναοὶ, καὶ τετράκις, οἳ τότ' ὄλοντο
"Τροίῃ ἐν εὐρείῃ, χάριν Ἀτρεΐδῃσι φέροντες.
"Ὡς δὴ ἔγωγ' ὄφελον θανέειν καὶ πότμον ἐπισπεῖν
"Ἤματι τῷ, ὅτε μοι πλεῖστοι χαλκήρεα δοῦρα
"Τρῶες ἐπέρριψαν περὶ Πηλείωνι θανόντι.
"Τῷ κ' ἔλαχον κτερέων, καί μευ κλέος ἦγον Ἀχαιοί·

294 ΟΡ. Ἐκιυῆτο, πιεφορμᾶτο. ΝΥΞ. Σκότος.

295 ΔΥ. Δύσπνους, ἢ λαπὶ δυσμῶν πνέων· ἢ διπλᾶς κῦ τὸ πᾶν· ἓ γὰ ἀναψύχει τὰς ἀνθρώπους.

296 ΑΙ. Αἰθρίαν καὶ εὐδίαν ποιῶν· ἢ αἴθριον ποιῶν, ὃ ἐστι πύῤῥον.

297 ΛΥ. Ἀντὶ τοῦ, ἐλύθη.

299 ΔΕΙ. Δάλωσες, δυσυχής. ΜΗ. Τίνα μοι τούτων δύναι᾽ ἠθέσθαι μείζονα κακά; τινὶς ἢ λαὸς ἢ χ γεάφωσιν, ἵν' ἢ μάχωσε, ἀντὶ τοῦ, τίς μοι γένοι᾽ μαχαιρᾶ; οἱ ἢ τί νυ; πῶς; ὡς καὶκῶ, Τί νυ βέομαι; πῶς μοι τούτων δύναι᾽ μείζω μεμίσθαι κακά; ΜΗ. Μείζονα.

301 ΕΦ. Εἶπεν.

302 ΑΝ. Ἀναπληρώσειν.

303 ΟΙ. Ὀπίσω. ΠΕ. Περιλαμβάνῃ, περικαλύπτῃ.

304 ΕΠ. Κατεπίγωσι.

305 ΝΥΝ. Τοῦτό ἐστιν, ἀντὶ τοῦ, ἡμέραν. ΣΩΣ. Νημερτής.

307 ΧΑ. Χαλεζοῦσθαι.

310 ΠΗ. Ἴσως λέγει τῷ Θέτιν, τὸ Ἀχιλλέως ἐμνήσθη.

311 ΤΩ. Οὕτω γὰ ἄν. ΕΛ. Ἔτυχον, ἠξιώθην. ΗΡ. Διέφερον, διεδίδοσαν.

" Νῦν

" Νῦν δέ με λαγαλέῳ θανάτῳ εἵμαρτο ἁλῶναι.
Ὡς ἄρα μιν εἰπόντ' ἔλασεν μέγα κῦμα κατ' ἄκρης,
Δεινὸν ἐπασσύμβλον, περὶ δ' ὀχεδίην ἐλέλιξεν.
Τῆλε δ' ἀπὸ ὀχεδίης αὐτὸς πέσε, πηδάλιον δὲ
Ἐκ χειρῶν προέηκε· μέσον δέ οἱ ἰσὸν ἔαξε
Δεινὴ μιστομένων ἀνέμων ἐλθόντι θύελλα.
Τηλοῦ δὲ πλεῖρον ἀπ' ἐπίκρεμον ἔμπεσε πόντῳ,
Τὸν δ' ἄρ' ὑπόδρυχα θῆκε πολὺν χρόνον· οὐδὲ δυνάσθη
Αἶψα μάλ' ἀναχθεέειν, μεγάλα ὑπὸ κύματος ὁρμῆς·
Εἵματα γάρ ῥ' ἐβάρυνε, τά οἱ πόρε δῖα Καλυψώ·
Ὦρσε δὴ καὶ ὣς ἀνέδυ, σώματος δ' ἐξέπυσεν ἅλμην
Πικρὴν, ἥ οἱ πολλὴ ἀπὸ κρατὸς κελάρυζεν.
Ἀλλ' οὐδ' ὣς ὀχεδίης ἐπελήθετο, τειρόμενός περ,
Ἀλλὰ μεθορμηθεὶς ἐν κύμασιν, ἐλλάβετ' αὐτῆς·
Ἐν μέσῃ δὲ κάθιζε, τέλος θανάτοιο ἀλεείνων.
Τὴν δ' ἐφορεῖ μέγα κῦμα κατὰ ῥόον ἔνθα καὶ ἔνθα.
Ὡς δ' ὅτ' ὀπωρινὸς Βορέης φορέῃσιν ἀκάνθας
Ἀμπεδίον, πυκιναὶ δὲ πρὸς ἀλλήλῃσιν ἔχουσ'·
Ὣς τὴν ἀμπέλαγος ἄνεμοι φέρον ἔνθα κ' ἔνθα.

312 ΛΕΥ. Ἀδόξῳ, ἢ ἀδυνάτῳ, ἢ τῷ ἀϊδρύτου. ΕΙ. Πέπωτο. ΑΔ. Ἀποβαινεῖν.
313 ΕΛ. Ἔπαισιν, συνέχρησεν, ἔπληξεν. ΑΚ. Κατὰ κεφαλῆς· ἢ ἀντὶ τοῦ ὅλως· καὶ γὰρ, κατ' ἄκρας πόλιν ἐλεῖν, φαμέν.
314 ΕΛ. Ἔσεισεν.
316 ΠΡΟ. Ἀφῆκεν, ἐξέλασεν.
318 ΣΠΕΙ. Νωῖ τὸ ἄρμενον.
319 ΥΠ. Ὑποβρύχιον· βέλτιον δὲ λέγειν τὸ καταδυόμενον εἰς τὸ ὕδωρ.
320 ΑΝ. Ἥττοι ἀντιοχεῖν, ἢ ἀντιλαβεῖν.
323 ΚΡΑ. Κεφαλῆς. ΚΕ. Μετὰ ἦχου ἔρρια.
324 ΤΕΙ. Καὶ κατεπονήθη.
325 ΕΛ. Ἐπιλάβοιτο, κατίσχοι.
326 ΘΑ. Τοῦ θανάτου.
327 ΚΑ. Κατὰ τὸ ῥεῦμα.
328 ΟΠ. Ὁ ἐν τῷ καιρῷ τῆς ὀπώρας, ὅ ἐστιν ἐν τῷ θέρει πνέων. ΦΟ. Φέροι, κεφίζοι.
329 ΕΧ. Ἀντίσχονται.

Ἄλλοτε

Ἄλλοτε μέν τε Νότος Βορέῃ προβάλεσκε φέρεσθαι,
Ἄλλοτε δ' αὖτ' Εὖρος Ζεφύρῳ εἴξασκε διώκειν.
Τὸν δὲ ἴδεν Κάδμοιο θυγάτηρ, καλλίσφυρος Ἰνώ,
Λευκοθέη, ἣ πρὶν μὲν ἔην βροτὸς αὐδήεσσα,
Νῦν δ' ἁλὸς ἐν πελάγεσσι θεῶν ἐξέμμορε τιμῆς.
Ἡ ῥ' Ὀδυσῆ ἐλέησεν ἀλώμενον, ἄλγε' ἔχοντα,
Αἰθυίῃ δ' εἰκυῖα ποτῆ ἀνεδύσατο λίμνης·
Ἵζε δ' ἐπὶ σχεδίης πολυδέσμοιο, εἶπέ τε μῦθον·
" Κάμμορε, τίπτε τοι ὧδε Ποσειδάων ἐνοσίχθων
" Ὠδύσατ' σκιπάγλως, ὅτι τοι κακὰ πολλὰ φυτεύει;
" Οὐ μὲν δή σε καταφθίσει, μάλα περ μενεαίνων.
" Ἀλλὰ μάλ' ὧδ' ἔρξαι, (δοκέεις δέ μοι οὐκ ἀπινύσσειν,)
" Εἵματα ταῦτ' ἀποδύς, σχεδίην ἀνέμοισι φέρεσθαι
" Κάλλιπ'· ἀτὰρ χείρεσσι νέων, ἀπτιμάλλεο νόσφι
" Γαίης Φαιήκων, ὅθι τοι μοῖρ' ἐστὶν ἀλύξαι.
" Τῇ δὲ τόδε κρήδεμνον ὑπὸ στέρνοιο πάνυσσαι

331 ΠΡΟ. Προϊοῦσάλιτο, ἀΘή.

332 ΕΙΞ. Παρεισχώρει.

333 ΘΥ. Ἐλεεῖ αὐτὸν, ὡς ἄνθρωπος χλυομένην, Ἰνὼ, ἡ ὅτι ἦν φιλογύνης ὁ Ὀδυσσεύς· ἡ ᾗ ἀφ' ἃ τ' Ἀθάμαντα ἐδυσύχησεν· οὐκ ἐναυλᾶται ᾗ τῷ Ποσειδῶνι. Καὶ εἶπεν ἃ εἶδεν, ὅτι δεῖ σωθῆναι αὐτόν. ΚΑ. Καλὰ σφύρα ἔχουσα, ὁ ἐστὶ πέδας.

334 ΛΕΥ. Λευκοθέα ἐκλήθη ἡ Ἰνὼ, ἀπὸ ᾗ θεῦσαι, ὅ ἐστι θραμεῖν. ἀφ' τοῦ λειχομένην Λευκοῦ πεδίον τῆ Μεγαρίδος. ΑΥ. Ἤτοι ἀφοσίωτος ἀφ' τὰ συμβάντα· ἢ ἐπεὶ οἱ ἄνθρωποι φοινίττοντες τοὺς τὰ ἄλλα ζῶα. Πρὶν ἐδήσατο· ἡ ἐπίγειός ποτε.

335 ΕΞ. Μοῖραν ἔχει τιμῆς.

337 ΑΙ. Σὺν τῷ ν χαπλέον, ἵν' ᾖ πλῆσιν, ὡς τῷ ἐρινὺν ἀπαλλαττομένην μέν τοι ἔικυῖαν τῇ αἰθυίᾳ, ὡς καὶ ἡ Ἀθηνᾶ, Ὄρνις δ' ὡς ἀνόπαια διέπτατο, κὴ, Φλοιὸν ἐδαμέντα. αἰθυίᾳ ᾗ εἶδος ὀρνιθαλασσίς. ΠΟ. Τῇ πλήσῃ. Ἢ, ποτὶ, τῷ πλῆσιν.

340 ΩΔ. Ὀργίσθη. ΕΚ. Πάνυ ἰσχνῶς.

341 ΚΑ. Φθερεῖναι ποιήσῃ.

342 ΕΡ. Περῶν. ἀπαρέμφατον, ἀντὶ προστακτικοῦ. ΔΟΚ. Δοκεῖς, νομίζῃς. ΑΠ. Οὐκ εἶναι ἀσύνετος.

344 ΚΑΑ. Καπίλιπε, ἔασον. ΝΕ. Νηχόμενον, κολυμβῶν. ΕΠ. Ἔφισο, ἴφικνοῦ.

345 ΑΛ. Ἐκφυγεῖν.

346 ΤΗ. Λάθοι, δωρικῶς. ΚΡΗ. Κιφαλόδισμον. ΤΑ. Ἁπλῶσαι, ἀντὶ ᾧ ἅπλωσον.

" Ἀμβρεπὲς

"Ἄμβροτον· ἀδέν τοι παθέειν δέος, οὐδ' ὀτολέθρῳ.
"Αὐτὰρ ἐπὴν χείρεσσιν ἐφάψεαι ἠπείροιο,
"Ἂψ ἀποδυσάμενος βαλέειν εἰς οἶνοπα πόντον,
"Πολλὸν ἀπ' ἠπείρου, αὐτὸς δ' ἀπὸ νόσφι τραπέσθαι.
Ὣς ἄρα φωνήσασα θεὰ κρήδεμνον ἔδωκεν,
Αὐτὴ δ' ἂψ ἐς πόντον ἐδύσατο κυμαίνοντα,
Αἰθυίῃ εἰκυῖα· μέλαν δέ ἑ κῦμα κάλυψεν.
Αὐτὰρ ὁ μερμήριξε πολύτλας δῖος Ὀδυσσεύς,
Ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
"Ὤ μοι ἐγώ, μήτις μοι ὑφαίνησιν δόλον ἄλλον
"Ἀθανάτων, ὅτε μ' ἐχέδης ἀποβῆναι ἀνώγῃ.
"Ἀλλὰ μάλ' οὔπω πείσομ'· ἐπεὶ ἐκὰς ὀφθαλμοῖσι
"Γαῖαν ἐγὼν ἰδόμην, ὅθι μοι Φάτο φύξιμον εἶναι.
"Ἀλλὰ μάλ' ὧδ' ἔρξω, δοκέει δέ μοι εἶναι ἄμεινον·
"Ὄφρ' ἂν μέν κεν δέρατ' ἐν ἁρμονίῃσιν ἀρήρῃ,
"Τόφρ' αὐτῇ μενέω καὶ τλήσομαι ἄλγεα πάσχων·
"Αὐτὰρ ἐπὴν δὴ μοι σχεδίην διὰ κῦμα πνάξῃ,
"Νήξομ'· ἐπεὶ ὀ μέν τι πάρα προνοήσαι ἄμεινον.
Ἕως ὁ ταῦθ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν,
Ὦρσε δ' ἐπὶ μέγα κῦμα Ποσειδάων ἐνοσίχθων,
Δεινόν τ', ἀργαλέον τε, κατηρεφές· ἤλασε δ' αὐτόν·
Ὡς δ' ἄνεμος ζαὴς ἠΐων θημῶνα τινάξῃ

348 ΕΦ. Ἐπιλάθῃ.
350 ΠΟΛ. Ἵνα μὴ τὸ κῦμα ἀκάμασῃ.
356 ΥΦ. Κατασκιάζῃ.
358 ΠΕΙ. Πειθήσομαι.
359 ΦΥ. Φύκτον.
360 ΕΡ. Πρᾶξω.
361 ΑΡ. Ἥρμοσται.
364 ΝΗ. Κολυμβᾷτε. ΠΑΡ. Τάτε κρεῖττον ἢ μὴ πάρεστι νοῆσαι.
365 ΩΡ. Διενοεῖτο.
367 ΚΑ. Ὑψηλὸν, ἐπιστρατεύσαν καὶ κατακαλύψαν αὐτόν.
368 ΖΑ. Μεγάλως πίων, πολύπους. ΗΙ. Ἀχύρων, παρὰ τὸ ἴεσθαι φέρεσθαι ταχέως τὸ ἄχυρον. δηλοῖ δὲ καὶ τὰ βρώμασι ἐφόδια. ΘΗ. Σωρόν.

Καὶ φαλέων,

Καρφαλέων, τὰ μὲν ἄρ τε διεσκέδασ' ἄλλυδις ἄλλη·
Ὡς τὸ δόρατε μακρὰ διεσκέδασ'· αὐτὰρ Ὀδυσεὺς
Ἀμφ' ἐνὶ δόρατι βαῖνε, κέληθ' ὡς ἵππον ἐλαύνων,
Εἵματα δ' ἐξαπέδυνε, τά οἱ πόρε δῖα Καλυψώ.
Αὐτίκα δὲ κρήδεμνον ὑπὸ στέρνοιο τάνυσεν·
Αὐτὸς ἢ πεζὸς ἀλὶ κάππεσε, χεῖρε πεπάσας,
Νηχέμεναι μεμαώς· ἴδε δὲ κρείων Ἐνοσίχθων,
Κινήσας δὲ κάρη πρὸς ὃν μυθήσατο θυμόν·
" Οὕτω νῦν κακὰ πολλὰ παθὼν ἀλόα κατὰ πόντον,
" Εἰσόκεν ἀνθρώποισι διοτρεφέεσσι μιγείης·
" Ἀλλ' ὁδ' ὡς σε ἔολπα ὀνόσεσθαι κακότητος.
Ὡς ἄρα φωνήσας, ἴμασεν καλλίτριχας ἵππους,
Ἵκετο δ' εἰς Αἰγὰς, ὅθι οἱ κλυτὰ δώματ' ἔασιν.
Αὐτὰρ Ἀθηναίη, κούρη Διὸς, ἄλλ' ἐνόησεν·
Ἤτοι τὰ ἄλλων ἀνέμων κατέδησε κελεύθους,
Παύσασα δ' ἐκέλευσε πρὸς εὐνηθῆναι ἅπαντας·
Ὦρσε δ' ἐπὶ κραιπνὸν Βορέην, πρὸ δὲ κύματ' ἔαξεν,
Εἰς ὅτε Φαιήκεσσι φιληρέτμοισι μιγείη
Διογενὴς Ὀδυσεύς, θάνατον καὶ κῆρας ἀλύξας.
Ἔνθα δύω νύκτας, δύο δ' ἤματα κύματι πηγῷ

369 ΚΑΡ. Ξηρῶν. ΔΙ. Διεσκόρπισεν. ΑΛ. Ἄλλα ἀλλαχόσε.
371 ΚΕ. Ὡς κίλης, ὅ ἐστιν ὁ ἄζυκτος ἵππος. ΒΑΙ. Περιΐσασιν. ΚΕ. Μόνον ἵππον.
372 ΕΞ. Ἀπεδύσετο.
374 ΠΡΗ. Ἐπὶ πρόσωπον.
375 ΝΗ. Νήχεσθαι, κολυμᾶν.
377 ΑΛ. Πλανῶ.
379 ΟΝ. Ἐξόπιλήσειν τὸν κάκωσιν, ἢ μέμψασθαι.
381 ΑΙ. Πάλιν τὴν Ἀχαΐαν· οἱ δὲ νῆσον πρὸ τῆς Εὐβοίας, ἱερὰν Ποσειδῶνος.
383 ΚΑ. Κατέχει, ἔπαυσεν. ΚΕ. Νοῦν τοὺς ποδάς.
385 ΚΡΑΙΠ. Ταχὺν, ἢ ὀξύν. ΕΑΞ. Κατέαξε τὰ τῶν ἄλλων ἀνέμων κύματα· ἐπιφέρει γὰρ, μεγάλα ὑπὸ κύματος ἀφθέα.
388 ΠΗ. Οἱ μὲν γλωσσογράφοι, μέλανι καὶ ἰχυρῷ· πῶς γὰρ λευκαίνων κρείσσων, εὐπαγεῖ καὶ εὐτραφεῖ καὶ εὐμιγέϊ.

Πλάζε-

Πλάζεθ· πολλὰ δέ οἱ κραδίη προλιάσατ' ὄλεθρον.
Ἀλλ' ὅτε δὴ τρίτον ἦμαρ ἐϋπλόκαμος τέλεσ' ἠὼς,
Καὶ τότ' ἔπειτ' ἄνεμος μὲν ἐπαύσατο, ἠδὲ γαλήνη
Ἔπλετο νηνεμίη· ὁ δ' ἄρα σχεδὸν ἔισιδε γαῖαν,
Ὄξυ μάλα προϊδών, μεγάλα ὑπὸ κύματος ἐλθεῖς.
Ὡς δ' ὅταν ἀσπάσιος βίοτος παίδεσσι φανείη
Πατρὸς, ὃς ἐν νόσῳ κεῖται κρατερὰ πεπαχυῖα,
Δηρὸν τηκόμενος, στυγερὸς δέ οἱ ἔχραε δαίμων,
Ἀσπάσιον δ' ἄρα τόν γε θεοὶ κακότητος ἔλυσαν·
Ὡς Ὀδυσῆι ἀσπασὸν ἐείσατο γαῖα καὶ ὕλη·
Νῆχε δ', ἐπειγόμενος ποσὶν ἠπείρου ἐπιβῆναι·
Ἀλλ' ὅτε τόσσον ἀπῆν, ὅσσον τε γέγωνε βοήσας,
Καὶ δὴ δεῦτερον ἄκουσε ποτὶ παιπαλόεσσι θαλάσσης·
Ῥόχθεῖ γὰρ μέγα κῦμα ποτὶ ξερὸν ἠπείροιο
Δεινὸν ἐρευγόμενον, εἴλυτο δ' ἠπύτα ἅλὸς ἄχνη·
Οἱ γὰρ ἔσαν λιμῆρες, νηῶν ὄχοι, ἀλλ' ἐπιωγαί,
Ἀλλ' ἀκτὴ προβλῆτες ἔσαν, παιπαλόες τε, πάγοι τε.

389 ΠΛΑ. Ἐπλωτάτο, ἀντιπαίλαζε τὴν γῆ. ΟΛ. Ἐν ὀφθαλμοῖς γὰρ φωτὸς ἐστὶν ἡ ἐκατὸν ἀπόλειαν.
392 ΝΗ. Ἠσυχθ., χωρὶς ποδῶν.
393 ΑΡ. Ἐπερρὶς, καθιδίως.
394 ΒΙ. Βίθ., ζωή.
395 ΚΡΑ. Ἰχυρά. ΑΛ. Νῶν ὁ ὕπνος.
396 ΕΧ. Ἐπίσκηψεν, ἢ ἐπιθάλπησεν, ἢ χῶ βλαῶδες ἐπῆλθεν.
397 ΚΑ. Τὸ κινδύνῳ τ' νόσῳ.
398 ΑΣ. Ἐπιθυμητόν.
399 ΝΗ. Ἐνήχετο, ἀκολύθως.
400 ΑΠ. Ἀφεστηκέ. ΟΣ. Ὡστ' ἠδύνατο βοήσαι τι.
401 ΣΠΙ. Ὑψάλοις πέτραις.
402 ΡΟΧ. Πιὸν ἦχον ἀπειλῆς. ΞΕ. Πρὸς τὸ ξερὸν τ' γῆς· λίχμη δ' τὸ πετρώδες τ' ἀκτῆς.
403 ΕΡ. Μετὰ ἦχον λιθάδων, ἀκροκαταρράκτων. ΕΙ. Ἐκκάλυπτο. ΑΧ. Τῷ λεπτομερεστάτῳ τοῦ ἀφροῦ, ἢ τῇ ἀκροτάτῃ.
404 ΝΗ. Οἱ σωτήριοι τὰς ναῦς· ἢ ἐφ' ὧν ὀχοῦνται οἱ ναῦται. ΕΠ. Οἱ ἀνίεμεν σκάφη ἔχοντες τοῦτο· ἢ αἱ ἐξοχαὶ τῶν πλαγίων αἰγιαλῶν.
405 ΑΚ. Ἐξοχαί. ΠΡΟ. Αἱ ἀνωφελέστεραι τῆς θαλάσσης πέτραι. ΣΠΙ. Αἱ διεστραμμέναι τῶν κεκυλισμέναι πέτραι, ὑπὸ τῆς πλήξεως τ' κυμάτων. ΠΑ. Οἱ ὀξεῖς τόποι, αἱ πετρώδεις ἐξοχαὶ, ἢ εἰς ὑψηλὰ ἀνέχουσι πέτραι, ἀνατεταμένοι τόποι.

Καὶ τότ' Ὀδυσῆος λύτο γένατα καὶ φίλον ἦτορ,
Ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
"Ὤ μοι ἐπειδὴ γαῖαν ἀελπέα δῶκεν ἰδέσθαι
" Ζεὺς, καὶ δὴ τόδε λαῖτμα διαμήσας ἐπέρησα,
" Ἔκβασις ὄφρα φαίνεθ' ἁλὸς πολιοῖο θύραζε· 410
" Ἐκποθεν μὲν γὰρ πάγοι ὀξέες, ἀμφὶ δὲ κῦμα
" Βέβρυχεν ῥόθιον, λιστὴ δ' ἀναδέδρομε πέτρη,
" Ἀγχιβαθὴς δὲ θάλασσα· καὶ ὄφρα ἐσὶ πόδεσσι
" Στήμεναι ἀμφοτέροισι, καὶ ἐκφυγέειν κακότητα,
" Μήπως μ' ἐκβαίνοντα βάλῃ λίθακι ποτὶ πέτρῃ 415
" Κῦμα μέγ' ἀρπάξαν, μελέη δέ μοι ἔσσεται ὁρμή.
" Εἰ δέ κ' ἔτι ποτέρω παρανήξομαι, ἤν πῃ ἐφεύρω
" Ἠιόνας τε παραπλῆγας, λιμένας τε θαλάσσης,
" Δείδω, μή μ' ἐξαῦτις ἀναρπάξασα θύελλα
" Πόντον ἐπ' ἰχθυόεντα φέρῃ, βαρέα στενάχοντα, 420
" Ἢ ἔτι μοι καὶ κῆτος ἐπισσεύῃ μέγα δαίμων
" Ἐξ ἁλὸς, οἷά τε πολλὰ τρέφει κλυτὸς Ἀμφιτρίτη·
" Οἶδα γὰρ, ὡς μοι ὀδώδυσται κλυτὸς Ἐννοσίγαιος.
Ἦος ὁ ταῦθ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμὸν,
Τόφρα δέ μιν μέγα κῦμα φέρεν τρηχεῖαν ἐπ' ἀκτὴν. 425

408 ΑΕΛ. Ἀνίλπιστον.

412 ΒΕ. Ηχῇ, βοᾷ, βρέμει, βρυχᾶται. ΡΟ. Ἀπὸ δὲ γινομένη ἦχου τὸ σημαινόμενον, ἢ ῥοίζῳ φερόμενον, καὶ ὀρμητικόν. ΑΙ. Ἡ λέαξ καὶ ὁμαλή. ΑΝ. Ἀνατάνῃ, ἀνῆκεν εἰς ὕψος.

413 ΑΓ. Ἡ ἐγγὺς τῆς γῆς βάθος ἔχουσα.

415 ΑΙ. Λιθώδη πέτρα ὑποπεπωκυῖα τῇ θαλάσσῃ, ἢ ἐξέχουσα.

416 ΜΕ. Ματαία.

418 ΗΙ. Αἰχαλὲς. ΠΑ. Τὰς ἐκ πλαγίας καὶ ἐχὶ αντικρὺ, ἢ ὁμαλὰς τόπους· τινὲς δὲ τὰς ἀπὸ κυμάτων παρεπλησιασμένας λιμένας, ἐπιθαλασσίους.

419 ΘΥ. Ἀνίμων συμφορή.

420 ΣΤΕ. Στενάζοντα.

422 ΑΜ. Ἀπὸ δὲ δαίμονος ἡ θάλασσα.

423 ΟΔ. Κεχολώσηται, ὀργίσηται.

Ἐνθ'

Ἔνθ' ἀπὸ ῥινός τε δρύφθη, σύν τ' ὀστέ' ἀράχθη,
Εἰ μὴ ἐπὶ φρεσὶ θῆκε θεὰ γλαυκῶπις Ἀθήνη·
Ἀμφοτέρῃσι δ' χερσὶν ἐπεστύμενος λάβε πέτρης,
Τῆς ἔχετο στενάχων, εἵως μέγα κῦμα παρῆλθε.
Καὶ τὸ μὲν ὣς ὑπάλυξε· παλιρρόθιον δέ μιν αὖτις
Πλῆξεν ἐπεστύμβον, τηλοῦ δέ μιν ἔμβαλε πόντῳ.
Ὡς δ' ὅτε πολύποδος θαλάμης ἐξελκομένοιο
Πρὸς κοτυληδονόφιν πυκιναὶ λάιγγες ἔχονται·
Ὡς τοῦ πρὸς πέτρῃσι θρασειάων ἀπὸ χειρῶν
Ῥινοὶ ἀπέδρυφθεν· τὸ δὲ μέγα κῦμα κάλυψεν.
Ἔνθα κε δὴ δύσηνος ὑπὲρ μόρον ὤλετ' Ὀδυσεύς,
Εἰ μὴ ἐπφροσύνην δῶκε γλαυκῶπις Ἀθήνη·
Κύματος ἐξαναδύς, τά τ' ἐρεύγεται ἠπειρόνδε,
Νῆχε παρὲξ ἐς γαῖαν ὁρώμενος, εἴπερ ἐφεύροι
Ἠϊόνας τε παραπλῆγας, λιμένας τε θαλάσσης.
Ἀλλ' ὅτε δὴ ποταμοῖο κατὰ στόμα καλλιρόοιο
Ἷξε νέων, τῇ δή οἱ ἐείσατο χῶρος ἄριστος,
Λεῖος πετράων, καὶ ὑπὶ σκέπας ἦν ἀνέμοιο·

426 ΡΙ. Δίρμα. ΔΡΥ. Ἀπεδάρη, ἐξεστασράχθη, ἐξέσθη. ΑΡ. Σωτῆρίσιν, ἢ ἐρράγη.

428 ΕΠ. Ἐφορμήσας. ΛΑ. Ἐπλάσετο.

429 ΣΤΕ. Σπινάζων.

430 ΥΠ. Ἐξέφυγεν. ΠΑ. Παλινόρμητον, εἰς τὸ πίσω φερόμενον, ἐκ δ' ἀντικρὺ ῥέοντος.

431 ΕΠ. Ἐπιλὸν τὸ κῦμα.

432 ΠΟΥ. Τῦ ὀκτάποδος· ἔσθ' δὲ ἰχθὺς ὁ ὀκτάπους. ΘΑ. Φωλεῦ, κοιλαίνεις.

433 ΚΟ. Πρὸς ταῖς κοτυληδόσι. κοτυληδόνες δέ εἰσιν αἱ τοῦ πολύποδος πλικτάναι, ἐναντίως ἢ ὠθοῦνται. ΠΥ. Πυκναὶ, στοιχεῖς. ΛΑ. Μικρᾷ λιθάδια, ἢ μικραὶ ψῆφοι.

435 ΡΙ. Τὰ δέρματα. ΑΠ. Ἀπεδρύφησαν, ἀπεσπάσθησαν, ἀπεξέσθησαν.

436 ΔΥΣ. Ἄθλιος.

437 ΕΠ. Σύνεσιν, ἐπίνοιαν.

438 ΕΞ. Ἀνιλθών. ΕΡ. Μετὰ ἦχα ὑποστρέψας.

441 ΣΤΟ. Τῷ ἔστδον. ΚΑ. Καλὰ ῥεύματα ἔχοντα.

442 ΙΞ. Ἀφίκεσθαι, παραγίνεσθαι. ΧΩ. Τόπος.

443 ΣΚΕ. Σκέπη.

Ἔγνω δὴ πορέοντα, κὴ εὔξατο ὃν κατὰ θυμόν·
" Κλῦθι, ἄναξ, ὅστ' ἐστὶ πολύλλιτον δὲ σ' ἰκάνω,
" φεύγων ἐκ πόντοιο Ποσειδάωνος ἐνιπάς.
" Αἰδοῖος μὲν τ' ἐστὶ κὴ ἀθανάτοισι θεοῖσιν,
" Ἀνδρῶν ὅστις ἵκηται ἀλώμενος, ὡς κὴ ἐγὼ νῦν.
" Σόν τε ῥόον, σά τε γόνατ' ἱκάνω, πολλὰ μογήσας·
" Ἀλλ' ἐλέαιρε, ἄναξ· ἱκέτης δέ τοι εὔχομαι εἶναι.
Ὣς φάτ'· ὁ δ' αὐτίκα παῦσεν ἑὸν ῥόον, ἔσχε δὲ κῦμα·
Πρόσθε δέ οἱ ποίησε γαλήνην· τὴ δ' ἐσάωσεν
Ἐς ποταμὸν πορόχοας· ὁ δ' ἄρ' ἀμφὼ γόνατ' ἔκαμψε,
Χεῖράς τε σθαράς· ἀλὶ γὰρ δέδμητο φίλον κῆρ.
Ὡδὲ δὲ χρόα πάντα· θαλασσα δὲ κήκιε πολλὴ
Ἂν στόμα τε, ῥῖνάς τε· ὁ δ' ἄπνευστος κὴ ἄναυδος
Κεῖτ' ὀλιγηπελέων, κάματος δέ μιν αἶνὸς ἵκανεν.
Ἀλλ' ὅτε δὴ ῥ' ἄμπνυτο κὲ ἐς φρένα θυμὸς ἀγέρθη,
Καὶ τότε δὴ κρηδέμνου ἀπὸ ἕο λῦσε θεσίο.
Καὶ τὸ μὲν ἐς ποταμὸν ἁλιμυρήεντα μεθῆκεν,
Ἄψ δ' ἔφερεν μέγα κῦμα κατὰ ῥόον· αὖψα δ' ἄρ' Ἰνὼ
Δέξατο χερσὶ φίλῃσιν· ὁ δ' ἐκ ποταμοῖο λιαθεὶς
Σχοίνῳ ὑπεκλίνθη, κύσε δὲ ζείδωρον ἄρουραν·

444 ΕΓ. Ἐθαύμασα· ἢ ἠθέλησε.
445 ΠΟ. Πολυλιτάνευτον.
446 ΕΝ. Ἀπειλάς.
448 ΙΚ. Ἱκετεύσῃ.
449 ΙΚ. Ἀντὶ δὲ ἱκετεύω.
450 ΕΛ. Ἐλέησον. ΕΥ. Νῦν, λέγω.
451 ΕΣ. Ἐπέσχεν, ἔπαυσεν.
453 ΠΡΟ. Τὰ εἰς θαλασσαν ἐκ ποταμῶν ῥεόμενα, πικρὰ πορεύσεις.
454 ΔΕΔ. Ἐδεδάμασο. ΑΛΙ. Τῇ θαλάσσῃ καταπεπτωκὼς ἦν.
455 ΩΔ. Ἔνιοι, ᾠδήσειν ὀγκῷ. ΚΗ. Κατεῤῥεῖ, ἀνεφέρετο.
456 ΑΠ. Μὴ ἀκαπέων. ΑΝ. Ἀφανθῇ.
457 ΟΛ. Ὀλιγοψυχῶν. ΙΚ. Νῶν, σωσίχειρ.
460 ΑΛ. Ἐπιθελκῶς, τὰ εἰς θαλασσαν ἐξερυγόμενον. ΜΕ. Ἀφῆκεν.
462 ΔΕΞ. Ἑλκῶν. ΛΙ. Χωρισθείς.
463 ΣΧΟΙ. Εἶδος πόας, ἡ χοῖνιξ. ΥΠ. Ἐπέπεσεν. ΚΥ. Κατεφίλησεν.

Ὀχθήσας

Ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
"Ὤ μοι ἐγὼ, τί πάθω; τί νύ μοι μήκιστα γένηται;
"Εἰ μέν κ' ἐν ποταμῷ δυσκηδέα νύκτα φυλάξω,
"Μή μ' ἄμυδις σεύῃ τε κακὴ κὴ θῆλυς ἐέρση,
"Ἐξ ὀλιγηπελίης δαμάσῃ κεκαφηότα θυμόν·
"Αὔρη δ' ἐκ ποταμοῦ ψυχρὴ πνέῃ ἠῶθι πρό.
"Εἰ δέ κεν ἐς κλιτὺν ἀναβὰς Ἠ δάσκιον ὕλην,
"Θάμνοις ἐν πυκινοῖσι καταδραθῶ, εἴ με μεθείη
"Ῥῖγος κὴ κάματος, γλυκερὸς δέ μοι ὕπνος ἐπέλθῃ,
"Δείδω, μὴ θήρεσσιν ἕλωρ κὴ κύρμα γένωμαι.
Ὡς ἄρα οἱ Φρονέοντι δοάσσατο κέρδιον εἶναι·
Βῆ ῥ' ἴμεν εἰς ὕλην· τὴν δὲ σχεδὸν ὕδατος εὗρεν
Ἐν περιφαινομένῳ, δοιὼς δ' ἄρ' ἐπῆλυθε θάμνως,
Ἐξομόθεν πεφυῶτας· ὁ μὲν, φυλίης, ὁ δ' ἐλαίης.
Τὼς μὲν ἄρ' οὔτ' ἀνέμων μάλ' μένος ὑγρὸν ἀέντων,
Οὐδέποτ' ἠέλιος φαέθων ἀκτῖσιν ἔβαλλεν,
Οὔτ' ὄμβρος περάασκε διαμπερές. ὣς ἄρα πυκνὰ
Ἀλλήλοισιν ἔφυν ἐπαμοιβαδίς· οὓς ὑπ' Ὀδυσεὺς
Δύσετ'· ἄφαρ δ' εὐνὴν ἐπαμήσατο χερσὶ φίλῃσιν

466 ΔΥΣ. Χαλεπὴν, κακωτικήν.
467 ΑΜ. Ὁμῶς. ΣΤΙ. Ἡ σάχνη, κατὰ ἀντίφρασιν, ἢ τὸ ἐωθινὸν ψῦχος. ΘΗ. Θάλασσα. ΕΕΡ. Δρόσος.
468 ΟΛ. Ὀλιγοψυχίας. ΚΕ. Ἐκπεπονηκότα, ἢ κεκμηκομένον.
469 ΑΥ. Πνοή. ΗΩ. Πρὸ ἡμέρας.
470 ΚΛΙ. Τὴν ὑψηλὴν ᾠδόσασιν οἱ ὄρνιθες. ΔΑΣ. Δασύσκιον.
471 ΘΑΜ. Δασεῖ φυτοῖς. ΚΑΤ. Καθεύδοιμι, κατακοιμηθῶ. ΜΕ. Ἑαυτῷ.
474 ΚΕΡ. Ὠφέλιμον, κρεῖττον. ΦΓΟ. Βελτιούμενον.
476 ΠΕ. Περιλοιπομένην· ἀφ' ἣν τόπον οὐκ ἔστιν ὕλη, ἀλλὰ μόνον θάμνοι· τὸ δὲ ἀφ' αὐτὸν, ψιλόν.
477 ΕΞ. Ἐκ τοῦ αὐτοῦ τόπου. ΠΕ. Πεφυκότας, ἀναδεδομένους. ΦΥ. Εἶδος ἐλαίας τὸ καλλιέλαιος φυλίας.
478 ΔΙ. Διακριῖ, δίεισιν. ΑΕΝ. Πνεόντων.
481 ΕΦ. Ὑπῆρχον, ἐπεφύκεσαν. ΕΠ. Ἐπιπλεγμένοι συναλλάξ.
482 ΔΥ. Ἐπίδυ, ὑπεισῆλθεν. ΕΠ. Ἐπαυάσατο, ἐπισώρευσεν, ἐπέσκιασεν.

Εὐρεῖαν·

Εὐρεῖαν· φύλλων γὰρ ἔην χύσις ἠλιθα πολλὴ,
Ὅσσον τ' ἠὲ δύω, ἠὲ τρεῖς ἄνδρας ἐρύσθαι
Ὥρῃ χειμερίῃ· εἰ δὲ μάλα περ χαλεπαίνοι.
Τὴν μὲν ἰδὼν γήθησε πολύτλας δῖος Ὀδυσσεὺς,
Ἐν δ' ἄρα μέσῃ λέκτο, χύσιν δ' ἐπεχεύατο φύλλων·
Ὡς δ' ὅτε τις δαλὸν ποδὸς ἐνέκρυψε μελαίνης,
Ἀγρῷ ἐπ' ἐσχατιῆς, ὅθι μὴ σπέρμ' ἄλλοι γείτονες ἄλλοι,
Σπέρμα πυρὸς σώζων, ἵνα μή ποθεν ἄλλοθεν αὖοι·
Ὣς Ὀδυσσεὺς φύλλοισι καλύψατο· τῷ δ' ἄρ' Ἀθήνη
Ὕπνον ἐπ' ὄμμασι χεῦε, ἵνα μιν πάυσειε τάχιστα
Δυσπονέος καμάτοιο, φίλα βλέφαρ' ἀμφικαλύψας.

483 ΧΥ. Ἄθροισις, πλῆθος. ΗΛ. Ἀθρόως, δαψιλῶς.
484 ΕΡ. Ῥύσασθαι, σῶσαι, φυλάξαι.
485 ΩΡ. Ἐν τῇ δὲ χειμῶνος ὥρᾳ. ΧΑΛ. Χαλεπὸς ὑπὸ ῥίγους ἁψυθῆ.
487 ΛΕΚ. Ἐκοιμᾶτο.
488 ΔΑ. Διάπυρον ξύλον. ΣΠΟ. Κονίᾳ, στοδῷ.
489 ΕΣ. Ἐπ' ἐσχάτων μερῶν.
490 ΣΠΕΡ. Τὸν σποδηρὸν δὲ πυρός. ΑΥ. Ἐξάπλοι.
492 ΧΕΥ. Ἐπίσκλιν.
493 ΔΥΣ. Χαλεπὸν πόνον ἐπιφέροντος. ΑΜ. Περισκιπάσας.

ΥΠΟΘΕΣΙΣ

ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΟΔΥΣΣΕΙΑΣ Ζ

ΤΟΥ ΟΜΗΡΟΥ

ΡΑΨΩΔΙΑΣ.

Ἀθωᾶ ἐπιχάσα ὄναρ τῇ Ἀλκινόῳ θυγατρὶ Ναυσικάᾳ, κελεύῃ αὐτῇ τῷ ἰδῆσθαι ἐπὶ τὸν ποταμὸν ἀγαγέσθαι, πλύνειν· πλησίον γὰρ αὐτῇ εἶναι τὸν γάμον· ἡ δὲ τὰ κελευσθὲν ποιεῖ. Ἔπειτα παίζει μετὰ τῶν θεραπαινῶν· ἀκούσας δὲ αὐτῶν ὁ Ὀδυσσεὺς, ἐξυπνίζεται· καὶ δεηθεὶς Ναυσικάας, ἰδῆται καὶ προφὼ παρ' αὐτῆς λαβὼν, ἐπὶ αὐτὴν ἀπὸ τὴν πόλιν.

ΑΛΛΗ.

Ναυσικάᾳ, ἡ Ἀλκινόου θυγάτηρ, ὑπὸ ὀνείρου τραπεῖσα, ἐπὶ τὸν ποταμὸν κόμισι, πλύνασα τὼ ἰδῆται· μετὰ δὲ τὸ πλῦναι, παιδιά τις, ὁποία εἰκὸς, διὰ σφαίρας παῖς κόραις γίνεται. Ὀδυσεὺς δὲ, θορύβου γενομένου, διϋπνίσθη, καὶ ἰδῆτος τυχὼν, μίσχου τοῦ τῆς Ἀθωᾶς ἱεροῦ, ὃ πρὸ τῆς πόλεως ἦν, στεφάνου τῇ κόρῃ.

Ζῆτα ᾗ Ναυσικάα κόμιστ' ἐν Σχερίῃ Ὀδυσῆα.

Ὡς ὁ μὲν ἔνθα καθεῦδε πολύτλας δῖος Ὀδυσεὺς,
Ὕπνῳ καὶ καμάτῳ δεδμημένος· αὐτὰρ Ἀθήνη
Βῆ ῥ' ἐς Φαιήκων ἀνδρῶν δῆμόν τε πόλιν τε·
Οἳ πρὶν μέν ποθ' ἔναιον ἐν εὐρυχόρῳ Ὑπερείῃ,
Ἀγχοῦ Κυκλώπων, ἀνδρῶν ὑπερφιάλων,
Οἵ σφέας σίνεσκοντο, βίηφι δὲ φέρτεροι ἦσαν.
Ἔνθεν ἀναστήσας ἄγε Ναυσίθοος θεοειδὴς,
Εἶσεν δ' ἐν Σχερίῃ ἐκὰς ἀνδρῶν ἀλφηστάων·
Ἀμφὶ δὲ τεῖχος ἔλασσε πόλῃ, καὶ ἐδείματο οἴκους,
Καὶ νηὸς ποίησε θεῶν, καὶ ἐδάσατ' ἀρούρας.
Ἀλλ' ὁ μὲν ἤδη κηρὶ δαμεὶς ἄϊδόσδε βεβήκει·
Ἀλκίνοος δὲ τότ' ἦρχε, θεῶν ἄπο μήδεα εἰδώς.
Τοῦ μὲν ἔβη πρὸς δῶμα θεὰ γλαυκῶπις Ἀθήνη,
Νόστον Ὀδυσσῆϊ μεγαλήτορι μηδιόωσα.

2 ΑΡ. Βεβλαμμένῳ· ἤτοι συλληπτικῶς, ὑπὸ μὲν γὰρ τῆς καμάτου ἐβλάπτετο, ὑπὸ δὲ ὕπνου ἐσώζετο· ἢ κατὰ ἀντίφρασιν, τὴν ἀχρυπνίαν, ὕπνον ἔφη· ἢ ἐπὶ τοῦ καμάτῳ πικτέον· εἶτα ἀρημένος, ὑπὸ δὲ Ποσειδῶνος βλαπτὸς, καὶ παρὰ θεὸς, ἢ κατεχόμενος.

4 ΕΥ. Πλατυχώρῳ, μεγάλῃ. ΥΠ. Οἱ μὲν τὴν ἐν Σικελίᾳ Καμαρῖναν· οἱ δὲ ἀπὸ δῆμου, ὑπὲρ τὴν ἡμῖν γινωσκομένην· ἄλλοι δὲ, ὅτι ἦν νῆσος ἑπτάπορος πλησίον τῆς τῶν Κυκλώπων χώρας.

5 ΥΠ. Ὑπερεχόντων τῇ ἠνορέῃ, ὅ ἐστι τῇ ἀνδρείᾳ, καὶ ἀφ' οὗτο ὑπερηφάνων.

6 ΟΙ. Οἵ τινες αὐτούς. ΣΙ. Ἐκάκωσι, ἠδίκησι, ἐβλαπτον.

7 ΑΝ. Ἀνακωμίσας, ἀποικίαν στελλάμενος.

8 ΕΙ. Νῦν, ἀντὶ δὲ ἱδρυσεν. ΣΧΕ. Ἡ δὲ Φαιάκων πόλις. ΑΛ. Τῶν εὐρέων καὶ ἐπιτηδείων ἀνδράσιν.

9 ΤΕΙ. Περιέτειναι, περιέβαλεν· ἢ ᾗ μεταφορᾷ, ἀπὸ δὲ ἐλαυνομένης σιδήρου· ἢ ἀπὸ δὲ ἐλάσεως, ὅ ἐστι πῆξαι καὶ σκάψαι. ΕΔ. Κατεσκεύασεν.

10 ΕΔ. Διεμερίσατο, ἢ ἐμέρισεν.

11 ΚΗ. Θανατηφόρῳ μοίρᾳ. Αἰ. Εἰς ᾅδου.

Βῆ

Βῆ δ' ἴμεν ἐς θάλαμον πολυδαίδαλον, ᾧ ἔνι κούρη
Κοιμᾶτ', ἀθανάτῃσι φυὴν καὶ εἶδος ὁμοίη,
Ναυσικάα, θυγάτηρ μεγαλήτορος Ἀλκινόοιο·
Πὰρ δὲ δύ' ἀμφίπολοι, Χαρίτων ἄπο κάλλος ἔχουσαι,
Σταθμοῖιν ἑκάτερθε, θύραι δ' ἐπέκειντο φαειναί.
Ἡ δ' ἀνέμου ὣς ὦκα πνοιὴ ἐπέσυτο δέμνια κούρης·
Στῆ δ' ἄρ' ὑπὲρ κεφαλῆς, καί μιν πρὸς μῦθον ἔειπεν,
Εἰδομένη κούρῃ ναυσικλειτοῖο Δύμαντος,
Ἣ οἱ ὁμηλικίη μὲν ἔῃσι, κεχάρισο δὲ θυμῷ·
Τῇ μιν ἐεισαμένη προσέφη γλαυκῶπις Ἀθήνη·
" Ναυσικάα, τί νύ σ' ὧδε μεθήμονα γείνατο μήτηρ;
" Εἵματα μέν τοι κεῖται ἀκηδέα, σιγαλόεντα·
" Σοὶ δὲ γάμος ὀχέδον ἐστίν, ἵνα χρὴ καλὰ μὲν αὐτὴν
" Ἐννυέμεν, τά τ' ἄλλοισι παρέχειν, οἵ κε σ' ἄγωσιν.
" Ἐκ γάρ τοι τάτων φάτις ἀνθρώπους ἀναβαίνει
" Ἐσθλή· χαίρουσιν δὲ πατὴρ καὶ πότνια μήτηρ.
" Ἀλλ' ἴομεν πλυνέουσι ἅμ' ἠοῖ φαινομένῃφι,
" Καί τοι ἐγὼ συνέριθος ἅμ' ἕψομαι, ὄφρα τάχιστα
" Ἐντύνεαι· ἐπεὶ ὄτι ἔτι δὴν παρθένος ἔσσαι·

15 ΠΟ. Πολυποίκιλον. Ω. Ἐν ᾧ.
17 ΘΥ. Ἡ Ναυσικαα.
19 ΣΤΑΘ. Τῶν παραστάδων. ΕΚ. Ἐφεστήκεσαν. ΕΠ. Ἐπικεκλιμέναι ἦσαν. ΦΑ. Λαμπραι.
20 ΔΕΜ. Στρώματα.
22 ΚΟΥ. Θυρατοί. ΝΑΥ. Ἐν τοῖς κοιτωνίτοις ἔρρεις ἐνδοξα.
23 ΟΜ. Ὁμήλιξ. ΚΕ. Πρεσβυτὴς ἦν, φίλατο.
25 ΜΕ. Ἀμελῶν, ῥᾳθυμῶν.
26 ΑΚ. Μηδὲ μιᾶς φροντίδος ἠξιωμένα, ἢ ἀτημέλητα, ἀφρόντιστα. ΣΥ. Ἄπαλα, ποικίλα· τὰ μὲν γὰρ σκληρὰ ἀντιπίπτει καὶ ἀντιτυπῆ· τὰ δὲ ἁπαλὰ ὑποπίπτει καὶ ἡσυχάζει.
28 ΕΝ. Ἐνδύσασθαι, ἀμφιέννυσθαι. ΤΑ. Ὡς ἔθος τοιαῦτα οντος.
29 ΦΑ. Διαθέσιμος χρῆσαι.
32 ΣΥΝ. Συνεργὸς, παρὰ τὸν ἁρμοδίως ἔρειν.
33 ΕΝ. Κοσμήσεως, πλύσεως, ὑποπτέσεως. ΕΣ. Ἕτη, χρῆσαι.

" Ἤδη γάρ σε μενῶν ὀρίζῃς κατὰ δῆμον
" Πάντων φαιήκων, ὅθι τοι γλυφὺ ἐστὶ ἑ αὐτῆ.
" Ἀλλ' ἄγ' ἐπότρυνεν πατέρα κλυτὸν ἠῶθι ϖεὸ
" Ἡμιόνους ϗ ἄμαξαν ἐφοπλίσαι, ἤ κεν ἄγῃσι
" Ζῶῤά τε, ϗὰ ϖέπλους, ϗ ῥήγεα σιγαλόεντα.
" Καὶ δέ σοι ὧδ' αὐτῆ ϖολὺ κάλλιον, ἢ ϖόδεστιν
" Ἔρχεσθ· ϖολὺν γὸ ἄπο ϖλωτοί εἰσι πόλησς.
Ἡ μὲν ἄῤ ὣς εἰπᾶσ' ἀπέβη γλαυκῶπις Ἀθλώη
Οὔλυμπόνδ', ὅθι φασὶ θεῶν ἕδος ἀσφαλὲς αἰεὶ
Ἔμμεναι· ὔτ' ἀνέμοισι τινάσσεται, ὔτε ϖοτ' ὄμβρῳ
Δεύεται, ὔτε χιὼν ἐπιπίλναται· ἀλλὰ μάλ' αἴθρη
Πέπλαται ἀννέφελος, λευκὴ δ' ἐπιδέδρομεν αἴγλη·
Τῷ ἔνι τέρπονται μάκαρες θεοὶ ἤματα πάντα·
Ἔνθ' ἀπέβη Γλαυκῶπις, ἐπεὶ Δμφέφρασδε κέρῃ.
Αὐτίκα δ' ἠὼς ἦλθεν ἐυθρονος, ἤ μιν ἔγειρε
Ναυσικάαν ἐὔπεπλον· ἄφαρ δ' ἀπεθαύμασ' ὄνειρον.
Βῆ δ' ἰέναι Δμὰ δώμαθ', ἵν' ἀγγείλειε τοκεῦσι,
Πατρὶ φίλῳ ϗ μητρί· κιχήσατο δ' ἔνδον ἐόντας.

35 ΟΘ. Οὐ τοπικὸν ἐπ νιῶ, ἀλλὰ θέλῃ λέγειν, ὦ εις· καὶ αὐτὴ ὀνομαζῃ τοῖς δρόμοις, τυτέστι, ὅτι εἰ εὐχθυης. χραφεται ϗ, ἤ τοι γλυφ.

36 ΕΠ. Παρορμησεν.

37 ΕΦ. Παρασκευάσω. Η. Ἤ τις ἄν. ΑΓ. Ἄρσι, φέρει, βαστάζοι.

38 ΖΩΣ. Τὰ ϖρὸς ζωνὸν ἐπιτηδεια σκεύματα. λέγῃ ὁ χιτῶνας, ἢ ζώνας.

40 ΠΛΥ. Οἱ τοποι, ὦν οις πλύνουσιν.

42 ΕΔ. Ἕδρασμα, κτίσμα.

43 ΤΙ. Κινεῖται.

44 ΕΠ. Προπειλάζῃ, ἐμπίπτῃ. Α!. Εὐδία.

45 ΠΕΠ. Ἀναπέπταται, ἀνέῳκται. ΑΝ. Νεφελῶν χωρίς. ἡ γὸ κορυφὴ ἡ τὸ Ὀλυμπυ ἐπεραινὸ καλειται. ὁ ὁ ἀκμονος ὑφ' Ὁμηρυ, ὅπ τ νεφελῶν ως τοῦ κατηστερισμένυ τόπυ, σωωνύμως αὐτῷ τῷ κατηστερισμένῳ καλεῖται. ΕΠ. Ἐπαπτει, ἐπιτείχει. Α!. Λαμπηδών.

46 ΤΩ. Ἐν τύτῳ.

47 ΔΙ. Διεσημανεν.

48 ΕΥ. Θρόνον νιῶ τ κεμάτεσιν λέγῃ τ ἠδς ἑαυτ· ϗ γαρ ἐστιν ἑῳαία ἡ χρὼς αὐτυ, ἡ νιὼ ἐρημένη.

50 ΑΓ. Ἐπικλήλη, ἔπει.

Ἡ μὲν

Ἡ μὲν ἐπ' ἐχάρη ἦσο, σὺν ἀμφιπόλοισι γυναιξὶν,
Ἠλάκατα τρωφῶσ' ἀλιπόρφυρα· τῷ ἦ θύραζε
Ἐρχομένῳ ξύμβλητο μέγ' κλειτὸς βασιλῆας
Ἐς βουλὴν, ἵνα μιν κάλεον φαίηκες ἀγαυοί.
Ἡ δὲ μάλ' ἄγχι στᾶσα φίλον πατέρα προσέειπε·
" Πάππα φίλ', οὐκ ἂν δή μοι ἐφοπλίσειας ἀπήνην
" Ὑψηλὴν, εὐκυκλον, ἵνα κλυτὰ εἵματ' ἄγωμαι
" Ἐς ποταμὸν πλυνέουσι, τά μοι ῥερυπωμένα κεῖται;
" Καὶ δέ σοι αὐτῷ ἔοικε μὴ πρώτοισιν ἑέσθαι,
" Βουλὰς βουλεύειν καθαρὰ χροῒ εἵματ' ἔχοντα·
" Πέντε δέ τοι φίλοι υἷες ἐνὶ μεγάροις γεγάασιν,
" Οἱ δύ' ὀπηδοῦντες, τρεῖς δ' ἡβῶσι θαλέθοντες·
" Οἱ δ' αἰεὶ ἐθέλουσι, νεόπλυτα εἵματ' ἔχοντες,
" Ἐς χορὸν ἔρχεσθαι· τὰ δ' ἐμῇ φρενὶ πάντα μέμηλεν.
Ὣς ἔφαθ'· αἴδετο γὰρ θαλερὸν γάμον ἐξονομῆναι
Πατρὶ φίλῳ· ὁ δὲ πάντα νόῳ, κὴ ἀμείβετο μύθῳ·
" Οὔτε τοι ἡμιόνων φθονέω, τέκος, οὔτε τευ ἄλλου.
" Ἔρχευ· ἀτάρ τοι δμῶες ἐφοπλίσσουσιν ἀπήνην

52 ΕΣ. Παρὰ τὴ ἐχάρη· ἐχάρη ἢ τόπος, ἐφ' ᾧ τὸ πῦρ καίει).

53 ΗΛ. Νῦν, τὰ ἕρια. ΣΤΡΩ. Σκρίφοι, ἐρχαζομένη. ΑΛ. Θαλασσοδόκαι. ΘΥ. Ἔξω.

54 ΞΥΜ. Σωίστυχι. ΚΛΕΙ. Ἐνδοῖς.

55 ΒΟΥ. Νωῖ, τὸν τόπον, ὅπου βουλεύονται.

57 ΠΑΠ. Προσφώνησις φιλοφρονητικὴ κατέρχεται πρὸς πιστοτέρου. ΕΦ. Παρασκευάσεται. ΑΠ. Ἅμαξαν.

63 ΟΠ. Γιγαμηκότες. ΗΙ. Ἀγαμοι. ΘΑ. Θάλλοντες, ἀκμάζοντες.

65 ΧΟ. Τὸ σωίδριον, τὸ ἄθροισμα, διδασκαλεῖα.

66 ΑΙ. Ἠχύθη, ἐστεράπη. ΘΑ. Θάλλειν ἢ ἀκμάζειν πιθανὰ. ΕΞ. Ὀνομαστὶ εἰπεῖν.

67 ΑΜ. Ἀντιπεκρίνιλο, ἐξ ἀμφιβόλης προσεφθίγγετο.

68 ΟΥ. Οὔπω τινός.

69 ΕΦ. Παρασκευάσεται.

" Ὑψηλὴν, εὔκυκλον, ὑπερτερίην ἀραρυῖαν.
Ὣς εἰπὼν, δμώεσσιν ἐκέκλετο· τοὶ δ' ὑπίθοντο·
Οἱ μὲν ἄρ' ἐκτὸς ἄμαξαν ἐύτροχον ἡμιονείην
Ὅπλεον, ἡμίονους δ' ὕπαγον, ζεύξαν δ' ὑπ' ἀπήνῃ·
Κάρη δ' ἐκ θαλάμοιο φέρεν ἐσθῆτα φαεινὴν,
Καὶ τὴν μὲν κατέθηκεν ἐυξέστῳ ἐπ' ἀπήνῃ·
Μήτηρ δ' ἐν κίστῃ ἐτίθη μνησείκακ' ἐδωδὴν,
Παντοίην, ἐν δ' ὄψα τίθη, ἐν δ' οἶνον ἔχευεν
Ἀσκῷ ἐν αἰγείῳ· (κάρη δ' ἐπεβήσετ' ἀπήνης·)
Δῶκε δὲ χρυσείῃ ἐν ληκύθῳ ὑγρὸν ἔλαιον,
Εἵως χυτλώσαιτο σὺν ἀμφιπόλοισι γυναιξίν.
Ἡ δ' ἔλαβεν μάστιγα καὶ ἡνία σιγαλόεντα,
Μάστιξεν δ' ἐλάαν· καναχὴ δ' ἦν ἡμιόνοιϊν.
Αἱ δ' ἅμοτον τανύοντο· φέρον δ' ἐσθῆτα, καὶ αὐτὴν,
Οὐκ οἴην· ἅμα τῇ γε καὶ ἀμφίπολοι κίον ἄλλαι.
Αἱ δ' ὅτε δὴ ποταμοῖο ῥόον εἰκαλέ' ἵκοντο,
Ἔνθ' ἦτοι πλυνοὶ ἦσαν ἐπηετανοὶ, πολὺ δ' ὕδωρ
Καλὸν ὑπεκπρορέῃ, μάλα περ ῥυπόωντα καθῆραι·

70 ΕΥ. Εὔτροχον· κύκλοι γὰρ, οἱ τροχοί. ΥΠ. Τῷ ἐπιθήμενον πλινθίῳ τῇ ἁμάξῃ, ὥθ' τὸ πλέονα βάρη φέρειν, ὑψηλοτάτῳ, ὃ καὶ πλινθίον καλεῖται ἢ τῷ ὑπερκύπτων τὸ ἁμάξης τετραγώνῳ ξύλῳ δεχομένῳ τὸ σύνθημον φορτίον.
71 ΔΜΩ. Θεραπαινῶν.
72 ΕΥ. Καλὰς τροχοὺς ἔχουσαν.
73 ΟΠ. Ἡτοίμαζον, παρεσκεύαζον. ΥΠ. Ἐξῆγον.
74 ΦΑ. Οὐ τότε ἦσαν φαεινὴν· ἐρρύπωσε γὰρ, ἀλλὰ τὴν τῇ φύσει καθαράν.
76 ΚΙΣ. Ἐδέσματοθήκη· οὐκ ἀποθεν δὲ ἐγκεῖσθαί τι ἐν αὐτῇ.
77 ΕΧ. Ἐνέχεεν, ἔσκλεν.
79 ΛΗ. Ἐλαιοδόχῳ ἀγγείῳ. ΥΓ. Οὐ τὸ τῇ φύσει ὑγρὸν, ἀλλὰ τὸ ὑγροποιόν.
80 ΕΙ. Νῦν, ἀντὶ δὲ ὅπως. ΧΥΤ. Λασιμίην ἀλείψαιτο· χύτλον γὰρ, τὸ μετ' ὕδατος ἔλαιον.
82 ΚΑ. Ψόφος, ἦχος.
83 ΑΜ. Ἀπληρωῖον. ΤΑ. Συνεχῶς ἐφέροντο.
84 ΚΙ. Ἐπορεύοντο.
86 ΕΠ. Συνεχεῖς, καὶ ἀεὶ ῥέοντες.
87 ΡΥ. Ῥυπαρὰ.

Ἔνθ'

Ἔνθ' αἶγ' ἡμιόνους μὲν ὑπεκπροέλυσαν ἀπήνης,
Καὶ τὰς μὲν σεῦαν ποταμὸν πάρα δινήεντα,
Τρώγειν ἄγρωστιν μελιηδέα· τὴ δ' ἀπ' ἀπήνης
Εἵματα χερσὶν ἕλοντο, καὶ ἐσφόρεον μέλαν ὕδωρ·
Στεῦσαν δ' ἐν βόθροισι θοῶς ἔριδα προφέρεσθαι.
Αὐτὰρ ἐπεὶ ῥ' ἀλυνάν τε, κάθηράν τε ῥύπα πάντα,
Ἐξείης πέτασαν ῥηγμῖν ἔνι, ἦχι μάλιστα
Λάϊγγας ποτὶ χέρσον ἀποπλύνεσκε θάλασσα.
Αἱ ἦ, λοεσσάμεναι, καὶ χριμσάμεναι λίπ' ἐλαίῳ,
Δεῖπνον ἔπειθ' εἵλοντο παρ' ὄχθῃσιν ποταμοῖο·
Εἵματα δ' ἠελίοιο μάλ' ἐρσήεντα αὐγῇ.
Αὐτὰρ ἐπεὶ σίτου πάρφθεν θμωαί τε, καὶ αὐτὴ,
Σφαίρῃ τὴ τ' ἄρ' ἔπαιζον, ἀπὸ κρηδέμνα βαλοῦσαι·
Τῇσι δ' Ναυσικάα λευκώλενος ἦρχετο μολπῆς·
Οἵη δ' Ἄρτεμις εἶσι κατ' οὔρεος ἰοχέαιρα,
Ἢ κατὰ Τηΰγετον περιμήκετον, ἢ Ἐρύμανθον,
Τερπομένη κάπροισι καὶ ὠκείῃς ἐλάφοισι,
Τῇ δὲ θ' ἅμα Νύμφαι, κοῦραι Διὸς Αἰγιόχοιο,

88 ΥΠ. Ἢ μὲν ὑσὸ, πλὼ ὑπίζοξιν δηλοῖ· καὶ ἡ σκ, πλὼ ἔκλυσιν τῆ ὑπόζυγίων· ἡ δὲ ωσὸ, πὸ λύσεως.
89 ΣΕΥ. Ἐδίωξαν. ΔΙ. Δίνας καὶ συροφὰς ἔχοντα.
90 ΑΓ. Εἶδος βοτάνης, ὅπερ ἐσὶ πόα χερτώδης.
92 ΣΤΕΙ. Ἐπάτων. ΒΟ. Τοῖς ἀρύσμασι. ΠΡΟ. Προσάλλοντας.
93 ΡΥ. Τὸν ῥύπον.
94 ΠΕ. Ἐξέτειναν.
95 ΛΑ. Τὰ μικρὰ λιθάρια, ἢ τὰς μικρὰς ψήφους. ΧΕΡ. Τῷ γῇ. ΑΠ. Ἔπλυνον, Ἀποπλύσκε. Ἀπέρριπτεν.
96 ΔΟ. Λουσάμεναι. ΧΡΙΣ. Ἀλειψάμεναι. ΛΙ. Λιπαρῶς.
97 ΔΕΙΠ. Ἄριστον. ΟΧ. Τοῖς χείλεσι δὲ πόμασι.
98 ΤΕΡ. Ξηραινθῆναι.
99 ΤΑΡ. Ἐκρεμάσθησαν.
102 ΕΙ. Περιοῦσαι, ἢ ἔρχεται. ΙΟ. Ἰοῖς περιπέμπει.
103 ΤΗ. Ὄρος τῆς Λακωνικῆς. ΠΕ. Ὑψηλόν. ΕΡ. Ὄρος τῆς Ἀρκαδίας, καὶ ποτα μός· ἔνθα ὁ Ἑρυμάνθιος κάπρος ἐν τούτοις δὴ λέων ἐγίνετο.
104 ΩΚ. Ὠκέαις, ταχέαις.

Ἔνθ'

Ἀγρονόμοι

Ἀγρονόμοι παίζουσι· γέγηθε δέ τε φρένα Λητώ·
Πασάων δ' ὕπερ ἦγε κάρη ἔχε ἠδὲ μέτωπα,
Ῥεῖα δ' ἀριγνώτη πέλε, καλαὶ δέ τε πᾶσαι·
Ὡς ἦγ' ἀμφιπόλοισι μετέπρεπε παρθένος ἁδμής.
Ἀλλ' ὅτε δὴ ἄρ' ἔμελλε πάλιν οἶκόνδε νέεσθαι,
Ζεύξασ' ἡμιόνους, πλύξασά τε εἵματα καλά,
Ἔνθ' αὖτ' ἄλλ' ἐνόησε θεὰ γλαυκῶπις Ἀθήνη,
Ὡς Ὀδυσεὺς ἔγροιτο, ἴδοι τ' εὐώπιδα κούρην,
Ἥ οἱ Φαιήκων ἀνδρῶν πόλιν ἠγήσαιτο.
Σφαῖραν ἔπειτ' ἔρριψε μετ' ἀμφίπολον βασίλεια·
Ἀμφίπολος μὲν ἄμαρτε, βαθείῃ δ' ἔμπεσε δίνῃ·
Αἱ δ' ἐπὶ μακρὸν ἄϋσαν· ὁ δ' ἔγρετο δῖος Ὀδυσεύς·
Ἐζόμενος δ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν·
"Ὤ μοι ἐγὼ, τέων αὖτε βροτῶν ἐς γαῖαν ἱκάνω;
"Ἦ ῥ' οἵγ' ὑβρισταί τε καὶ ἄγριοι, οὐδὲ δίκαιοι;
"Ἠὲ φιλόξεινοι, καί σφιν νόος ἐστὶ θεουδής;
"Ὥς με κεραάων ἀμφήλυθε θῆλυς ἀϋτὴ
"Νυμφάων, αἳ ἔχουσ' ὀρέων αἰπεινὰ κάρηνα,
"Καὶ πηγὰς ποταμῶν, καὶ πείσεα πιήεντα·
"Ἦ νύπου ἀνθρώπων εἰμὶ σχεδὸν αὐδηέντων;
"Ἀλλ' ἄγ', ἐγὼν αὐτὸς πειρήσομαι, ἠδὲ ἴδωμαι.

106 ΑΓ. Αἱ ἐπὶ τῇ ἄλσῳ νεμόμεναι, ἢ ἄγαλμα νέμουσαι.
108 ΑΡ. Μεγάλως καὶ γνωστὴ καὶ φοιτερά.
109 ΑΔΜ. Ἀδάμαστος, ἄχαμαι.
111 ΠΤΥ. Διπλώσασα, ἢ διπλοθήκας ποιήσασα.
113 ΕΓ. Ἐξανιστᾶσι. ΕΥ. Εὐφθαλμον· ὤπις γὰρ οἱ ὀφθαλμοί.
116 ΔΙ. Τῇ τῶν ὑδάτων συρροῇ.
117 ΑΥ. Ἐοίησαν.
121 ΘΕ. Θεοειδής, θεοῖς ὅμοιος· ἢ θεοειδὴς, ὁ θεοῖς ἀρίσκων, ἢ θεοῦ ἴσον αὐδώ.
122 ΑΥ. Νῦν, ἡ φωνή.
124 ΠΕΙ. Τὰς διύρους τόπους· περὶ τὸ πᾶσαι, ὅ ἐστι ποτίσαι.
125 ΑΥ. Εὐφώνων, εὐάρμοστον φωνῇ χεομένων.

Ὡς

Ὣς εἰπὼν θάμνων ὑπεδύσετο δῖος Ὀδυσεύς·
Ἐκ τυκινῆς δ' ὕλης τῶΐορθον κλάσε χειρὶ παχείῃ
φύλλων, ὡς ῥύσαιτο τεῦ χροὶ μήδεα φωτός.
Βῆ δ' ἴμεν, ὥςτε λέων ὀρεσίτροφος, ἀλκὶ πεποιθὼς, 130
Ὅς τ' εἶσ' ὐόμβρος τ' ἀήμβρος· ἐν δέ οἱ ὄσσε
Δαίεται· αὐτὰρ ὁ βουσὶν ἐπέρχεται, ἢ ὀΐεσσιν,
Ἠὲ μετ' ἀγροτέρας ἐλάφους· κέλεται δέ ἑ γαστὴρ,
Μήλων πειρήσοντα καὶ ἐς τυκινὸν δόμον ἐλθεῖν·
Ὣς Ὀδυσεὺς κέρῃσιν ἐϋπλοκάμοισιν ἔμελλε 135
Μίξεσθ', γυμνός περ ἐών· χρειὼ γὰρ ἵκανε.
Σμερδαλέος δ' αὐτῇσι φάνη, κεκακωμένος ἅλμῃ·
Τρέσαν δ' ἄλλυδις ἄλλη ἐπ' ἠιόνας τρηχείας·
Οἴη δ' Ἀλκινόου θυγάτηρ μένε· τῇ γὰρ Ἀθήνη
Θάρσος ἐνὶ φρεσὶ θῆκε, καὶ ἐκ δέος εἵλετο γυίων· 140
Στῆ δ' ἀντιαχομένη· ὁ δὲ μερμήριξεν Ὀδυσεὺς,
Ἢ γούνων λίσσοιτο λαβὼν, εὐώπιδα κούρην,
Ἢ αὔτως ἐπέεσσιν ὀπιπεύσειε μειλιχίοισι
Λίσσοιτ', εἰ δείξειε πόλιν, καὶ εἵματα δοίη.
Ὣς ἄρα οἱ φρονέοντι δοάσατο κέρδιον εἶναι 145
Λίσσεσθαι ἐπέεσσιν ὀπιπεύσειε μειλιχίοισι,

127 ΥΠ. Ὑπεξῆλθεν.
128 ΠΤΟΡ. Κλάδον, βλαστόν.
129 ΡΥΣ. Καλύψοι, σκεπάσει. ΜΗ. Νῦν, τὰ αἰδέσιμα μέρη, τὰ αἰδοῖα.
130 ΒΗ. Ὥρμησε ὡς ἀπίνας. ΟΡ. Ὀρέσι τροφόμενος.
131 ΥΟ. Βεβρεγμένος. ΑΗ. Ὑπὸ ἀνέμων καταπνεόμενος.
132 ΔΑΙ. Καίεται, πυρὶ ὁμοίως ἔχει. ΕΠ. Μετέρχεται.
134 ΠΕΙ. Πᾶσαν ληψόμενος.
135 ΕΥ. Εὐκόσμοις, ἀπὸ μέρους, τὸ πᾶν καλοῖς.
137 ΚΕ. Κακῶς ἁλμαίμενος.
138 ΤΡΕ. Φοβηθείσῃ ἔφυγεν. ΠΡΟ. Προσελθεῖν.
140 ΔΕ. Φόβον. ΕΙ. Ἀφέλετο.
141 ΑΝ. Νῷ, ἐξεταστίας ἀναγκαίας, καὶ μάστιγος.
142 ΛΙΣ. Παρακαλοίη.
143 ΑΥ. Οὕτως, ὡς ἔχει. ΑΠ. Ἐκ ἁλσυήμιος.
145 ΔΟ. Ἔδοξε.

Μὴ

Μή οἱ γᾶνα λαβόντι χολώσαιτο Φρένα κύρη.
Αὐτίκα μειλίχιον καὶ κερδαλέον Φάτο μῦθον·
" Γανυμήδ' σε, ἄναστα· θεός νύ τις, ἢ βροτὸς ἐστί.
" Εἰ μέν τις θεὸς ἐστὶ, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν,
" Ἀρτέμιδί σε ἔγωγε, Διὸς κύρη μεγάλοιο,
" Εἶδός τε, μέγεθός τε, Φυήν τ', ἄγχιστα εἴσκω·
" Εἰ δέ τις ἐστὶ βροτῶν, τοὶ ἐπὶ χθονὶ ναιετάουσι,
" Τρισμάκαρες μὲν σοί γε πατὴρ καὶ πότνια μήτηρ,
" Τρισμάκαρες δὲ κασίγνητοι· μάλα που σΦίσι θυμὸς
" Αἰὲν ἐυΦροσύνῃσιν ἰαίνεται, εἵνεκα σεῖο,
" Λαοσσόων τοιόνδε θάλος χορὸν εἰσιχνεῦσαν.
" Κεῖνος δ' αὖ περὶ κῆρι μακάρτατος ἔξοχον ἄλλων,
" Ὅς κέ σ' ἐέδνοισι βρίσας οἰκόνδ' ἀγάγηται.
" Οὐ γάρ πω τοιοῦτον ἴδον βροτὸν ὀΦθαλμοῖσιν,
" Οὔτ' ἄνδρ', ἔτε γυναῖκα· σέβας μ' ἔχει εἰσορόωντα.
" Δήλῳ δή ποτε τοῖον Ἀπόλλωνος ΩΔὰ βωμῷ
" Φοίνικος νέον ἔρνος ἀνερχόμενον ἐνόησα·
" (Ἦλθον γὰρ κἀκεῖσε, πολὺς δέ μοι ἕσπετο λαὸς
" Τὴν ὁδὸν, ἣ δὴ ἔμελλεν ἐμοὶ κακὰ κήδε' ἔσεσθαι·)
" Ὡς δ' αὐτως καὶ κεῖνο ἰδὼν, ἐτεθήπεα θυμῷ

147 ΧΟ. Ὀρχιοθείη.
148 ΚΕΡ. Σωιτῶν.
149 ΓΟΥ. Ἱκετεύω. ΑΝ. Βασιλεῦ, ἵκετοιμι.
156 ΕΥ. Θυμηδίαις. ΙΑΙ. Χαίρῃ, τέρπῃ.
157 ΛΕΥ. Βλεπόντων. ΘΑ. Βλέσσομαι. ΕΙΣ. Εἰσερχομένην, προσιομένην.
159 ΕΕΔ. Τοῖς ΩΘ γάμοις δώροις, μνήστροις. ΒΡΙ. Βαρήσας· Βρίζω γὰρ, τὸ γαμῶμαί ἐστι.
163 ΦΟΙ. Τὸν ἀναπεφύντα λίχνῃ φοίνικα τῇ Λητοῖ, ἣ ἐφαψαμένη ἀπεκύησεν. ΕΡ. Τὸ εὐθαλὲς δένδρον. ΑΝ. Αὐξικόμου.
164 ΗΛ. Πιθανῶς ἐμφαίνῃ τινὰ τῶν ἐπιφανῶν, ἵνα μὴ φορτικὸς, ἢ κωμικὸς εἶναι δόξῃ.
165 ΕΣ. Γενήσεσθαι.
166 ΕΤ. Ἐξεπλάγην.

" Δήν·

" Δήν· ἐπεὶ ὄπω τοῖον ἀνήλυθεν ἐκ δόρυ γαίης·
" Ὡς σὲ, γύναι, ἄχαμαί τε, τέθηπά τε, δείδιά τ' αἰνῶς
" Γόνων ἅψασθαι· χαλεπὸν δέ με πένθος ἱκάνει.
" Χθιζὸς ἐεικοστῷ φύγον ἤματι οἶνοπα πόντον·
" Τόφρα δέ μ' αἰεὶ κῦμα φόρει κραιπναί τε θύελλαι
" Νήσου ἀπ' Ὠγυγίης· νῦν δ' ἐνθάδε κάββαλε δαίμων,
" Ὄφρ' ἔτι που κἠ τῇδε πάθω κακόν· οὐδ' ὀΐω
" Παύσεσθ'· ἀλλ' ἔτι πολλὰ θεοὶ τελέουσι πάροιθεν.
" Ἀλλὰ, ἄναξ, ἐλέαιρε, σὲ γὰρ κακὰ πολλὰ μογήσας
" Ἐς πρώτῳ ἱκόμην· τοὺς δ' ἄλλων ὅτινα οἶδα
" Ἀνθρώπων, οἳ τλῶδε πόλιν κὴ γαῖαν ἔχουσιν.
" Ἄσχυ δέ μοι δείδεχον, δοὺς δὲ ῥάκος ἀμφιβαλέσθαι,
" Εἴτι που εἴλυμα πτείρων ἔχες ἐνθάδ' ἰοῦσα.
" Σοὶ δὲ θεοὶ τόσσι δοῖεν, ὅσσα φρεσὶ σῇσι μενοινᾷς,
" Ἄνδρα τε κὴ οἶκον, Ϲ ὁμοφροσύνην ὀπάσειαν
" Ἐσθλήν· οὐ μὲν γὰρ τὸ γε κρεῖσσον κὴ ἄρειον,
" Ἢ ὅθ' ὁμοφρονέοντε νοήμασιν οἶκον ἔχητον
" Ἀνὴρ ἠδὲ γυνή· πολλὰ ἄλγεα δυσμενέεσσι,
" Χάρματα δ' εὐμενέτῃσι· μάλιστα δέ τ' ἔκλυον αὐτοί.
Τὸν δ' αὖ Ναυσικάα λευκώλενος ἀντίον ηὔδα·
" Ξεῖν', ἐπεὶ ἤτε κακῷ, ὅτ' ἄφρονι φωτὶ ἔοικας,

167 ΔΟ. Δίνδρον.
168 ΑΓ. Θαυμάζω. ΤΕ. Καταπίπλημαι.
171 ΦΟ. Ἔφιριν. ΚΡ. Ταχῆαι, ὠξῆαι. ΘΥ. Αἱ συροφαὶ τῶ ἀνίμων.
176 ΙΚ. Ἱκέτιδα, ἀφικόμην.
179 ΕΙ. Ἐνέλημμι, κάλυμμα, περίβλημα. ΣΠΕΙ. Ἱματίων.
180 ΣΟΙ. Σωτῆρας ὁ Ὀδυσσεὺς πᾶσι σωτύχιται, ἃ μόνα ἀφ' ἑρπετίδων εἶναι.
181 ΟΜ. Γνησίαν φιλίαν. ΟΠ. Παρέχωσιν.
182 ΑΡ. Κρεῖττον, βέλτιον.
183 ΟΜ. Τὰ αὐτὰ βουλεύοντες.
185 ΧΑΡ. Χαραί. ΕΥ. Τοῖς φίλοις, τοῖς εὐμβυῶς ἀφικνουμένοις, Ϲ εὐνοοῦσιν. ΕΚ. Τῆς αὐτῆς ἀλκῆς εὐνοίας αὐξάνοντες κὴ ἀπολαύοντες.

" Ζεὺς δ' αὐτὸς νέμῃ ὄλβον Ὀλύμπιος ἀνθρώποισιν,
" Ἐσθλοῖς, ἠδὲ κακοῖσιν, ὅπως ἐθέλῃσιν, ἑκάστῳ·
" Καί πᾳ σοὶ τάδ' ἔδωκε, σὲ δὲ χρὴ τετλάμεν ἔμπης·
" Νῦν δ', ἐπεὶ ἡμετέρῃσι τε πόλιν καὶ γαῖαν ἱκάνεις,
" Οὔτ' ἂν ἐσθῆτος δηλήσεαι, ὅττε τεοῦ ἄλλα,
" Ὧν ἐπέοικ' ἱκέτῃσι ταλαπείριον ἀντιάσαντα.
" Ἄσσα δέ τοι δείδω, ἐρέω δέ τοι ἄνομα λαῶν.
" Φαίηκες μὲν τήνδε πόλιν καὶ γαῖαν ἔχουσιν·
" Εἰμὶ δ' ἐγὼ θυγάτηρ μεγαλήτορος Ἀλκινόοιο,
" Τῷ δ' ἐκ Φαιήκων ἔχεται κάρτος τε, βίη τε.
Ἦ ῥα, καὶ ἀμφιπόλοισιν ἐϋπλοκάμοισι κελευσε·
" Στῆτέ μοι, ἀμφίπολοι· πόσε φεύγετε, φῶτα ἰδοῦσαι;
" Ἦ μήπω τινὰ δυσμενέων φάσθ' ἔμμεναι ἀνδρῶν;
" Οὐκ ἔσθ' ὅτις ἀνὴρ δεῦρο βροτὸς, ὅδε γένηται,
" Ὃς κεν Φαιήκων ἀνδρῶν ἐς γαῖαν ἵκῃ)
" Δηΐοτῆτι φέρων· μάλα γὰρ φίλοι ἀθανάτοισιν.
" Οἰκέομεν δ' ἀπάνευθε, πολυκλύστῳ ἐνὶ πόντῳ,
" Ἔσχατοι, ὐδέ τις ἄμμι βροτῶν ὁπιμίσγεται ἄλλος.
" Ἀλλ' ὅδε τις δύστηνος ἀλώμενος ἐνθάδ' ἱκάνει,
" Τὸν νῦν χρὴ κομέειν· πρὸς γὰρ Διός εἰσιν ἅπαντες
" Ξεῖνοί τε, πτωχοί τε· δόσις δ' ὀλίγη τε, φίλη τε.

188 ΝΕ. Ἀπονέμῃ, ἀφορίζῃ.

189 ΕΣ. Δύναται καὶ εἰς ἀναμίγνυσι τοῖς ἀγαθοῖς τὰ κακά, ὡσὸς ἀξίαν ἑκάστῳ νέμειν τὰ κακὰ, καὶ τὰ ἀγαθά.

191 ΙΚ. Παρεγγέγραπται.

192 ΔΕΥ. Ἐνδεὴς ἐστι.

193 ΤΑ. Τὸν πόρρωθεν ἐληλυθότα· ἢ τὸν παλαίπορον.

200 ΦΑΣ. Ὑπολαμβάνει.

201 ΔΙ. Ζῶν ἐρημένος καὶ ἱκετεύων

μετέχων· τῶν μὲν γὰρ ζώντων ὑγρότης καὶ θερμασία σωίζει, τὸ δὲ θανάτου ψυχρότης καὶ ξηρασία· ὅθεν καὶ ἁλίσκονται, οἱ νεκροὶ, λιπάρας μὴ μετέχοντες.

207 ΚΟ. Τηλοῦ. ΔΙ. Ὑπὸ γὰρ τὸν Διὸς ἐπιπλέονται καὶ ξένοι καὶ πτωχοί.

208 ΟΛ. Ὀλίγη μὲν τὴν δίδοτε, φίλη δὲ τὴν λαμβάνοντι· ἡ γὰρ ἔνδεια, καὶ τὸ ὀλίγον φίλον ἠκεῖται.

" Ἀλλὰ

" Ἀλλὰ δότ', ἀμφίπολοι, ξείνῳ βρῶσίν τε, πόσιν τε·
" Λύσατέ δ' ἐν ποταμῷ, ὅθι πτὶ σκέπας ἔς τ' ἀνέμοιο.
Ὣς ἔφαθ'· αἱ δ' ἔσαν τε ℂ ἀλλήλῃσι κέλευσαν·
Κὰδδ' ἄρ' Ὀδυσῆ εἶσαν ἐπὶ σκέπας, ὡς ἐκέλευσε
Ναυσικάα, θυγάτηρ μεγαλήτορος Ἀλκινόοιο·
Παὶρ δ' ἄρα οἱ φᾶρός τε, χιτῶνά τε, εἵματ', ἔθηκαν·
Δῶκαν δὲ χρυσέῃ ἐν ληκύθῳ ὑγρὸν ἔλαιον,
Ἤνωγον δ' ἄρα μιν λύσθαι ποταμοῖο ῥοῇσι.
Δή ῥα τότ' ἀμφιπόλοισι μετηύδα δῖος Ὀδυσεύς·
" Ἀμφίπολοι, ςῆθ' ἔτι ἀπόπροθεν, ὄφρ' ἐγὼ αὐτὸς
" Ἅλμην ὤμοιϊν ἀπολύσομαι, ἀμφὶ δ' ἐλαίῳ
" Χρίσομαι· ἦ γὰ δηρὸν ἀπὸ χροὸς ἔσιν ἁλοιφή·
" Ἀντίω δ' οὐκ ἂν ἔγωγε λοέσομαι· αἰδέομαι γὰρ
" Γυμνὸς, κούρησιν εὐπλοκάμοισι μετελθών.
Ὣς ἔφαθ'· αἱ δ' ἀπάνευθεν ἴσαν, εἶπον δ' ἄρα κούρῃ.
Αὐτὰρ ὁ ἐκ ποταμοῖ χρόα νίζετο δῖος Ὀδυσεὺς
Ἅλμην, ἣ οἱ νῶτα καὶ εὐρέας ἄμπεχεν ὤμους·
Ἐκ κεφαλῆς δ' ἔσμηχεν ἁλὸς χνόον ἀτειγέτοιο.
Αὐτὰρ ἐπειδὴ πάντα λοέσατο καὶ λίπ' ἄλειψεν,
Ἀμφὶ δὲ εἵματα ἕσσατ', ἃ οἱ πόρε παρθένος ἁδμής·
Τὸν μὲν Ἀθηναίη θῆκεν, Διὸς ἐκγεγαῖα,

210 ΣΚΕ. Σκέπαιον.
216 ΗΝ. Ἐκίλδυον. ΡΟ. Ῥύμμασι, μήροῖς.
218 ΑΠ. Πόῤῥωθεν.
221 ΛΟ. Λύσομαι. ΑΙ. Αἰδῶμαι, αἰχύνομαι.
222 ΜΕ. Ἀντὶ ℨ ἀπιλθών.
224 ΝΙ. Ἀπιπλύνιτο.
225 ΑΜ. Περιτίχεν.
226 ΕΣ. Ἐκθαιρεν. ΧΝ. Τὸ λίπτοπεῖον τῆς γαλάσης· ἢ τὸν ἀκαθαρσίαν.
227 ΛΟ. Ἀπιλούσατο, ἀπέπλωιεν. ΛΙ. Λιπαρῷ, ἢ λιπανλικῷ ἐλαίῳ ἠλείψατο.
228 ΕΣ. Ἐνδύσαλο.

Μείζονά τ' εἰσιδέειν καὶ πάσσονα· καδδὲ κάρητος
Οὖλας ἦκε κόμας, ὑακινθίνῳ ἄνθεϊ ὁμοίας.
Ὡς δ' ὅτε τις χρυσὸν περιχεύεται ἀργύρῳ ἀνὴρ
Ἴδρις, ὃν Ἥφαιστος δέδαεν καὶ Παλλὰς Ἀθήνη
Τέχνλιν παντοίην, χαρίεντα δὲ ἔργα τελείᾳ·
Ὡς ἄρα τῷ κατέχυθε χάριν κεφαλῇ τε καὶ ὤμοις·
Ἕζετ' ἔπειτ', ἀπάνευθε κιὼν, ἐπὶ θῖνα θαλάσσης,
Κάλλεϊ καὶ χάρεσι τέρπων· θηεῖτο δὲ κούρη·
Δή ῥα τότ' ἀμφιπόλοισιν ἐϋπλοκάμοισι μετηύδα·
" Κλῦτέ μοι, ἀμφίπολοι λευκώλενοι, ὄφρα τι εἴπω·
" Οὐ πάντων ἀέκητι θεῶν, οἳ Ὄλυμπον ἔχουσιν,
" Φαίηκες' ὅδ' ἀνὴρ ὀπιμίσγεται ἀνλιθέοισιν.
" Πρόσθεν μὲν γὰρ δή μοι ἀεικέλιος δόατ' εἶναι,
" Νῦν δὲ θεοῖσιν ἔοικε, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν.
" Αἴ γὰρ ἐμοὶ τοιόσδε πόσις κεκλημένος εἴη
" Ἐνθάδε ναιετάων, καί οἱ ἄδοι αὐτόθι μίμνειν.
" Ἀλλὰ δότ', ἀμφίπολοι, ξείνῳ βρῶσίν τε, πόσιν τε.
Ὡς ἔφαθ'· αἱ δ' ἄρα τ' μάλα μὲν κλύον, ἠδὲ πίθοντο,
Παρ δ' ἄρ' Ὀδυσσῆϊ θέσαν βρῶσίν τε, πόσιν τε.
Ἦτοι ὁ πῖνε καὶ ἤσθε πολύτλας δῖος Ὀδυσσεὺς
Ἁρπαλέως· δηρὸν γὰρ ἐδήτυος ἦεν ἄπαστος.
Αὐτὰρ Ναυσικάα λευκώλενος ἄλλ' ἐνόησεν·

230 ΠΑ. Παχύτερον. ΚΑ. Τῆς κεφαλῆς.
231 ΟΥ. Σωτεραμμένας. ΗΚ. Ἀπὸ ξ, ἐποίησεν.
232 ΠΕ. Περιεόαλλε.
233 ΙΔ. Ἐπεσήμαινε, τεχνίτης. ΔΕ. Ἐδίδαξεν.
234 ΧΑ. Ἐπείρασε, καλά. ΤΕ. Ποιεῖ, καθασκευάζει.
237 ΘΗ. Ἐξανύμασιν.
242 ΑΕΙ. Εὐτελὴς ὁ φαῦλος. ΔΟΑ. Ἐδόκει, ἐφαίνετο.
245 ΑΔ. Ἀρίστοι.
250 ΑΡ. Ἁρπακτικῶς.
257 ΕΙΔ. Γνῶναι, μαθήσεσθαι.

Εἶμαι'

Εἵματ' ἄρα πλύζασα τίθη καλῆς ἐπ' ἀκτῆς,
Ζεῦξεν δ' ἡμιόνους κρατερώνυχας· αὐτὰρ ὃ ἔβη αὐτή·
Ὤτρυνεν δ' Ὀδυσῆα, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε·
"Ὄρσεο δὴ νῦν, ξεῖνε, πόλινδ' ἴμεν, ὄφρα σε πέμψω
Πατρὸς ἐμοῦ πρὸς δῶμα δαίφρονος, ἔνθα σε φημὶ
Πάντων Φαιήκων εἰδησέμεν, ὅσσοι ἄριστοι.
Ἀλλὰ μάλ' ὧδ' ἔρδειν, (δοκέεις δέ μοι οὐκ ἀπινύσειν,)
Ὄφρ' ἂν μὲν κ' ἀγρὸς ἴομεν καὶ ἔργ' ἀνθρώπων,
Τόφρα σὺν ἀμφιπόλοισι, μεθ' ἡμιόνους Ϲ' ἄμαξαν,
Καρπαλίμως ἔρχεσθ· ἐγὼ δ' ὁδὸν ἡγεμονεύσω·
Αὐτὰρ ἐπὴν πόλιος ὑπερβήσομεν, ἣν πέρι τοῖχος
Ὑψηλὸς, καλὸς δὲ λιμὴν ἑκάτερθε πόληος,
Λεπτὴ δ' εἰσίθμη· νῆες δ' ὁδὸν ἀμφιέλισσαι
Εἰρύαται· πᾶσιν γὰρ ἐπίστιόν ἐστιν ἑκάστῳ·
Ἔνθα δέ τε σφ' ἀγορὴ, καλὸν Ποσειδήϊον ἀμφὶς,
Ῥυτοῖσιν λάεσσι κατωρυχέεσσ' ἁραρυῖα.
Ἔνθα δὲ νηῶν ὅπλα μελαινάων ἀλέγουσι,
Πείσματα, καὶ σπείρα, καὶ ἀποξύνουσιν ἐρετμά.
Οὐ γὰρ Φαιήκεσσι μέλει βιὸς, οὐδὲ φαρέτρη,
Ἀλλ' ἱστοὶ καὶ ἐρετμὰ νεῶν, καὶ νῆες ἐΐσαι,

258 ΑΠ. Ἀσύντιτος εἶναι.
261 ΕΡ. Ἔνιοι, Ἐρχίσθαι.
262 ΕΠ. Ἐπιῶμεν, ἀσίλθωμεν. ΠΥΡ. Νῦν, τὸ τεῖχος.
264 ΕΙ. Εἰσιόδους, ἀπὸ τοῦ ἀσίνως· καὶ μιπαπλασμῷ τοῦ ἰωτᾶ λέγει.
265 ΕΙ. Εἰλκυσμίναι ἀσίν. ΕΠ. Ἐπίκιον, σκήνη, πάγειον, ἢ σκάφος· παρὰ τὸ ἵστιον. λέγει δέ, ὅτι ἀπὸ τοῦ πλοίους τὰ νῶν ὑπεσταλκημένων στυὴ ἐστὶν ἡ ἄσιδος.
266 ΠΟ. Τῷ Ποσειδῶνι καθιερωμένῳ τεμένει.
267 ΡΥ. Τοῖς εἱλκυσμένοις, ὡς δὲ τότε μεγάλοις. ΚΑ. Κατωρυγμένοις.
268 ΟΠ. Τὰ τῶν νεῶν σχοινία. ΑΛ. Διὰ φροντίδος ἴχνεσι, καὶ ἐπιμελείας ἀξιοῦσι.
269 ΠΕΙ. Τὰ ἀπίσσια σχοινία, παρὰ τὸ πέδιλος αὐτοῖς τῶν νεῶν. ΣΠΕΙ. Νῦν, τὰς μιγάλας κώλως, δι' ὧν ἕλκονται αἱ νῆες· παρὰ τὸ σπειρᾶσαι. ΑΠΟ. Τὸν φλοιὸν σπειρᾶσαι.
270 ΦΑ. Βιλοθήκη.

alii σπέρας.

"Ἡσιν

" Ἦσιν ἀγαλλόμενοι πολιὴν περόωσι θάλασσαν·
" Τῶν ἀλεείνω φῆμιν ἀδευκέα, μήτις ὀπίσσω
" Μωμεύῃ· μάλα δ' εἰσὶν ὑπερφίαλοι κατὰ δῆμον.
" Καί νύ τις ὧδ' ἔπεσι κακώτερος ἀντιβολήσας,
" Τίς δ' ὅδε Ναυσικάᾳ ἔπεϊ καλός τε, μέγας τε
" Ξεῖνος; πῦ δέ μιν εὗρε; πόσις νύ τοι ἔσσεται αὐτῇ;
" Ἤ τινά πῃ πλαγχθέντα κομίσσατο ἧς ἀπὸ νηὸς,
" Ἀνδρῶν τηλεδαπῶν· ἐπεὶ ἄ τινες ἐγγύθεν εἰσίν.
" Ἤ τις οἱ εὐξαμένῃ πολυάρητος θεὸς ἦλθεν,
" Οὐράνοθεν καταβάς; ἕξει δέ μιν ἤματα πάντα.
" Βέλτερον, εἴ κ' αὐτή περ ἐποιχομένη πόσιν εὕρεν
" Ἄλλοθεν· ἦ γὰρ τόσσδε γ' ἀτιμάζει κατὰ δῆμον
" Φαίηκας, τοί μιν μνῶνται πολέες τε, καὶ ἐσθλοί.
" Ὡς ἐρέεσθην, ἐμοὶ δέ κ' ὀνείδεα ταῦτα γένοιτο·
" Καὶ δ' ἄλλῃ νεμεσῶ, ἥτις τοιαῦτά γε ῥέζοι,
" Ἥ τ' ἀέκητι φίλων πατρὸς καὶ μητρὸς ἐόντων
" Ἀνδράσι μίσγηται, πρὶν γ' ἀμφάδιον γάμον ἐλθεῖν.
" Ξεῖνε, σὺ δ' ὦκα ἐμέθεν ξυνίει ἔπος, ὄφρα τάχιστα
" Πομπῆς καὶ νόστου τύχῃς πρὸς πατρὸς ἐμεῖο·
" Δήομεν ἀγλαὸν ἄλσος Ἀθηναίης ἄγχι κελεύθου,
" Αἰγείρων· ἐν δὲ κρήνη νάει, ἀμφὶ δὲ λειμών·

272 ΑΓ. Χαίροντες.
273 ΑΛ. Φυλάττομαι. ΑΔ. Σκληρὰν, χαλεπήν.
274 ΜΩ. Λοιδορήσῃ, μίμψηται, ψέξῃ.
275 ΚΑ. Φαυλότερος, χείρων. ΑΝ. Σωτυχών.
276 ΕΠ. Ἀκλεῶς.
278 ΚΟ. Ἐπιμελείας ἠξίωσεν.
279 ΤΗ. Τῶν ἀπὸ τῆ πόρρω ἠπείρω, ἢ ξένων.
280 ΠΟ. Πολυεύκτος.
285 ΕΡ. Ἐρῶσι, λέξωσιν.
288 ΑΜ. Τὸν οἶκ ἔχ φανερῶ.
290 ΤΥ. Ἐπιτύχῃς.
291 ΔΗ. Εὑρήσεμεν.
292 ΝΑ. Ῥίᾳ.

" Ἔνθα δὲ

" Ἔνθα δὲ πατρὸς ἐμοῦ τέμενος, πεδαλιγά τ' ἀλωὴ,
" Τόσσον ἀπὸ πτόλιος, ὅσσον τε γέγωνε βοήσας·
" Ἔνθα καθεζόμενος μεῖναι χρόνον, εἰσόκεν ἡμεῖς
" Ἀγυδὲ ἔλθωμεν, καὶ ἴκωμεθα δώματα πατρός.
" Αὐτὰρ ἐπὴν ἡμέας ἕλπη ποτὶ δώματ' ἀφῖχθαι,
" Καὶ τότε Φαιήκων ἴμεν ἐς πόλιν, ἠδ' ἐρέεσθαι
" Δώματα πατρὸς ἐμοῦ μεγαλήτορος Ἀλκινόοιο.
" Ῥεῖα δ' ἀρίγνωτ' ἐσὶ, καὶ ἂν πάϊς ἠγήσαιτο
" Νήπιος· οὐ μὲν γάρ πω ἐοικότα τοῖσι τέτυκται
" Δώματα Φαιήκων, οἷος δόμος Ἀλκινόοιο
" Ἥρωος· ἀλλ' ὁπότ' ἄν σε δόμοι κεκύθωσι καὶ αὐλὴ,
" Ὧκα μάλ' ἐς μεγάροιο διελθέμεν, ὄφρ' ἂν ἵκηαι
" Μητέρ' ἐμήν· ἡ δ' ἧσται ἐπ' ἐσχάρῃ ἐν πυρὸς αὐγῇ,
" Ἠλάκατα τρωφῶσ' ἀλιπόρφυρα, θαῦμα ἰδέσθαι,
" Κίονι κεκλιμένη, δμωαὶ δέ οἱ εἵαται ὄπιθεν.
" Ἔνθα δὲ πατρὸς ἐμοῖο θρόνος πλησίον ἕκλιται αὐτῇ,
" Τῷ ὅγε οἰνοποτάζων ἐφήμενος, ἀθάνατος ὥς.
" Τὸν παρμείψαμενος, μητρὸς ποτὶ γούνασι χεῖρας
" Βάλλειν ἠμετέρης, ἵνα νόστιμον ἦμαρ ἴδηαι
" Χαίρων, καρπαλίμως, εἰ καὶ μάλα τηλόθεν ἐσθί.

293 ΤΕ. Θάλλωσι, καὶ τελέθωσι φυτοῖς. ΑΛ. Ὁ ἀπὸ φυτείαν ἐπιτηδειοτάτη τῆς διυδροφόρου γῆς.
297 ΕΛ. Ἐλπίζῃ, νομίζεις. ΑΦ. Ἐλθεῖν, παραγενέσθαι.
298 ΕΡ. Ἐρωτᾷν· ἀντὶ τοῦ ἐρώτησιν.
300 ΑΡ. Εὔδηλα, πάνυ φανερά.
303 ΚΕ. Κρύψωσι, σκεπάσωσι, χειμάσιν.
304 ΔΙ. Διελθεῖν· ἀντὶ τοῦ διέλθῃ.
305 ΗΣ. Καθῆσθαι. ΑΥ. Ἐν τῷ καταπεφωτισμένῳ ὑπὸ τοῦ πυρὸς τόπῳ.
307 ΚΕ. Ἐπαναπαυομένη.
308 ΠΟ. Περιέχει τῇ αὐγῇ, ἀντὶ τοῦ πέφωτισμένη.
309 ΟΙ. Εὐωχεῖται. ΕΦ. Ἐπικαθήμενος.
310 ΠΑ. Περιλθών. ΜΗ. Ἵνα ἂς γυνὴ γυναῖκα σωθερίνῃ, ἤ, ἐπεὶ φρονιμωτάτη παραδίδοται· καὶ ἄκως ἢ φιλεκτίμησι, τὸ ἄλλο.

" Εἶ

" Εἴ κέν τοι κείνη γε φίλα φρονέῃσ' ἐνὶ θυμῷ.
" Ἐλπωρή τοι ἔπειτα φίλης τ' ἰδέειν, καὶ ἱκέσθαι
" Οἶκον εὐκτίμενον καὶ σὴν ἐς πατρίδα γαῖαν.
Ὣς ἄρα φωνήσας ἵμασεν μάστιγι φαεινῇ
Ἡμιόνους· αἳ δ' ὦκα λίπον ποταμοῖο ῥέεθρα·
Αἳ δ' εὖ μὲν τρώχων, εὖ δὲ πλίσσοντο πόδεσσιν.
Ἡ δὲ μάλ' ἠνιόχευεν, ὅπως ἅμ' ἕποιατο πεζοὶ,
Ἀμφίπολοί τ', Ὀδυσεύς τε· νόῳ δ' ἐπέβαλλεν ἱμάθλην.
Δύσετό δ' ἠέλιος, καὶ τοὶ κλυτὸν ἄλσος ἵκοντο
Ἱρὸν Ἀθηναίης, ἵν' ἄρ' ἕζετο δῖος Ὀδυσεύς·
Αὐτίκ' ἔπειτ' ἠρᾶτο Διὸς κούρη μεγάλοιο·
" Κλῦθί μοι, Αἰγιόχοιο Διὸς τέκος ἀτρυτώνη,
" Νῦν δή περ μοῦ ἄκουσον, ἐπεὶ πάρος οὔποτ' ἄκουσας
" Ῥαιομδύς, ὅτε μ' ἔρραισε κλυτὸς Ἐννοσίγαιος.
" Δός μ' ἐς Φαίηκας φίλον ἐλθεῖν, ἠδ' ἐλεεινόν.
Ὣς ἔφατ' εὐχόμενος, τοῦ δ' ἔκλυε Παλλὰς Ἀθήνη·
Αὐτῷ δ' οὔπω φαίνετ' ἐναντίον· αἴδετο γάρ ῥα
Πατροκασίγνητον· ὁ δ' ὀπιζαφελῶς μνιέαινεν
Ἀνδιθέῳ Ὀδυσῆι, πάρος ἣν γαῖαν ἱκέσθαι.

313 ΦΙ. Φιλοφρονεῖν βέλοιτο.

318 ΤΡΩ. Ἔτειχον. ΠΛΙΣ. Διέβαινον· πλίχος γὰρ τὸ ὑπὸ τὰ αἰδοῖα δέρμα, ὃ διέτεμε Ἀμφαινίνται. πλίσσεσθαι γὰρ, τὸ βαίδια Ἀμφαίνειν· καὶ πλίσμα, τὸ ἀμφήμα τῶν ποδῶν.

319 ΜΑ. Νῦν, ἐπισημότερος. ΕΠ. Ἀκολουθήσειαν.

320 ΝΟ. Τεχνικῶς ἤλαυνεν.

321 ΔΥ. Νῦν, ἀσθενὴς δυσμὰς ἀπέκλινεν· ἡμίσεως γὰρ ἔτι οὔσης εἰσέχεπτεν Ὀδυσσεὺς, πάρος καὶ ἀχλὺν αὐτῷ κεπικχίσ.

326 ΡΑΙ. Φθειρομένην. ΕΡ. Ἔφθειρεν. ΕΝ. Ὁ Ποσειδῶν, ὃ τὴν γῆν κινῶν· ἴνοσις μὲν γὰρ, ἡ κίνησις.

327 ΕΛ. Ἐλίης τυχεῖν.

329 ΕΝ. Ἀπιωτίμως, ἀπὸ τοῦ φαινεσθαι.

330 ΠΑ. Τὸν τοῦ πατρὸς ἀδελφὸν, τὸν θεῖον.

ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΟΔΥΣΣΕΙΑΣ Η ΤΟΥ ΟΜΗΡΟΥ

ΡΑΨΩΔΙΑΣ.

ΝΑυσικάα εἰς τὴν πόλιν ἀφικνεῖται, καὶ μετ' ὀλίγον Ὀδυσσεὺς ἱκετεύει Ἀρήτην τὴν τοῦ Ἀλκινόου καὶ βασιλέως γυναῖκα· καὶ μὴ τὸ δεῖπνον συλλεγείσης ὑπόθεσιν τοῦ ἤθους ἔχειν, (ἐγνώρισε γὰρ αὐτὴν,) τὰ συμβάντα αὐτῷ καὶ τὸν πλοῦν ἀπὸ τῆς Ὠγυγίας μέχρι τῶν Φαιάκων γῆς διηγεῖται.

ΑΛΛΗ.

ΑΘηνᾶ τὴν πόλιν παραγενομένῳ Ὀδυσσεῖ ἀπαντᾷ καὶ ἐξῆς ἀνεδείκνυσι τὸν Ἀλκίνοον οἷον· εἰς ὃν ἀπελθὼν Ὀδυσσεὺς προσπίπτει τοῖς τῆ Ἀρήτης γόνασι, καὶ δεῖται αὐτῆς πέμψαι αὐτὸν εἰς τὴν πατρίδα. Ἀνασήσας δὲ αὐτὸν ὁ Ἀλκίνοος παρακαθίζει αὐτῷ, καὶ δεῖπνον παρέχει. Ἡ δὲ Ἀρήτη γνωσαμένη τὸν ἦθος, συνῆσαν δὲ, πόθεν ἔχειν; Ὁ δὲ διηγεῖται αὐτοῖς τὰ ἀπὸ Καλυψοῦς πλοῦν, καὶ τὸ χειμάρρουν Ναυσικάου, καὶ τὴν πρὸς αὐτὸν ἄφιξιν, καὶ ὅτι δεηθεὶς Ναυσικάας, ἔλαβε τὸν ἦθος.

Ἧτα οἱ ἐὺ φρονέεσ' Ὀδυσῆι Σχεδίης βασιλῆες.

Ὡς ὁ μὲν ἔνθ' ἠρᾶτο πολύτλας δῖος Ὀδυσεὺς,
Κύρλῳ δὲ προτὶ ἄσυ φέρεν μῦθος ἠμιονοῖιν.
Ἦ θ' ὅτε δὴ ἑ πατρὸς ἀγακλυτὰ δώμαθ' ἵκανεν,
Στῆσεν ἄρ' ἐν προθύροισι· κασίγνητοι δέ μιν ἀμφὶς
Ἴσαντ', ἀθανάτοις ἐναλίγκιοι, οἵ ῥ' ἀπ' ἀπήνης
Ἡμιόνους ἔλυον, ἐαθῆτά τε ἔσφερον εἵσω.
Αὐτὴ δ' ἐς θάλαμον εὖν ἤιε· δαῖε δέ οἱ πῦρ
Γρηῢς Ἀπειραίη θαλαμηπόλος Εὐρυμέδουσα,
Τήν ποτ' Ἀπείρηθεν νέες ἤγαγον ἀμφιέλισσαι·
Ἀλκινόῳ δ' αὐτῷ γέρας ἔξελεν, ὕνεκα πᾶσι
Φαιήκεσσιν ἄνασσε, θεὸς δ' ὣς δῆμος ἄκουεν·
Ἣ τρέφε Ναυσικάαν λευκώλενον ἐν μεγάροισιν.
Ἣ οἱ πῦρ ἀνέκαιε, καὶ εἴσω δόρπον ἐκόσμει.
Καὶ τότ' Ὀδυσσεὺς ὦρτο πόλινδ' ἴμεν· ἀμφὶ δ' Ἀθήνη
Πολλὴν ἠέρα χεῦε, φίλα φρονέουσ' Ὀδυσῆι,
Μήτις Φαιήκων μεγαθύμων ἀντιβολήσας
Κερτομέοι τ' ἐπέεσσι, καὶ ἐξερέοιθ', ὅτις εἴη.
Ἀλλ' ὅτε δὴ ἄρ' ἔμελλε πόλιν δύσεσθαι ἐραννὴν,
Ἔνθα οἱ ἀντεβόλησε θεὰ γλαυκῶπις Ἀθήνη,
Παρθενικῇ εἰκυῖα νεηνίδι, κάλπιν ἔχουσα·

5 ΑΠ. Ἀμφίξης.
7 Ε. Τὸν ἑαυτῆς.
8 ΑΠ. Ἄποθεν παρῶσα, ἠπειρωτικήν· ἔστι δ' ἀντικρὺ τῆς Κερκύρας ἡ Ἤπειρος. ΘΑ. Ἧτοι ἡ ὡδὲ τὴν θάλαμον ἀναστρεφομένη· ἢ, ἡ δ' οἶκον ὠφελοῦσα.
9 ΑΠ. Πόρρωθεν ἀπὸ τῆς ἠπείρου.
10 ΕΞ. Ἐξαίρετον ἔδωκεν.
13 ΕΚ. Περιπικύαζεν.
15 ΗΕ. Νεῶν, τῶν ὁμίχλων.
17 ΚΕΡ. Χλωάζοι.
18 ΔΥ. Εἰσελθεῖν. ΕΡ. Ἐπέρασεν, κρύψαι.
20 ΠΑΡ. Παρθένῳ νεωτέρᾳ. ΕΙ. Ὁμοῖα. ΚΑΛ. Ὑδρίαν.

Στῆ

Στῆ δὲ παρὰ θ' αὐτὸν· ὁ δ' ἀνέρτο δῖος Ὀδυσσεύς·
" Ὦ τέκνος, οὐκ ἄν μοι δόμον ἀνέρος ἡγήσαιο
" Ἀλκινόου, ὃς τοῖσδε μετ' ἀνθρώποισιν ἀνάσσει;
" Καὶ γὰρ ἐγὼ ξεῖνος πολυπείρων ἐνθάδ' ἱκάνω,
" Τηλόθεν ἐξ ἀπίης γαίης· τῷ ὄτινα οἶδα
" Ἀνθρώπων, οἱ τήνδε πόλιν καὶ γαῖαν ἔχουσι.
Τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
" Τοιγὰρ ἐγώ τοι, ξεῖνε πάτερ, δόμον, ὃν με κελεύεις,
" Δείξω· ἐπεί μοι πατρὸς ἀμύμονος ἐγγύθι ναίει.
" Ἀλλ' ἴθι σιγῇ τοῖον· ἐγὼ δ' ὁδὸν ἡγεμονεύσω.
" Μηδὲ τιν' ἀνθρώπων περιμύσεο, μήδ' ἐρέεινε·
" Οὐ γὰρ ξείνους οἵδε μάλ' ἀνθρώπους ἀνέχονται,
" Οὐδ' ἀγαπαζόμενοι φιλέουσ', ὅς κ' ἄλλοθεν ἔλθοι.
" Νηυσὶ θοῇσιν τοίγε πεποιθότες ὠκείῃσιν,
" Λαῖτμα μέγ' ἐκπερόωσιν, ἐπεὶ σφίσι δῶκε Ποσείδων·
" Τῶν νέες ὠκεῖαι, ὡσεὶ πτερὸν, ἠὲ νόημα.
Ὣς ἄρα φωνήσασ' ἡγήσατο Παλλὰς Ἀθήνη
Καρπαλίμως· ὁ δ' ἕπετο μετ' ἴχνια βαῖνε θεοῖο·

21 ΑΝ. Ἐπηρώτησεν.

24 ΤΑ. Ἀρίσταρχος μὲν, ἀντὶ δὲ παλαίπορος· τινὲς δὲ, ἀπὸ τῆς ξένης, καὶ πολλαχοῦ πεπερασμένης ἢ μακρόθεν ἀφιγμένης.

25 ΤΗ. Πόρρωθεν. ΑΠ. Ἐκ τῆς μακρὰν ἀπεχούσης γῆς.

31 ΠΡΟ. Ἐνέρκε· ἢ παρασιγήσῃς· ἢ ἀφελόμενος.

32 ΟΥ. Οὐ ξενίζουσι τοὺς ἀνθρώπους· ὡς ὃν οὖν τοῖς ἐξῆς φιλοξενωτάτους λέγει; ἢ τὸ μὲν ναυτικὸν ὄχλον πρὸ ὄντι ἄσιτον ἀπῆν, τοὺς βασιλεῖς φιλοξένους· ἢ ἵνα, ἵνα φυλάξηται, τινὸς συθίσθαι, ἢ ἀπὸς ἑτέρου καθαχθῆναι. ΑΝ. Ἀνακόπτονται, καὶ ἀμφισβητοῦσιν.

33 ΑΓ. Φιλοφρονούμενοι. ΦΙ. Φιλικῶς ὑποδέχονται, ξενίζουσιν.

34 ΠΕ. Θαρροῦντες.

35 ΛΑΙΤ. Οἱ μὲν, ὁρμημα· οἱ δὲ, τὸ κύτος· οἱ δὲ, τὸ ἀμάσημα καὶ πελάγους· ἐξ οὗ τὸ μέγα καὶ πλατύ· λέγει τὸ κῦμα.

36 ΩΚ. Ταχεῖαι.

37 ΗΓ. Ἡμῶν τὸ ὀφθὲν ἐγένετο.

39 ΝΑΥ. Οἱ περὶ τὸν θάλασσαν ἐνδοξοι.

Τὸν δ' ἄρα Φαίηκες ναυσικλυτοὶ οὐκ ἐνόησαν
Ερχόμενον κατὰ ἄστυ· θρασὺ σφέας· ἀ γὰρ Ἀθήνη
Εἶα ἐϋπλόκαμος, δεινὴ θεὸς, ἤ ῥά οἱ ἀχλὺν
Θεσπεσίην κατέχευε, φίλα φρονέουσ' ἐνὶ θυμῷ.
Θαύμαζεν δ' Ὀδυσεὺς λιμένας καὶ νῆας ἐίσας,
Αὐτῶν θ' ἡρώων ἀγορὰς, καὶ τείχεα μακρὰ,
Ὑψηλὰ, σκολόπεσσιν ἐρηρότα, θαῦμα ἰδέσθαι·
Ἀλλ' ὅτε δὴ βασιλῆος ἀγακλυτὰ δώματ' ἵκοντο,
Τοῖσί δὲ μύθων ἦρχε θεὰ γλαυκῶπις Ἀθήνη·
"Οὗτος δή τοι, ξεῖνε πάτερ, δόμος, ὃν με κελεύεις
Πεφραδέμεν· δήεις δὲ διοτρεφέας βασιλῆας
Δαίτῃ θαινυμένους· σὺ δ' ἔσω κίε, μηδὲ τι θυμῷ
Τάρβει· θαρσαλέος γὰρ ἀνὴρ ἐν πᾶσιν ἀμείνων
Ἔργοισιν τελέθῃ, εἰ καὶ πόθεν ἄλλοθεν ἔλθοι.
Δέσποιναν μὲν πρῶτα κιχήσεαι ἐν μεγάροισιν,
Ἀρήτη δ' ὄνομ' ἐστὶν ἐπώνυμον· ἐκ δὲ τοκήων
Τῶν αὐτῶν, οἵ περ τέκον Ἀλκίνοον βασιλῆα.
Ναυσίθοον μὲν πρῶτα Ποσειδάων ἐνοσίχθων
Γείνατο, καὶ Περίβοια, γυναικῶν εἶδος ἀρίστη,
Ὁπλοτάτη θυγάτηρ μεγαλήτορος Εὐρυμέδοντος,
Ὃς ποθ' ὑπερθύμοισι Γιγάντεσσιν βασίλευεν·
Ἀλλ' ὁ μὲν ὤλεσε λαὸν ἀταάθαλον, ὤλετο δ' αὐτός.

40 ΔΙ. Δι' αὐτὸς· ἀντὶ τοῦ, δι' αὐτῶν.
41 ΔΕΙ. Φοβερὰ, δέος ἀξία.
42 ΦΙ. Τὰ κάλλιστα βελαμίνη.
45 ΑΡ. Σωσηφαλισμένα.
49 ΠΕ. Ἐπιδείξαι. ΔΗ. Εὑρήσεις.
50 ΚΙ. Πορεύου.
51 ΤΑΡ. Φοβοῦ.
53 ΚΙ. Νῦν ἀντὶ τοῦ ἱκετεύσεις· ἀ γὰρ καταλήψεσθαι σημαίνει.
54 ΑΡ. Καλὰ ἀρήτας καὶ εὐκταίας ἐχθυνήθη. ΕΠ. Φιράνυμα. ΤΟ. Τῶν σοφῶν.
60 ΩΛ. Ἀπώλεσεν.

" Τῇ δὲ

" Τῇ δὲ Ποσειδάων ἐμίγη, καὶ ἐγείνατο παῖδα
" Ναυσίθοον μεγάθυμον, ὃς ἐν Φαίηξιν ἄνασσε·
" Ναυσίθοος δ' ἔτεκε Ῥηξήνορά τ', Ἀλκίνοόν τε.
" Τὸν μὲν ἄκοιτιν ἐόντα βάλ' ἀργυρότοξος Ἀπόλλων,
" Νυμφίον ἐν μεγάρῳ, μίαν οἴην παῖδα λιπόντα
" Ἀρήτην· τὴν δ' Ἀλκίνοος ποιήσατ' ἄκοιτιν,
" Καί μιν ἔτισ', ὡς ἄτις ὀπὶ χθονὶ πίσεται ἄλλη,
" Ὅσσαι νῦν γε γυναῖκες ὑπ' ἀνδράσιν οἶκον ἔχουσιν,
" Ὡς κείνῃ ὤπασε κῆρι τετιμήταί τε, καὶ ἔστιν,
" Ἔκ τε φίλων παίδων, ἔκ τ' αὐτοῦ Ἀλκινόοιο,
" Καὶ λαῶν, οἵ μιν ῥα, θεὸν ὣς, εἰσορόωντες,
" Δειδέχαται μύθοισιν, ὅτε σείχησ' ἀνὰ ἄστυ.
" Οὐ μὲν γάρ τι νόῳ γε ξὺν αὐτῇ δύεται ἐσθλῇ,
" Οἷσίν τ' εὖ φρονέῃσι, καὶ ἀνδράσι νείκεα λύῃ.
" Εἰ κέν τοι κείνη γε φίλα φρονέῃσ' ἐνὶ θυμῷ,
" Ἐλπωρή τοι ἔπειτα φίλους τ' ἰδέειν, καὶ ἱκέσθαι
" Οἶκον ἐς ὑψόροφον καὶ σὴν ἐς πατρίδα γαῖαν.
Ὣς ἄρα φωνήσασ', ἀπέβη γλαυκῶπις Ἀθήνη
Πόντον ἐπ' ἀτρύγετον· λίπε δὲ Σχερίην ἐρατεινήν·
Ἵκετο δ' ἐς Μαραθῶνα, καὶ εὐρυάγυιαν Ἀθήνην,

61 ΕΓ. Ἐχθύνησιν.
63 ΡΗ. Ὄνομα κύριον.
64 ΑΚ. Ἄμοιρον ἄῤῥενος παιδὸς, ἢ μὴ γονήσαντα παῖδα ἄῤῥενα.
65 ΝΥΜ. Νεωστὶ γαμηκότα. ΛΙ. Καταλιπόντα.
67 ΤΙ. Τιμᾶται.
68 ΟΣ. Ὀπάσσαι.
72 ΔΕΙ. Διξῶν), ἀπαίζων). ΣΤΕΙ. Περιύσται.
73 ΔΕΥ. Ἐνδιὰς ὑπάρχει.
74 ΟΙ. Καὶ οἷς ἂν εὐφρονῇ ἡ Ἀρήτη, τὰ νείκη, καὶ τὰς πρὸς ἀλλήλους ἀμφισβητήσεις τῶν ἀνδρῶν, ἢ τῶν γυναικῶν ἀμαλύῃ.
79 ΣΧΕ. Ἡ τῶν Φαιάκων χώρα, ἢ νῆσος· καὶ ἡ Κέρκυρα τὸ παλαιὸν οὕτως ἐκαλεῖτο.
80 ΜΑ. Τόπον τῆς Ἀττικῆς. ΑΘ. Νῦν τὴν πόλιν, τὰς Ἀθήνας.

Δῦνε

Δῦνε δ' Ἐρεχθῆος πυκινὸν δόμον· αὐτὰρ Ὀδυσσεὺς
Ἀλκινόου πρὸς δώματ' ἴε κλυτά· πολλὰ δέ οἱ κῆρ
Ὥρμαιν' ἰσταμένῳ, πρὶν χάλκεον οὐδὸν ἱκέσθαι·
Ἦν γὰρ ἠελίου αἴγλη πέλεν, ἠὲ σελήνης,
Δῶμα κάθ' ὑψερεφὲς μεγαλήτορος Ἀλκινόοιο. 85
Χάλκεοι μὲν γὰρ τοῖχοι • ἐληλάδατ' ἔνθα καὶ ἔνθα,
Ἐς μυχὸν ἐξ οὐδοῦ· περὶ δὲ θρῆνυς κυάνοιο·
Χρύσειαι δὲ θύραι πυκινὸν δόμον ἐντὸς ἔεργον·
Ἀργύρεοι δὲ σταθμοὶ ἐν χαλκέῳ ἕστασαν οὐδῷ,
Ἀργύρεον δ' ἐφ' ὑπερθύριον, χρυσείη δὲ κορώνη. 90
Χρύσειοι δ' ἑκάτερθε καὶ ἀργύρεοι κύνες ἦσαν,
Οὓς Ἥφαιστος ἔτευξεν ἰδυίῃσι πραπίδεσσι,
Δῶμα φυλακτήριμα μεγαλήτορος Ἀλκινόοιο,
Ἀθανάτους ὄντας καὶ ἀγήρως ἤματα πάντα.
Ἐν δὲ θρόνοι πρὸς τοῖχον ἐρηρέδατ' ἔνθα καὶ ἔνθα, 95
Ἐς μυχὸν ἐξ οὐδοῦ διαμπερές· ἔνθ' ἐνὶ πέπλοι
Λεπτοὶ εὐνηταὶ βεβλήατο, ἔργα γυναικῶν.
Ἔνθα δὲ Φαιήκων ἡγήτορες ἑδριόωντο,
Πίνοντες καὶ ἔδοντες· ἐπηετανὸν γὰρ ἔχεσκον.

81 ΔΥ. Κατίδω, ἀσπάσασθαι. ΕΡ. Τὸ ἑαυτῆς τίμιον· ἐν τούτῳ γὰρ ἐτράφη Ἐρεχθεύς.

86 ΕΛ. Παρατετιμένοι· ἃ ἢ ἐρηρέδατο, ἡρμοσμένοι ἦσαν.

87 ΜΥ. Ἀπὸ τοῦ οὐδοῦ, ἕως τοῦ ἔσω γωνίας. ΜΥ. Τὸ ἐνδότατον τῆς οἰκίας. ΘΡ. Ὁ περίβολος τῆς οἰκίας, καὶ τὸ ἐπικόσμημα τοίχου.

88 ΕΕΡ. Ἀπτῖρες, σκάλυνοι, περιέχον.

89 ΣΤΑΘ. Αἱ παραστάδες.

90 ΚΟ. Τὸ ἐπίπαστρον τῆς θύρας.

91 ΧΡΥ. Ἤτοι κυνέους, ἢ ἥλους λέγει, παρὰ τὸ καὶ κωνάδας φαμὲν, ἢ τοὺς διπλοῦς ἥλους. τινὲς δὲ φασὶν τοὺς ὑβίππους ὑπὸ Ἥρας Ποσειδῶνι ἐπὶ τῷ συλλαβεῖν αὐτὴν πρὸς τὸν Δία ἐπιθῆναι, οὕτως προελθεῖν εἰς Ἀλκίνοον. ΕΚ. Ἐκατέρωθεν.

92 ΙΔ. Ἐμπείρους. ΠΡΑ. Φρισίν.

95 ΕΡ. Ἐνηρμοσμένοι ἦσαν.

97 ΕΥ. Εὖ πεπυσμένοι. ΒΕΒ. Ἐπίκειντο.

99 ΕΠ. Ἀδιαλείπτως.

• alii ἐρηρίδατ'.

Χρύσειοι

Χρύσειοι δ' ἄρα κοῦροι ἐυδμήτων ἐπὶ βωμῶν
Ἕστασαν, αἰθομένας δαΐδας μετὰ χερσὶν ἔχοντες,
φαίνοντες νύκτας κατὰ δώματα δαιτυμόνεσσι.
Πεντήκοντα δὲ οἱ δμωαὶ κατὰ δῶμα γυναῖκες·
Αἱ μὲν ἀλετρεύουσι μύλης ἔπι μήλοπα κάρπὸν,
Αἱ δ' ἰσὸς ὑφόωσι καὶ ἠλάσκασι γραφῶσιν
Ἤμυαι, οἷά τε φύλλα μακεδνῆς αἰγείροιο·
Καιροσέων δ' ὀθονέων ἀπολείβεται ὑγρὸν ἔλαιον·
Τόσσον Φαίηκες περὶ πάντων ἴδριες ἀνδρῶν
Νῆα θοὴν ἐνὶ πόντῳ ἐλαυνέμεν, ὡς δὲ γυναῖκες
Ἰσὸν τεχνῆσαι· περὶ γὰρ σφίσι δῶκεν Ἀθήνη
Ἔργα τ' ἐπίστασθαι περικαλλέα, καὶ φρένας ἐσθλάς.
Ἐκτοσθεν δ' αὐλῆς μέγας ὄρχατος ἄγχι θυράων

100 ΧΡΥ. Ἀνθεμόεντες πιές. ΕΥ. Καλῶς ἠνθεμωμένων. ΒΩ. Ἐπὶ τῶν βαπτῶν.

101 ΕΣ. Ἴσασιν.

102 ΔΑΙ. Εὐωχεμένοις.

104 ΑΛ. Ἀλέουσιν. ΜΥ. Ἐν τοῖς μύλοις, ἐπὶ τοῖς μύλοις. οἱ δέ, ὅτι τὸ ἴσον ἐπὶ τῷ μήκει ἔφριφόν· μύλη γάρ, τὸ ἄκρον τοῦ μηροῦ. ΜΗ. Τὰς θυρίς· μηλοειδὴς γάρ ἐστι τὴν χροιάν. Ἄλλοι, Μύλης ἔπι.

105 ΥΦ. Ὑφαίνουσιν. ΣΤΡΩ. Στρέφουσιν, ἐργάζονται.

106 ΗΜ. Καθήμεναι. ΦΥ. Οἱ μέν, ὅτι ἡλιοτροπίῳ τάξει ἐπέχουσι καθήμεναι διακοσιοσῶς· οἱ δέ, ὅτι πεπύκνωνται τὸ ὕδωρ τοῖς φύλλοις· φύλλα δέ, ἤτοι διὰ τὸ πλῆθος, ἢ ἀφ' οὗ τὸ εὐκίνητον τῶν χειρῶν οὐ μὴ φρίξειν τὴν κρόκην, ὡς καὶ τὰ φύλλα τῶν αἰγείρων ἀντιστρεμπίζοντα ἀκμῆτες, καὶ εὐκίνητα ῥᾳδίως, καὶ ὑπὸ τυχοῦσης αὔρας· ὡς δὲ Σοφοκλῆς ἐν Ἀτρεῖ, Ὥσπερ γὰρ ἐν φύλλοισιν αἰγείρου μακρᾶς, Καὶ ἄλλο μηδὲν, ἀλλὰ τἀκείνης κάρα Κινεῖται, κἄρας κἀνακλᾶται πάλιν. ΜΑ. Τῆς μακεδνῆς καὶ ὑψηλῆς, παρὰ τὸ μῆκος.

107 ΚΑΙ. Εὐῤῥοῦν, εὖ κεκαυμένων· καίεσθαι δὲ ἐπὶ τοῦ ἀμφικόμου ἐν τῷ σήμῃ, παρὰ τὸ μίτον· ὑπὸ δὲ μὴ συγχεῖσθαι τὰς σήμας. ὀθόνιον δὲ μέρος δέ μιτώματος, τὰς ὅλας εὐῤῥοῦς λέγει. ΑΠ. Ἤτοι ὅταν ὑπὸ τυκτοῦ, ὡς μηδὲ ἔλαιον δι' αὐτῶν διελθεῖν, ἢ ἐξωθεῖν, ὡς ἔλαιον, ἐπιλοῦσι ἀφ' ὧν λούονται· ἢ τεύχειραι ἅπαν, ὡς δοκεῖν ἀπείρειν· ἢ ὅτως ἀπεπλύθειν τὸ μίτον, ὡς δοκεῖν ἔλαιον ἀποδάπτειν.

108 ΙΔ. Ἐπισήμους, ἐμπείρους.

109 ΩΣ. Νεῶν, τὸ θῶς, ἀπὸ τοῦ τοσοῦτον.

110 ΤΕΧ. Τεχνίτης.

112 ΟΡ. Ἡ ἐπὶ τίχοι, ἢ ἐν τάξει τῶν ἀμπέλων φυτεία, ὄρχατος λέγεται, ἢ κῆπος.

Τετράγυος

Τετράγυος· περὶ δ' ἕρκος ἐλήλατο ἀμφοτέρωθεν.
Ἔνθα δὲ δένδρεα μακρὰ πεφύκει τηλεθόωντα,
Ὄγχναι, καὶ ῥοιαί, καὶ μηλέαι ἀγλαόκαρποι,
Συκαῖ τε γλυκεραί, καὶ ἐλαῖαι τηλεθόωσαι·
Τάων οὔποτε καρπὸς ἀπόλλυται, οὐδ' ἀπολείπει
Χείματος, οὐδὲ θέρευς, ἐπετήσιος· ἀλλὰ μάλ' αἰεὶ
Ζεφυρίη πνείουσα, τὰ μὲν φύει, ἄλλα δὲ πέσσει.
Ὄγχνη ἐπ' ὄγχνῃ γηράσκει, μῆλον δ' ἐπὶ μήλῳ,
Αὐτὰρ ὀπὶ σταφυλῇ σταφυλὴ, σῦκον δ' ἐπὶ σύκῳ.
Ἔνθα δέ οἱ πολύκαρπος ἀλωὴ ἐρρίζωται·
Τῆς ἕτερον μὲν, θειλόπεδον λευρῷ ἐνὶ χώρῳ
Τέρσεται ἠελίῳ· ἑτέρας δ' ἄρα τε τρυγόωσιν,
Ἄλλας δὲ τραπέουσι· πάροιθε δέ τ' ὄμφακές εἰσιν,
Ἄνθος ἀφιεῖσαι, ἕτεραι δ' ὑποπερκάζουσιν.
Ἔνθα δὲ κοσμηταὶ πρασιαὶ παρὰ νείατον ὄρχον
Παντοίαι πεφύασιν, ἐπηετανὸν γανόωσαι·

113 ΤΕ. Τετράγυον γῆν· γῦν δὲ μίτεον γῆς μαρχικήν. ΕΡ. Περίφραγμα, τεῖχον. ΕΛ. Τετείχιστο. ΑΜ. Νῦν, πανταχόθεν.

114 ΤΗ. Πάνυ θάλλοντα.

115 ΟΓ. Ἄπιοι. ΑΓ. Λαμπρὸν καρπὸν φέροντα.

116 ΤΗ. Θάλλουσι, ἀκμάζουσι.

118 ΧΕΙ. Χειμῶνος. ΘΕ. Θέρους. ΕΠ. Ἑκάστῳ ἰνιαυτῷ, ἢ ἐφ' ὅλῳ τῷ ἔτει ἑνιαυτῷ.

119 ΖΕ. Ἡ ζεφύρου πνοή. ΠΕΣ. Πεπαίνει, πέπειρα ποιεῖ.

120 ΟΓ. Ἄπιοι.

122 ΑΛ. Ἀμπελόφυτον γῆν. ΕΡ. Πεφύτευται.

123 ΘΕΙ. Ἔνθα θείλος γίνεται βοτρύων, καὶ ἡλιοῦνται, καὶ ψύχονται· ἢ ὁ ψυχρός. ΛΕΥ. Λείαν, ὁμαλῆν, ἢ πλατεῖαν.

124 ΤΕΡ. Ἀπὸ δ', πέφυκε.

125 ΤΡΑ. Πλεῖόν. ΠΑ. Τὸ πλῆθος ἐμπεσοῦσιν ἐπ τούτων ἐν ἑτέρῳ τόπῳ, διὸ πάλιν ἐπιφέρει, ἕτερα δ' ὑποπερκάζουσιν, οὐχὶ ὅλας.

126 ΑΝ. Ἀπὸ ἄνθους εἰς ὄμφακας μεταβάλλουσι. ΥΠ. Τῇ παρασκευῇ ἀκμάζουσιν· οἷον ὅτε δ' ὄμφακες μεταβάλλουσιν εἰς τὸ μέλαν τὰ σταφυλῆς χρῶμα πιπαινόμεναι.

127 ΚΟΣ. Ἐν τάξει διατεθειμέναι. ΠΡΑ. Αἱ λαχαναῖαι, ἢ αἱ τῶν φυτῶν τεταγμέναι χύσεις, ὡς τὰ σιλιθία. ΝΕΙ. Ἔσχατον. ΟΡ. Στίχον ἀμπέλου.

128 ΠΕ. Εἰσὶν, ὑπάρχουσιν. ΕΠ. Δικτυωτῶς. ΓΑ. Θάλλουσι, λάμπουσι.

Ἐν

Ἐν δὲ δύω κρῆναι, ἡ μὲν τ' ἀνὰ κῆπον ἅπαντα
Σκίδναται, ἡ δ' ἑτέρωθεν ὑπ' αὐλῆς ἀδὸν ἴησι
Πρὸς δόμον ὑψηλὸν, ὅθεν ὑδρεύοντο πολῖται.
Τοῖά ῥ' ἐν Ἀλκινόοιο θεῶν ἔσαν ἀγλαὰ δῶρα.
Ἔνθα στὰς θηεῖτο πολύτλας δῖος Ὀδυσσεύς.
Αὐτὰρ ἐπειδὴ πάντα ἐῷ θηήσατο θυμῷ,
Καρπαλίμως ὑπὸρ ἀδὸν ἐβήσετο δώματος ἔσω.
Εὗρε δὲ Φαιήκων ἡγήτορας ἠδὲ μέδοντας
Σπένδοντας δεπάεσσιν ἐυσκόπῳ Ἀργειφόντῃ,
ὯΙ, πυμάτῳ σπένδεσκον, ὅτε μνησαίατο κοίτου.
Αὐτὰρ ὁ βῆ διὰ δῶμα πολύτλας δῖος Ὀδυσσεὺς,
Πολλὴν ἠέρ' ἔχων, ἣν οἱ περίχευεν Ἀθήνη,
Ὄφρ' ἵκετ' Ἀρήτην τε καὶ Ἀλκίνοον βασιλῆα.
Ἀμφὶ δ' ἄρ' Ἀρήτῃ βάλε γούνασι χεῖρας Ὀδυσσεύς·
Καὶ τότε δὴ ῥ' αὐτοῖο πάλιν χύτο θέσφατος ἀήρ.
Οἱ δ' ἄνεῳ ἐγένοντο δόμον κατὰ φῶτα ἰδόντες·
Θαύμαζον δ' ὁρόωντες· ὁ δ' ἐλλιτάνευεν Ὀδυσσεύς·
" Ἀρήτη, θύγατερ Ῥηξήνορος ἀνδρὶ θεοῖο,
" Σόν τε πόσιν, σά τε γούναθ' ἱκάνω, πολλὰ μογήσας,
" Τοῖσδε τε δαιτυμόνας, τοῖσιν θεοὶ ὄλβια δοῖεν
" Ζωέμεναι, καὶ παισὶν ἐπιτρέψειεν ἕκαστος
" Κτήματ' ἐνὶ μεγάροισι, γέρας θ', ὅ, τι δῆμος ἔδωκεν·
" Αὐτὰρ ἐμοὶ πομπὴν ὀτρύνετε πατρίδ' ἱκέσθαι

130 ΙΗ. Ῥεῖ.
131 ΥΔ. Ὕδωρ ἐλάμβανεν.
132 ΤΟΙ. Τοιαῦτα.
137 ΕΥ. Καλῶς σκοπεῖτε.
138 ΠΥ. Ἐπὶ ὀνειροπομπῷ, ἢ ὕπνῳ παρικτικῷ· διὸ, Εἰλετο δ' ῥαδάν, τῇ τ' ἀοιδῷ ὄμματα θέλγῃ. ΚΟΙ. Κοίτης.
143 ΘΕΣ. Θεῖος, γυμνασίου.
144 ΑΝ. Ἡσυχοι.
148 ΟΔ. Ἐν εὐδαιμονίᾳ παρέχειν ζῆσαι.
149 ΕΠ. Παροιδεῖν.
151 ΟΤ. Ἐπαξαι, παρεμπήξατε.

" Θᾶσσον· ἐπειδὴ δηθὰ φίλων ἄπο πήματα πάσχω.
Ὡς εἰπὼν καὶ ἄρ' ἔζετ' ἐπ' ἐσχάρῃ ἐν κονίῃσι
Πὰρ πυρί· οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ.
Ὀψὲ δὲ δὴ μετέειπε γέρων ἥρως Ἐχένηος,
Ὃς δὴ Φαιήκων ἀνδρῶν προγενέστερος ἦεν,
Καὶ μύθοισι κέκασσο, παλαιά τε, πολλά τε εἰδώς.
Ὅς σφιν εὐφρονέων ἀγορήσατο καὶ μετέειπεν·
" Ἀλκίνοε, ἦ μέν τοι τόδε κάλλιον, ἠδὲ ἔοικε,
" Ξεῖνον μὲν χαμάδις ἧσθαι ἐπ' ἐσχάρῃ ἐν κονίῃσιν·
" Οἵγε δὲ σὸν μῦθον πεπιδέγμενοι ἰσχανόωνται.
" Ἀλλ' ἄγε δὴ ξεῖνον μὲν ἐπὶ θρόνου ἀργυροήλου
" Εἴσαν ἀναστήσας· σὺ δὲ κηρύκεσσι κέλευσον
" Οἶνον ὀπιπρῆσαι, ἵνα καὶ Διὶ τερπικεραύνῳ
" Σπείσομεν, ὅς θ' ἱκέτῃσιν ἅμ' αἰδοίοισιν ὀπηδεῖ·
" Δόρπον δ' ὄφρα τάχιστα πανείη δότω ἔνδον ἐόντων.
Αὐτὰρ ἐπεὶ τόγ' ἄκουσ' ἱερὸν μένος Ἀλκινόοιο,
Χειρὸς ἑλὼν Ὀδυσῆα δαίφρονα, ποικιλομήτην,
Ὦρσεν ἀπ' ἐσχαρόφιν, καὶ ἐπὶ θρόνου εἷσε φαεινοῦ,
Υἱὸν ἀναστήσας, ἀγαπήνορα Λαοδάμαντα,
Ὃς οἱ πλησίον ἷζε, μάλιστα δέ μιν φιλέεσκε.
Χέρνιβα δ' ἀμφίπολος προχόῳ ἐπέχευε φέρουσα
Καλῇ, χρυσείῃ, ὑπὲρ ἀργυρέοιο λέβητος,

154 ΑΚ. Ἡσύχως.
157 ΚΕ. Παροδοκίμως.
160 ΕΠ. Παρὰ τὴ ἐσχάρα.
161 ΙΣ. Κατίσχονται.
163 ΕΙ. Κάθισεν.
164 ΕΠ. Ἐπὶ τῷ ὄντι ἕτερον ἐπικρᾶσιν.
165 ΙΚ. Ἰκίταις. ΟΠ. Ἀκολουθεῖ.
166 ΤΑ. Ταμιεῖον, φύλαξ.
168 ΠΟΙ. Σωστὰ βουλόμενοι.
169 ΩΡ. Ἀνίστησιν. ΕΣ. Ἀπὸ τῆς ἐσχάρας.
170 ΑΓ. Ὑπὸ ἀνδρῶν ἀγαπητῶν· ἢ φιλανθρώπων· ἢ τὸν ἀγαπῶντα ἀνδρείως.

Νίψασθ'

Νίψαδς· τῇσι δὲ ξεσὴν ἐτάνυσε τράπεζαν·
Σῖτον δ' αἰδοίη ταμίη παρέθηκε φέρεσσι,
Εἴδατα πόλλ' ὀπιθεῖσι, χαριζομένη παρεόντων·
Αὐτὰρ ὁ πῖνε κῆ ἦδε πολύτλας δῖος Ὀδυσεύς.
Καὶ τότε κήρυκα προσέφη μθος Ἀλκινόοιο·
" Ποντόνοε, κρητῆρα κεραστάμθος μέθυ νεῖμον
" Πᾶσιν ἀνὰ μέγαρον, ἵνα καὶ Διῖ τερπικεραύνῳ
" Σπείσωμεν, ὅθ' ἱκέτῃσιν ἅμ' αἰδοίοισιν ὀπηδεῖ.
Ὣς φάτο· Ποντόνοῳ δὲ μελίφρονα οἶνον ἐκίρνα·
Νώμησεν δ' ἄρα πᾶσιν ἐπαρξάμθος δεπάεσσιν.
Αὐτὰρ ἐπεὶ σπεῖσάν τ', ἔπιόν θ', ὅσον ἤθελε θυμὸς,
Τοῖσιν δ' Ἀλκίνοος ἀγορήσατο κῆ μετέειπε·
" Κέκλυτε, Φαιήκων ἡγήτορες ἠδὲ μέδοντες,
" Ὄφρ' εἴπω, τά με θυμὸς ἐνὶ στήθεσσι κελεύθ.
" Νῶϊ μὲν δαισάμθοι κατακείετε οἶκαδ' ἰόντες·
" Ἠῶθεν δὲ γέροντας ὀπὶ πλέονας καλέσαντες,
" Ξεῖνον ἐνὶ μεγάροις ξεινίσσομεν, ἠδὲ θεοῖσι
" Ῥέξομεν ἱερὰ καλά· ἔπειτα δὲ ϲ πεὶ πομπῆς
" Μησόμεθ', ὥϛ' ὁ ξεῖνος ἄνευθε πόνε κῆ ἀνίης
" Πομπῇ ὕφ' ἡμετέρῃ ἣν πατρίδα γαῖαν ἵκῃ),
" Χαίρων καρπαλίμως· εἰ κῆ μάλα τηλόθεν ἐϛί.
" Μηδέ τι μεσσηγύς γε κακὸν κῆ πῆμα πάθῃσι,
" Πρίν γε τ' ἧς γαίης ὀπιδήμθαι· ἔνθα δ' ἔπειτα

179 ΝΕΙ. Μίεσσιν, ἀμέδε.
181 ΑΙ. Αἰδῆς ἀξίοις, πμίοις.
183 ΝΩ. Διίδυκεν, ἰμίεσσιν. ΕΠ. Τῷ κατεχῷ τῆς πόσεως πεπαύμθῳ.
188 ΔΑΙ. Εὐωχηθέντες. ΚΑ. Κοιμᾶσθε, καθεύδησατε, καθεκοιμήθητε. ΙΟΝ. Ἀπιλθόντες.
192 ΑΝ. Λύπης, ἀνίας.
195 ΜΕΣ. Μεταξύ.

" Πείσε᾽ ἄασα οἱ αἶσα, κατακλῶθές τε βαρεῖαι
" Γεινομένῳ νήσαντο λίνῳ, ὅτε μιν τέκε μήτηρ.
" Εἰ δέ τις ἀθανάτων γε κατ᾽ ἠρανὸ εἰλήλυθεν,
" Ἄλλο τι δὴ τόδ᾽ ἔπειτα θεοὶ πεμηχανόωνται.
" Αἰεὶ γὰρ τοπάρος γε θεοὶ φαίνονται ἐναργεῖς
" Ἡμῖν, εὖθ᾽ ἕρδωμεν ἀγακλειτὰς ἑκατόμβας·
" Δαίνυνταί τε παρ᾽ ἄμμι καθήμενοι, ἔνθα περ ἡμεῖς.
" Εἰ δ᾽ ἄρα τις καὶ μοῦνος ἰὼν ξύμβλητ᾽ ὀδίτης,
" Οὔλι κατακρύπτεσκον· ἐπεὶ σφίσιν ἐγγύθεν εἰμέν,
" Ὥσπερ Κύκλωπές τε, καὶ ἄγρια φῦλα Γιγάντων.
Τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσεύς·
" Ἀλκίνοε, ἄλλό τι τοι μελέτω φρεσίν· ὃ γὰρ ἔγωγε
" Ἀθανάτοισιν ἔοικα, τοὶ ἠρανὸν εὐρὺν ἔχουσιν,
" Οὐ δέμας, οὐδὲ φυλὴ, ἀλλὰ θνητοῖσι βροτοῖσιν.
" Οὕς τινας ὑμεῖς ἴστε μάλιστ᾽ ὀχέοντας ὀίζυν
" Ἀνθρώπων, τοῖσίν κεν ἐν ἄλγεσιν ἰσωσαίμην·
" Καὶ δ᾽ ἔτι κεν καὶ πλείον᾽ ἐγὼ κακὰ μυθησαίμην,
" Ὅσσα γε δὴ ξύμπαντα θεῶν ἰότητι μόγησα.
" Ἀλλ᾽ ἐμὲ μὲν δορπῆσαι ἐάσατε, κηδόμενόν περ·
" Οὐ γάρ τι συγερὴ ἐπὶ γαστέρι κύντερον ἄλλο

197 ΑΙ. Μοῖρα, εἱμαρμένη. ΚΑ. Αἱ καθικλώθουσι, καὶ καθειμοιρῶσι ἑκάστῳ τὸ εἱμαρμένον. ΒΑ. Κακοποιοί. Ἄλλως. Κατακλῶθες, ἐπικλῶστες τὰς μοίρας.

198 ΓΕΙ. Τικτομένῳ. ΝΗ. Ἐπένησαν, ἐπεμοίρησαν.

201 ΕΝ. Φανεροί.

202 ΕΡ. Θύωμεν.

203 ΔΑΙ. Εὐαχῆνται.

204 ΞΥΜ. Σωτύχῃ. ΟΔ. Ὀλοιπόρῳ.

205 ΕΙ. Ἐσμέν.

206 ΚΥΚ. Ὡς ἀσὶν ἀλλήλων ἐγγὺς Κύκλωπές τε καὶ Γίγαντες· ἤτοι κατὰ γῆν, ἢ κατὰ τόπον, ἢ κατὰ ἀδικίαν. ὕστως καὶ ἡμεῖς ἀλλοῖς πλησίον, καὶ δικαιοσύνῃ.

209 ΕΟΙ. Ὅμοιος εἰμί.

211 ΟΧ. Ὑποφέροντας, ἢ ἔχοντας καὶ βαστάζοντας.

214 ΙΟ. Βελήσῃ.

215 ΔΟΡ. Δειπνῆσαι.

216 ΚΥΝ. Ἀναιδέστερον, χαλεπώτερον.

" Ἔπλετο,

" Ἔπλετο, ἦτ' ἐκέλευσεν ἔο μνήσασθαι ἀνάγκη,
" Καὶ μάλα τειρόμενον, ᾧ ἐνὶ φρεσὶ πένθος ἔχοιμι.
" Ὡς καὶ ἐγὼ πένθος μὲν ἔχω φρεσίν· ἡ δὲ μάλ' αἰεὶ
" Ἐσθέμεναι κέλεται καὶ πινέμεν· ὄφρα δέ με πάντων
" Λησθείην, ὅσα πάσχον, καὶ ἐνιπλήσασθαι ἀνώγει.
" Ὑμεῖς δ' ὀτρύνεσθε ἅμ' ἠοῖ φαινομένηφιν,
" Ὡς κέ με τὸ δύσηνον ἐμῆς ὀπιφήσεται πάτρης,
" Καίπερ πολλὰ παθόντα· ἰδούλια μὲ καὶ λίποι αἰὼν
" Κτῆσιν ἐμοὶ, δμῳάς τε, καὶ ὑψερεφὲς μέγα δῶμα.
Ὡς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἐπήινεον, ἠδ' ἐκέλευον
Πεμπέμεναι τὸν ξεῖνον, ἐπεὶ κατὰ μοῖραν ἔειπεν.
Αὐτὰρ ἐπεὶ σπείσαν τ', ἔπον θ', ὅσον ἤθελε θυμὸς,
Οἱ μὲν κακκείοντες ἔβαν οἰκόνδε ἕκαστος·
Αὐτὰρ ὁ ἐν μεγάρῳ ὑπελείπετο δῖος Ὀδυσσεὺς,
Πὰρ δέ οἱ Ἀρήτη τε, καὶ Ἀλκίνοος θεοειδὴς
Ἥατο· ἀμφίπολοι δ' ἀπεκόσμεον ἔντεα δαιτός.
Τοῖσιν δ' Ἀρήτη λευκώλενος ἤρχετο μύθων,
Ἔγνω γὰρ φᾶρός τε, χιτῶνά τε, εἵματ' ἰδοῦσα,
Καλὰ, τά ῥ' αὐτὴ τεύξε, σὺν ἀμφιπόλοισι γυναιξί·
Καί μιν φωνήσασ' ἔπτα πτερόεντα προσηύδα·
" Ξεῖνε, τὸ μέν σε πρῶτον ἐγὼν εἰρήσομαι αὐτὴ,
" Τίς; πόθεν εἰς ἀνδρῶν; τίς τοι τάδε εἵματ' ἔδωκεν;

217 ΕΟ. Ἑαυτῆς. ΜΝΗ. Μνημονῦσαι.
221 ΛΗ. Ἐπιλαθέσθαι ποιεῖ. ΕΝ. Πληρῶσαι. ΑΝ. Κελεύῃ.
222 ΟΤ. Ἐπέχεσθαι.
223 ΔΥ. Δυσνχῆ. ΕΠ. Ἐπῆνησαν ποιήσαι.
224 ΑΙ. Ὁ βίος.
229 ΚΑΚ. Κατακοιμηθησόμενοι.
232 ΗΣ. Ἐκαθίζοντο. ΑΠ. Ἀφήρουν. ΕΝ. Τὰ ὅπλα τῆς ἰσχίας, οἷον τραπίζας, καὶ τὰ τοιαῦτα.
234 ΕΓ. Ἐπίγνω.
235 ΤΑ. Ἃ δή.
237 ΕΙ. Ἐρωτήσαι.

" Οὐ

" Οὐ δὴ φῆς ἐπὶ πόντον ἀλώμενος ἐνθάδ' ἱκέσθαι;
Τιὼ δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
" Ἀργαλέον, βασίλεια, διιπετέως ἀγορεῦσαι
" Κήδε', ἐπεί μοι πολλὰ δόσαν θεοὶ οὐρανίωνες.
" Τοῦτο δέ τοι ἐρέω, ὅ μ' ἀνείρεαι, ἠδὲ μεταλλᾷς·
" Ὠγυγίη τις νῆσος ἀπόπροθεν εἰν ἁλὶ κεῖται,
" Ἔνθα μὲν Ἄτλαντος θυγάτηρ, δολόεσσα Καλυψώ,
" Ναίει ἐϋπλόκαμος, δεινὴ θεός· οὐδέ τις αὐτῇ
" Μίσγεται, οὔτε θεῶν, οὔτε θνητῶν ἀνθρώπων.
" Ἀλλ' ἐμὲ τὸν δύσηνον ἐφέσσιον ἤγαγε δαίμων
" Οἷον, ἐπεί μοι νῆα θοὴν ἀργῆτι κεραυνῷ
" Ζεὺς ἔλασας ἐκέασσε, μέσῳ ἐνὶ οἴνοπι πόντῳ.
" Ἔνθ' ἄλλοι μὲν πάντες ἀπέφθιθον ἐσθλοὶ ἑταῖροι·
" Αὐτὰρ ἐγὼ, τρόπιν ἀγκὰς ἑλὼν νεὸς ἀμφιελίσσης,
" Ἐννῆμαρ φερόμην· δεκάτῃ δέ με νυκτὶ μελαίνῃ
" Νῆσον ἐς Ὠγυγίην πέλασαν θεοὶ, ἔνθα Καλυψὼ
" Ναίει ἐϋπλόκαμος, δεινὴ θεός· ἣ με λαβοῦσα,
" Ἐνδυκέως ἐφίλει τε, τ' ἔτρεφεν, ἠδὲ ἔφασκε,
" Θήσειν ἀθάνατον, τ' ἀγήραον ἤματα πάντα·
" Ἀλλ' ἐμὸν οὔποτε θυμὸν ἐνὶ στήθεσσιν ἔπειθεν.
" Ἔνθα μὲν ἐπτάετες μύμον ἔμπεδον, εἵματα δ' αἰεὶ
" Δάκρυσι δεύεσκον, τά μοι ἄμβροτα δῶκε Καλυψώ·

241 ΔΙ. Νωῖ, ταχέως· ἢ, τὸ σύμπαν.
244 ΩΓ. Ἡ Καλυψὼς νῆσος.
245 ΔΟ. Δόλιος μηχανᾶσθαι δυναμένη.
248 ΕΦ. Ἐπὶ τῷ οἰκίαν αὐτῆς ἐπιξενωθησόμενον.
250 ΕΛ. Σωιλάσας. ΕΚ. Διέχισε.
251 ΑΠ. Διεφθάρησαν.
252 ΤΡΟ. Τὸ κατώτατον μέρος τῆς νεὼς, ὅθεν ὁ χίζεται τὸ κῦμα, ἢ τὸ μέσον τῆς νεὼς ξύλον. ΑΓ. Ἐνεκίχλισε μυθῶν, ἐθελκῶν.
256 ΕΝ. Φιλοφρόνως· ἔφασκε δὴ, ἀντὶ τοῦ, ἔλεγεν.
260 ΔΕΥ. Ἔρρεχον. ΑΜ. Θεῖα,

" Ἀλλ'

" Ἀλλ' ὅτε δὴ ὄγδοόν μοι ὑπεπλόμεθον ἔτος ἦλθε,
" Καὶ τότε δή με κέλευσεν ἐποτρύνεσθαι νέεσθαι,
" Ζηνὸς ὑπ' ἀγγελίης, ἢ γὰρ νόος ἐτράπετ' αὐτῆς.
" Πέμπε δ' ἐπὶ σχεδίης πολυδέσμου· πολλὰ δ' ἔδωκε,
" Σῖτον καὶ μέθυ ἡδύ· καὶ ἄμβροτα εἵματα ἕσσεν·
" Οὖρον δὲ προέηκεν ἀπήμονά τε, λιαρόν τε.
" Ἑπτακαιδεκάνυκτα μὲν πόλεον ἅλματα πόντου περήσας,
" Ὀκτωκαιδεκάτῃ δ' ἐφάνη ὄρεα σκιόεντα
" Γαίης ὑμετέρης· γήθησε δέ μοι φίλον ἦτορ,
" Δυσμόρῳ· ἦ γὰρ ἔμελλον ἔτι ζωέσεσθαι ὀιζύϊ
" Πολλῇ, τήν μοι ἐπῶρσε Ποσειδάων ἐνοσίχθων·
" Ὃς μοι ἐφορμήσας ἀνέμους, κατέδησε κελεύθους,
" Ὧρινεν δὲ θάλασσαν ἀθέσφατον· οὐδέ τι κῦμα
" Εἴα ἐπὶ σχεδίης ἀδινὰ στενάχοντα φέρεσθαι.
" Τὴν μὲν ἔπειτα θύελλα διεσκέδασ'· αὐτὰρ ἔγωγε
" Νηχόμενος τόδε λαῖτμα διέτμαγον· ὄφρα με γαίῃ
" Ὑμετέρῃ ἐπέλασσε φέρων ἄνεμός τε καὶ ὕδωρ.
" Ἔνθα κε μ' ἐκβαίνοντα βίησατο κῦμα ἐπὶ χέρσου,
" Πέτρῃς πρὸς μεγάλῃσι βαλὸν καὶ ἀπερπέϊ χώρῳ·
" Ἀλλ' ἀναχασσάμενος νῆχον πάλιν, ἕως ἐπῆλθον
" Ἐς ποταμόν, τῇ δή μοι ἐείσατο χῶρος ἄριστος,

261 ΕΠ. Συμπληρούμενον, ἐμπεριυμένον.
262 ΕΠ. Ἐπάγουσα.
263 ΑΓ. Νῦν, κελεύσεως.
265 ΕΣ. Ἐνέδυσεν.
266 ΑΠ. Ἀδλαδῆ. ΑΙ. Ἡδύν.
270 ΞΥΝ. Σωτῆνα τῇ παλαιπορίᾳ.
272 ΕΦ. Ἐπιγάρας. ΚΑ. Ἐνεπίδιπ.
273 ΩΡ. Ἐτάραξεν. ΑΘ. Πολλύ.
274 ΑΔ. Ἀθρόως, οἰκτρά.
276 ΝΗ. Κολυμβῶν. ΔΙ. Διίτιμον.
277 ΕΠ. Ἐγγίσας ἐπόησε.
279 ΑΤ. Ἀηδῖ, χαλεπῷ.
280 ΝΗ. Ἐνεχόμην, κωλυόμενον.
281 ΕΕΙ. Ἐφαίνετο.

" Λεῖος

" Λεῖος πετράων· ϗ ἐπὶ σκέπας ἦν ἀνέμοιο.
" Ἐκ δ' ἔπεσον θυμηγερέων· ἐπὶ δ' ἀμβροσίη νὺξ
" Ἦλυθ'· ἐγὼ δ' ἀπάνευθε διίπετέος ποταμοῖο
" Ἐκβὰς ἐν θάμνοισι κατέδραθον· ἀμφὶ ἢ Φύλλα 285
" Ἠφυσάμιλλ· ὕπνον δὲ θεὸς κατ' ἀπείρονα χεῦεν.
" Ἔνθα μὲν ἐν Φύλλοισι, φίλον τετιημένος ἦτορ,
" Εὗδον παννύχιος, ϗ ἐπ' ἠῶ, ϗ μέσον ἦμαρ·
" Δύσετό τ' ἠέλιος, καί μ' γλυκὺς ὕπνος ἀνῆκεν.
" Ἀμφιπόλας δ' ἐπὶ θινὶ τεῆς ἐνόησα θυγατρὸς 290
" Παιζούσας, ἐν δ' αὐτὴ εἶλω εἰκυῖα θεοῖσιν.
" Τὴν ἱκέτευσ'· ἡ δ' ὄτι νοήματος ἤμβροτεν ἐσθλῆ,
" Ὡς οὐκ ἂν ἔλπιο νεώτερον ἀντιάσαντα
" Ἐρξέμεν· αἰεὶ γάρ τε νεώτεροι ἀφραδέουσιν.
" Ἥ μοι σῖτον ἔδωκεν ἄλις, ἠδ' αἴθοπα οἶνον, 295
" Καὶ λοῦσ' ἐν ποταμῷ, καί μοι πόδε εἵματ' ἔδωκεν.
" Ταῦτά τοι, ἀχνύμενός περ, ἀληθείην κατέλεξα.
Τὸν δ' αὖτ' Ἀλκίνοος ἀπαμείβετο, φώνησέν τε·
" Ξεῖνε, ἦτοι μὲν τοῦτό γ' ἐναίσιμον οὐκ ἐνόησε
" Παῖς ἐμὴ, ὅνεκά σ' ὄτι μετ' ἀμφιπόλοισι γυναιξὶν 300
" Ἦγεν ἐς ἡμέτερον· σὺ δ' ἄρα πρώτιστον ἱκέτευσας.

282 ΛΕΙ. Ὁμαλός. ΣΚΕ. Σκέπη.
283 ΘΥ. Λειποψυχῶν, ἢ συλλαμβάνων, ϗ σωίζων, ϗ ἀνακτώμενο τὴν ψυχήν.
284 ΔΙ. Τὸ ὑπὸ τοῦ Διὸς ὄμβρων πλημμύρα ποταμοῦ.
285 ΚΑ. Κατακοιμήθην.
286 ΗΦ. Κυρίως ὁ παρεισαλύμενος, ἀλλ' ἐπλώτλησα, καὶ ἐπέβαλον ἀθρόα· νῦν δ', ἐπιχειρῶ. ΑΠ. Πολύν.
287 ΤΕ. Λελυπημένος.
289 ΑΝ. Ἀφῆκεν.
290 ΤΕ. Τῆς σῆς.
292 ΗΜ. Ἥμαρπεν, ἀπέτυχεν.
293 ΕΛ. Ἐλπίσειας.
294 ΕΡ. Πράξαι. ΑΦ. Μωραίνουσι.
295 ΑΛ. Αὐτάρκως.
297 ΚΑΤ. Εἶπα εἶπον.
299 ΕΝ. Καθῆκον.
301 ΗΜ. Τιτίσιν, εἰς τὸ ἡμέτερον οἶκον. Ἀπικὸς ὁ σχηματισμός.

Τὸν

Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
" Ἥρως, μή μοι τοῦνεκ' ἀμύμονα νείκεε κάρτως·
" Ἣ μὲν γάρ μ' ἐκέλευε σὺν ἀμφιπόλοισιν ἕπεσθαι·
" Ἀλλ' ἐγὼ οὐκ ἔθελον, δείσας, αἰσχυνόμενός τε,
" Μήπως οἱ σὺ θυμὸς ὀπισκύσαιλο ἰδόντι·
" Δύσζηλοι γάρ τ' εἰμὲν ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων.
Τὸν δ' αὖτ' Ἀλκίνοος ἀπαμείβετο, φώνησέν τε·
" Ξεῖν', ἔ μοι τοιοῦτον ἐνὶ φρεσὶ φίλον κῆρ
" Μαψιδίως κεχολῶσθαι· ἀμείνω δ' αἴσιμα πάντα.
" Αἰ γὰρ, Ζεῦ τε πάτερ, καὶ Ἀθηναίη, καὶ Ἄπολλον,
" Τοῖος ἐὼν, οἷος ἐσσὶ, τά τε φρονέων, ἅτ' ἐγώ περ,
" Παῖδά τ' ἐμὴν ἐχέμεν, καὶ ἐμὸς γαμβρὸς καλέεσθαι,
" Αὖθι μιμνὼν· οἶκον δὲ ἐγὼ καὶ κτήματα δοίην,
" Αἴκ' ἐθέλων γε μένοις· ἀέκοντα δέ σ' οὔτις ἐρύξει
" Φαιήκων· μὴ τοῦτο φίλον Διὶ πατρὶ γένοιτο.
" Πομπὴν δ' ἐς τόδ' ἐγὼ τεκμαίρομαι, ὄφρ' εὖ εἰδῇς,
" Αὔριον· ἐς τῆμος δὲ σὺ μὲν δεδμημένος ὕπνῳ
" Λέξεαι· οἱ δ' ἐλόωσι γαλήνην, ὄφρ' ἂν ἵκηαι
" Πατρίδα σὴν, καὶ δῶμα, καὶ εἴπερ τι φίλον ἐστίν·

303 ΑΜ. Μῶμον καὶ ὄνειδος ἐκ[illegible] ἔχοντα, ἀγαθὴν. ΝΕΙ. Μέμφεται.
306 ΕΠ. Ὀρχήσεως.
307 ΔΥΣ. Κακόζηλοι, φθονεροί.
308 ΑΠ. Ἀντιπαρέβαλλετο, ἀντὶ τοῦ, ἐξ ἀρχοῦς ἀφιστόρησε.
310 ΑΜ. Τὰ κυδίστοις φάσθαι πρεπόντα ἐστίν.
313 ΠΑ. Τοῦτο λέγει παρόμοιον ᾧ ὁ Ὀδυσσεὺς, οἱ τοὺς ἀληθεύοντας παραινοῦσιν ἧδε γάμοι· οἱ γὰρ ἄφρονες ὑπέχουσι χαλεπὸν, πάντως ἐλεγχθήσεσθαι κρείττονι φιλοσόφου. ΕΧ. Γαμοῦσι.
314 ΔΟ. Παρόχουσι.
317 ΤΕΚ. Τελεῖν.
318 ΤΗ. Τηνικαῦτα. ΔΕΔ. Δαμασθείς, ὑποζυχθείς, ἢ δεδαμασμένος.
319 ΛΕΞ. Κοιμηθήσῃ. ΕΛ. Ἐλάσουσι. ΓΑ. Γαληναίους, ἡσύχους.
320 ΦΙ. Ὅτι ἂν σοι φιλίας ἦσι.

" Εἴπερ καὶ μάλα πολλὸν ἑκαστέρω ἔς᾽ Εὐβοίης·
" Τὴν γὰρ τηλοτάτω φάσ᾽ ἔμμεναι, οἵ μιν ἴδοντο
" Λαῶν ἡμετέρων, ὅτε τε ξανθὸν Ῥαδάμανθυν
" Ἦγον, ἐπιψώμενον Τιτυὸν, Γαιήιον υἱόν·
" Καὶ μὲν οἱ ἔνθ᾽ ἦλθον, καὶ ἄτερ καμάτοιο τέλεσσαν
" Ἤματι τῷ αὐτῷ, καὶ ἀπήγαγον οἶκαδ᾽ ὀπίσω.
" Εἰδήσεις δὲ καὶ αὐτὸς ἐνὶ φρεσὶν, ὅσσον ἄριστη
" Νῆες ἐμοὶ καὶ κοῦροι, ἀναρρίπτειν ἅλα πηδῷ.
Ὣς φάτο· γήθησεν δὲ πολύτλας δῖος Ὀδυσσεύς·
Εὐξάμενος δ᾽ ἄρα εἶπεν, ἔπος τ᾽ ἔφατ᾽, ἔκ τ᾽ ὀνόμαζε·
" Ζεῦ πάτερ, αἴθ᾽ ὅσσα εἶπε, τελεύτησειεν ἄπαντα,
" Ἀλκίνοος· τῶ μέν κεν ἐπὶ ζείδωρον ἄρουραν
" Ἄσβεστον κλέος εἴη, ἐγὼ δέ κε πατρίδ᾽ ἱκοίμην.
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
Κέκλετο δ᾽ Ἀρήτη λευκώλενος ἀμφιπόλοισιν
Δέμνι᾽ ὑπ᾽ αἰθούσῃ θέμεναι, καὶ ῥήγεα καλὰ
Πορφύρε᾽ ἐμβαλέειν, στορέσαι τ᾽ ἐφύπερθε τάπητας,
Χλαίνας τ᾽ ἐνθέμεναι ἕλκας, καθύπερθεν ἑσσῶν.

321 ΕΚ. Ποῤῥωτέρω.

322 ΤΗ. Ποῤῥωτάτω.

324 ΕΠ. Θιασσάμενοι. ΤΙ. Τὸν τῆς γῆς ἡνίοχος ὁ τύπος. Ἐλαύνει γὰρ τὴν Ὀρχομενὸν, πρὶν Μίνωα, συμελθὼν Ζεὺς, λαβὼν τὴν τ᾽ Ἥρας ζηλοτυπίαν ἔκρυψεν αὐτὴν κατὰ γῆς. ἡ γὰρ ἀνῆκε παῖδα ἐξοχώτατον, ὃς ἀνομάσθη Τιτυὸς, ὃς ἠράσθη Λητοῦς, καὶ ἐτοξεύθη ὑπὸ τοῦ Ἀπόλλωνος· ἦκε δ᾽ ὁ Ῥαδάμανθυς ἐπὶ δίαν τοῦ Τιτυοῦ, ἣ δίκαιος ὤν, ἐσωφρόνισεν αὐτόν. Φασὶ γὰρ οἱ Φαίακες πλησίον τῶν μακάρων νήσων κατοικοῦντες. ΓΑΙ. Τὸν τῆς γῆς υἱόν.

326 ΗΜ. Τῇ αὐτῇ ἡμέρᾳ.

327 ΕΙ. Γνώσῃ, μαθήσῃ. ΑΡ. Κάλλιστα.

328 ΑΝ. Κωπλατῶν· ἀναῤῥιπτούντων γὰρ τὸ ὕδωρ ὑπὸ τῶν κωπλατούντων. ΠΗ. Ναῶν, ὁ πηδαλίῳ (ὁ γὰρ ἔχων πηδάλιον) ἀλλὰ κώπαις παρὰ τὸ πλεῖν τῷ θαλάσσαν· πηδὸν γὰρ, εἶδος ξύλου· ἢ πηδῷ, τῷ πλατεῖ τῶν κώπης.

331 ΤΕ. Εἰς τέλος ἄξειεν, πληρώσειεν.

336 ΔΕΜ. Στρώματα. ΑΙ. Σπᾷ. ΡΗ. Βαπίᾳ, ἐφιππώματα.

338 ΟΥ. Ἀπιλάς. ΚΑ. Ἀνῆκε, ὑπεράνθη.

Αἱ

Αἱ δ' ἴσαν ἐκ μεγάροιο, θάος μετὰ χερσὶν ἔχουσαι·
Αὐτὰρ ἐπεὶ σόρεσαν πυκινὸν λέχος ἐγκονέουσαι,
Ὤτρυνον Ὀδυσῆα παρεστάμεναι ἐπέεσσιν·
"Ὄρσο κέων, ὦ ξεῖνε· πεπόνηαι δὲ τοι εὐνή.
Ὡς φάν· τῷ δ' ἀπάσασθαι ἐείσατο κοιμηθῆναι,
Ὡς ὁ μὲν ἔνθα καθεῦδε πολύτλας δῖος Ὀδυσεὺς,
Τρητοῖς ἐν λεχέεσσιν, ὑπ' αἰθούσῃ ἐριδούπῳ.
Ἀλκίνοος δ' ἄρα λέκτο μυχῷ δόμου ὑψηλοῖο·
Παρ' ᾗ γυνὴ δέσπουνα λέχος πόρσυνε καὶ εὐνήν.

339 ΔΑ. Φῶς, λαμπάδα.
340 ΕΓ. Σπεύδουσαι, συνεργοῦσαι ἑπιμελῶς.
342 ΚΕ. Κοιμησόμενος.
343 ΑΣ. Ἀπασσῶς, ἡδέως.
345 ΑΙ. Ὑπὸ τῇ ἠχητικῇ.
346 ΔΕΚ. Ἑτοιμάζῃ. ΜΥ. Τῷ ἱσωτάτῳ.

ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΟΔΥΣΣΕΙΑΣ Θ

ΤΟΥ ΟΜΗΡΟΥ

ΡΑΨΩΔΙΑΣ.

Εκλησία γίνεται τῶν Φαιάκων περὶ τοῦ ξένου, καὶ ναῦς καθέλκεται πρὸς ἀπομπὴν τοῦ Ὀδυσσέως, καὶ ἑστῶντα παρὰ τὴν Ἀλκινόου τῶν Φαιάκων οἱ ἄεθλοι, καὶ μετὰ ταῦτα δίσκῳ ἀγωνίζονται Φαίακες καὶ Ὀδυσσεύς· καὶ ὁ Δημόδοκος ᾄδει, πρῶτα μὲν τὰ περὶ τῶν μοιχείων Ἄρεως καὶ Ἀφροδίτης· ἔπειτα δὲ τὰ περὶ τοῦ ἀπαγγελοῦ τοῦ Δουρείου ἵππου· καὶ τοῦ Ὀδυσσέως κλαίοντος, ὁ Ἀλκίνοος συνιδόντες, λέγει τί κλαιεῖ καὶ τίς, καὶ πόθεν εἴη.

Θῆτα δ' ἄθλοις Φαίηκες Ὀδυσῆος πείρηθεν.

Ἦμός δ' ἠελίοιο φάνη ῥοδοδάκτυλος Ἠώς,
Ὦρνυτ' ἄρ' ἐξ εὐνῆς ἱερὸν μένος Ἀλκινόοιο·
Ἂν δ' ἄρα διογενὴς ὦρτο πολίπορθος Ὀδυσσεύς·
Τοῖσιν δ' ἡγεμόνευε ἱερὸν μένος Ἀλκινόοιο
Φαιήκων ἀγορήνδ', ἦ σφιν παρὰ νηυσὶ τέτυκτο.
Ἐλθόντες δ' ἕζοντο ἐπὶ ξεστοῖσι λίθοισι
Πλησίον· ἡ δ' ἀνὰ ἄστυ μετῴχετο Παλλὰς Ἀθήνη,

1 ΗΜΟΣ. Ἠείκα, ὅτε.
3 ΩΓ. Ἀνίστη.
5 Η. Ἧτις αὐτοῖς.

Εἰδομένη

Εἰδομένῃ κήρυκι δαΐφρονος Ἀλκινόοιο,
Νόστον Ὀδυσσῆϊ μεγαλήτορι μητιόωντι·
Καί ῥα ἑκάεργον Φοῖβιν παρελεγαμένη φάτο μῦθον·
" Δεῦτ' ἄγε, Φαιήκων ἡγήτορες, ἠδὲ μέδοντες,
" Εἰς ἀγορὴν ἰέναι, ὄφρα ξείνοιο πύθησθε,
" Ὅς νέον Ἀλκινόοιο δαΐφρονος ἵκετο δῶμα,
" Πόντον ἀπιπλαγχθείς, δέμας ἀθανάτοισιν ὁμοῖος.
Ὣς εἰποῦσ', ὦτρυνε μένος καὶ θυμὸν ἑκάστου·
Καρπαλίμως δ' ἔμπλητο βροτῶν ἀγοραί τε, καὶ ἕδραι
Ἀγρομένων· πολλοὶ γὰρ ἐθηήσαντο ἰδόντες
Υἱὸν Λαέρταο δαΐφρονα· τῷ δ' ἄρ' Ἀθήνη
Θαυμασίλῳ κατέχευε χάριν κεφαλῇ τε, καὶ ὤμοις·
Καί μιν μακρότερον καὶ πάσσονα θῆκεν ἰδέσθαι,
Ὡς κεν Φαιήκεσσι φίλος πάντεσσι γένοιτο,
Δεινός τ', αἰδοῖός τε, καὶ ἐκτελέσειεν ἀέθλους
Πολλούς, οὓς Φαίηκες ἐπειρήσαντ' Ὀδυσῆος.
Αὐτὰρ ἐπεί ῥ' ἤγερθεν, ὁμηγερέες τ' ἐγένοντο,
Τοῖσιν δ' Ἀλκίνοος ἀγορήσατο καὶ μετέειπε·
" Κέκλυτε, Φαιήκων ἡγήτορες, ἠδὲ μέδοντες,
" Ὄφρ' εἴπω, τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει·
" Ξεῖνος ὅδ', οὐκ οἶδ' ὅστις, ἀλώμενος ἵκετ' ἐμὸν δῶ,

11 ΔΕΥ. Ἀμφότερα παρακελεύσεως παρ' Ὁμήρῳ κεῖται.
12 ΙΕ. Προσθῆναι. ΠΥ. Ἀκούσῃτι.
16 ΕΜ. Ἐπληρώθησαν. ΑΓ. Αἱ συλλήψεις. ΕΔ. Τὰ συνέδρια.
17 ΑΓ. Ἀθροιζομένων. ΕΘ. Ἐθαύμαζον.
19 ΚΑ. Κατίσχυσιν.
20 ΠΑΣ. Παχύτερον, ἢ πλατύτερον.
22 ΔΕΙ. Δίκης καὶ φόβου ἄξιος. ΕΚ. Πληθωτικῶς εἶπε τὸν τοῦ δίκην ἔθελον. Κράτης δὲ τὸν καὶ Ἰθάκῃ ἤκουσιν οἴκους.

" Ἠὲ

" Ἠὲ πρὸς Ἠοίων, ἢ Ἑσπερίων ἀνθρώπων·
" Πομπὴν δ' ὀτρύνῃ, καὶ λίσσεσθαι ἔμπεδον εἶναι.
" Ἡμεῖς δ', ὡς τοπάρος περ, ἐπιτρυνώμεθα πομπήν.
" Οὐδέ τι δὴ ἀδὲ τις ἄλλος, ὅτις κ' ἐμὰ δώματ' ἵκηται,
" Ἐνθάδ' ὀδυρόμενος δηρὸν μένῃ, εἵνεκα πομπῆς.
" Ἀλλ' ἄγε, νῆα μέλαιναν ἐρύσσομεν εἰς ἅλα δῖαν
" Πρωτόπλοον· κέρα δὲ δύω, καὶ πεντήκοντα,
" Κεκριμένοι κατὰ δῆμον, ὅσοι πάρος εἰσὶν ἄριστοι.
" Δησάμενοι δ' εὖ πάντες ἐπὶ κληῖσιν ἑρετμὰ
" Ἔκβητ'· αὐτὰρ ἔπειτα θοὴν ἁλεγύνετε δαῖτα,
" Ἡμέτερόνδ' ἐλθόντες· ἐγὼ δ' εὖ πᾶσι παρέξω·
" Κέρσιν μὲν ταῦτ' ἐπιτέλλομαι· αὐτὰρ οἱ ἄλλοι
" Σκηπτοῦχοι βασιλῆες ἐμὰ πρὸς δώματα καλὰ
" Ἔρχεσθ', ὄφρα ξεῖνον ἐνὶ μεγάροις φιλέωμεν,
" Μηδέ τις ἀρνείσθω· καλέσασθε δὲ θεῖον ἀοιδὸν
" Δημόδοκον· τῷ γάρ ῥα θεὸς περὶ δῶκεν ἀοιδὴν
" Τερπνήν, ὅππη θυμὸς ἐπιτρύνῃσιν ἀείδειν.

Ὣς ἄρα φωνήσας ἡγήσατο· τοὶ δ' ἅμ' ἕποντο
Σκηπτοῦχοι· κῆρυξ δὲ μετὼχετο θεῖον ἀοιδόν.
Κέρσι δὲ κεκριμένοι δύω, καὶ πεντήκοντα,

29 ΗΟΙ. Τῶν ἀνακτελικῶν. ΕΣ. Τῶν δυτικῶν.
30 ΟΤ. Ἐπείγῃ. ΛΙΣ. Παρακαλεῖ. ΕΜ. Τὸν θεὸς πάντας ἐκκαλεῖται πομπήν, ταύτην καὶ ἐπὶ τούτοις τηρεῖν βεβαίαν.
31 ΕΠ. Παρασκευάσωμεν.
34 ΔΙ. Μεγάλην.
35 ΠΡΩ. Καινήν.
36 ΚΡΙ. Ἐπιλεχθήτωσαν.
37 ΔΗ. Δήσαντες. ΚΔΗ. Καθέδραις.
38 ΘΟ. Ἀντὶ τοῦ θοᾶς. ΑΛ. Εὐτρεπίζετε.
39 ΗΜ. Εἰς τὸ ἡμέτερον οἶκον.
40 ΚΟΥ. Νέοις.
42 ΦΙ. Φιλοφρονησώμεθα.
45 ΟΠ. Ὅσα βούλεται αὐτὸς, ἢ, ὅσα ἡ ἐπιθυμία τῶν ἀκουόντων. ΕΠ. Παρορμᾷ.
47 ΜΕ. Μετὴ.

Βήτω,

Βήτην, ὡς ἐκέλευσ', ἐπὶ θῖν' ἁλὸς ἀτρυγέτοιο.
Αὐτὰρ ἐπεί ῥ' ἐπὶ νῆα κατήλυθον, ἠδὲ θάλασσαν,
Νῆα μὲν οἵ γε μέλαιναν ἁλὸς βένθοσδε ἔρυσαν,
Ἐν δ' ἱστόν τ' ἐτίθεντο καὶ ἱστία νηὶ μελαίνῃ.
Ἠρτύναντο δ' ἐρέτμὰ τροπῖς ἐν δερματίνοισι,
Πάντα κατὰ μοῖραν· ἀνὰ δ' ἱστία λευκὰ πέτασαν.
Τῷ δ' ἐν νοτίῳ τῷ γ' ὦρμισαν· αὐτὰρ ἔπειτα
Βάν ῥ' ἴμεν Ἀλκινόοιο δαΐφρονος ἐς μέγα δῶμα.
Πλῆντο δ' ἄρ' αἴθουσαί τε, καὶ ἔρκεα, καὶ δόμοι ἀνδρῶν
Ἀγρομένων· πολλοὶ δ' ἄρ' ἔσαν νέοι, ἠδὲ παλαιοί.
Τοῖσιν δ' Ἀλκίνοος δυοκαίδεκα μῆλ' ἱέρευσεν,
Ὀκτὼ δ' ἀργιόδοντας ὕας, δύο δ' εἰλίποδας βῶς·
Τὼς δέρον ἀμφί θ' ἕπον, τετύκοντό τε δαῖτ' ἐραλεινήν.
Κῆρυξ δ' ἐγγύθεν ἦλθεν ἄγων ἐρίηρον ἀοιδὸν,
Τὸν περὶ Μοῦσ' ἐφίλησε, δίδου δ' ἀγαθόν τε, κακόν τε,
Ὀφθαλμῶν μὲν ἄμερσε, δίδου δ' ἡδεῖαν ἀοιδήν.
Τῷ δ' ἄρα Ποντώνοος θῆκε θρόνον ἀργυρόηλον
Μέσσῳ δαιτυμόνων, πρὸς κίονα μακρὸν ἐρείσας·
Κὰδ δ' ἐκ παναλόφιν κρέμασεν φόρμιγγα λιγεῖαν
Αὐτῆ ὑπὲρ κεφαλῆς, καὶ ἐπέφραδε χερσὶν ἑλέσθαι

53 ΤΡΟ. Τοῖς πρόπαντήρσι.
55 ΝΟ. Ὑγρᾷ, τῷ διύγρῳ.
57 ΠΛΗ. Ἐπληρώθησαν. Αἴθουσαι δ, αἱ πρὸς ἥλιον πεπλαμμέναι τοιχοι. ΔΟ. Οἶκοι.
60 ΑΡ. Λευκὼς & ὀξεῖς ὀδόντας ἔχοντας. ΥΑΣ. Χοίρους.
62 ΕΡ. Μεγαλωφελῆ, ἀγαθὸν, ἰσχυρόν.
63 ΔΙ. Πῶς ὃν ἐφίλησε; ἤτοι ἐπεὶ οἱ πολλοὶ μουσικάτεροι, μὴ ἀπὸ σοφίας ἀγελάμενοι· ἢ οἰκονομικῶς, ἵνα μὴ ἐπιγνῷ τὴν Ὀδυσσέα· ἢ ἐπεὶ πάντως ἄνθρωπον ὄντα δεῖ κατά τι δυστυχεῖν. Τινὲς δέ φασιν, ὡς αὐτὸν παῦσαι αἰνίττεσθαι τὴν Ποιητήν.
64 ΑΜ. Ἐτέρπετο.
66 ΕΡ. Ὑπερθάσας.
67 ΠΑΣ. Κατὰ δὲ παστάδα. ΔΙ. Ἡδεῖαν.
68 ΚΕ. Ὑπεράνω τῆς κεφαλῆς. ΕΛ. Λαοῦ. Ἤτοι ἐσήμανεν, ἵνα ἀνέληται παῖς χερσίν· ἢ τὰς χεῖρας ἐπίθηκεν, ἵνα γνῷ, ἵνα κεῖται.

Κῆρυξ·

Κῆρυξ· τὼ δ' ἐτίθη κάνεον, καλήν τε τράπεζαν,
Πὰρ δ' δέπας οἴνοιο, πιεῖν, ὅτε θυμὸς ἀνώγοι.
Οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
Αὐτὰρ ἐπεὶ τόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
Μῶσ' ἄρ' ἀοιδὸν ἀνῆκεν ἀειδέμεναι κλέα ἀνδρῶν,
Οἶμης, τ τότ' ἄρα κλέος οὐρανὸν εὐρὺν ἵκανε·
Νεῖκος Ὀδυσσῆος καὶ Πηλείδεω Ἀχιλῆος,
Ὡς ποτε δηλήσαντο, θεῶν ἐν δαιτὶ θαλείῃ,
Ἐκπάγλοις ἐπέεσσιν· ἄναξ δ' ἀνδρῶν Ἀγαμέμνων
Χαῖρε νόῳ, ὅτ' ἄριστοι Ἀχαιῶν δηριόωντο·
Ὡς γὰρ οἱ χρείων μυθήσατο Φοῖβος Ἀπόλλων
Πυθοῖ ἐν ἠγαθέῃ, ὅθ' ὑπέρβη λάϊνον οὐδὸν
Χρησόμενος· τότε γάρ ῥα κυλίνδετο πήματος ἀρχὴ
Τρωσί τε καὶ Δαναοῖσι, Διὸς μεγάλου διὰ βουλάς.
Ταῦτ' ἄρ' ἀοιδὸς ἄειδε περικλυτός· αὐτὰρ Ὀδυσσεὺς
Πορφύρεον μέγα φᾶρος ἐλὼν χερσὶ στιβαρῇσι,
Κὰκ κεφαλῆς εἴρυσε, κάλυψε δὲ καλὰ πρόσωπα·
Αἴδετο γὰρ φαίηκας, ὑπ' ὀφρύσι δάκρυα λείβων.

73 ΑΝ. Ἀνήγειρεν ἐπὶ τῷ ᾠδῷ ἐμπνεύσασα. ΑΕΙ. Ἄδειν.

74 ΟΙ. Ὠδὴς, ἢ διηγήσας· ἔνθεν καὶ εὐθοίμιον.

75 ΝΕΙ. Φασὶ τῷ Ἀχαιμένους χρεωμένῳ περὶ δ τ πόλεμον τέλος, ἀνελεῖν τ ἐν Δελφοῖς Ἀπόλλωνα, τότε πορθήσειν τὸ Ἴλιον. ὅτ' ἂν οἱ ἄριστοι τ Ἑλλήνων στασιάσωσι· καὶ δὴ παρὰ πότον ἀμφιλεχθέντων Ὀδυσσέως καὶ Ἀχιλλέως, δ μ Ἀχιλλέως ἀνδρείαν ἐπαινούντ, δ δ Ὀδυσσέως σύνεσιν, μ τῷ Ἕκτορ ἀναιρεῖσιν, ὅτε ὁ μ βιάζεσθαι παρήνει, διὸ καὶ ἀνῃρέθη· ὁ δ δόλῳ μετελθεῖν· ὃ Ἀχαιμένους, ὡς τελευμένη δ λόγῳ χρῆναι. Ἐσήμανε δ καὶ τῷ αὐτῷ ἀμφορέα πρὸς Ἀχιλλέα.

76 ΔΗ. Διὰ λόγων ἐφιλονείκησαν. ΘΑ. Τῇ θυμώσῃ, ἢ θάλλειν ποιούσῃ.

77 ΕΚ. Ἄγαν ἐριστικῶς.

78 ΔΗ. Ἐφιλονείκει.

79 ΧΡ. Χρησμῳδῶν, μαντευόμενος.

80 ΠΥ. Πυθὼ, πόλις τ Φωκίδος, ἡ αὐτὴ καὶ Δελφοί.

81 ΧΡΗ. Μαντεύσόμενος. ΚΥ. Ἐκυλίετο, ἐπήει.

85 ΚΑΚ. Κατὰ τ κεφαλῆς.

86 ΑΙ. Ἠδεῖτο.

Ἦτοι ὅτε λήξειεν ἀείδων θεῖος ἀοιδός,
Δάκρυ' ὀμορξάμενος, κεφαλῆς ἀπὸ φᾶρος ἔλεσκε,
Καὶ δέπας ἀμφικύπελλον ἑλὼν, σπείσασκε θεοῖσιν·
Αὐτὰρ ὅτ' ἂψ ἄρχοιτο, καὶ ὀτρύνειαν ἀείδειν
φαιήκων οἱ ἄριστοι, (ἐπεὶ τέρπονθ' ἐπέεσσιν,)
Ἂψ Ὀδυσεὺς κατὰ κρᾶτα καλυψάμενος γοάασκεν.
Ἔνθ' ἄλλους μὲν πάντας ἐλάνθανε, δάκρυα λείβων,
Ἀλκίνοος δέ μιν οἷος ἐπεφράσατ', ἠδ' ἐνόησεν,
Ἥμενος ἄγχ' αὐτοῦ· βαρὺ δὲ στενάχοντος ἄκουσεν·
Αἶψα δὴ φαιήκεσσι φιληρέτμοισι μετηύδα·
" Κέκλυτε, φαιήκων ἡγήτορες, ἠδὲ μέδοντες,
" Ἤδη μὲν δαιτὸς κεκορήμεθα θυμὸν ἐίσης,
" Φόρμιγγός θ', ἣ δαιτὶ συήορός ἐστι θαλείῃ·
" Νῦν δ' ἐξέλθωμεν, καὶ ἀέθλων πειρηθῶμεν
" Πάντων· ὡς κε ὁ ξεῖνος ἐνίσπῃ οἷσι φίλοισιν,
" Οἴκαδε νοστήσας, ὅσσον περιγινόμεθ' ἄλλων,
" Πύξ τε, παλαισμοσύνῃ τε, καὶ ἅλμασιν, ἠδὲ πόδεσσιν.
Ὣς ἄρα φωνήσας, ἡγήσατο· τοὶ δ' ἅμ' ἕποντο·
Κὰδ δ' ἐκ πασσαλόφιν κρέμασε φόρμιγγα λιγεῖαν,
Δημοδόκῳ δ' ἔλε χεῖρα, καὶ ἐξάγεν ἐκ μεγάροιο
Κήρυξ· ἦρχε δὲ τῷ αὐτῷ ὁδὸν, ἥνπερ οἱ ἄλλοι
φαιήκων οἱ ἄριστοι, ἀέθλια θαυμανέοντες.
Βὰν δ' ἴμεν εἰς ἀγορὴν, ἅμα δ' ἕσπετο πολλὺς ὅμιλος,

87 ΑΗ. Παύσαιτο.
88 ΟΜ. Ἀποψηπάμενος. ΕΔ. Ἀφέλ.
90 ΟΤ. Ἐπήξειαν.
92 ΚΡΑ. Τῷ περιφλὴς. ΓΟ. Ἐλήλ.
99 ΣΥΝ. Συνημοσύνῃ.
103 ΑΛ. Πεδήμεναι.
108 ΘΑΥ. Θαυμάσιοι.
109 ΟΜ. Λαὸς.

Μυρίοι· ἂν δ' ἵσταντο νέοι πολλοί τε, καὶ ἐσθλοί.
Ὦρτο μὲν Ἀκρόνεώς τε, καὶ Ὠκύαλος, καὶ Ἐλατρεὺς,
Ναυτεύς τε, Πρυμνεύς τε, καὶ Ἀγχίαλος, ἠδ' Ἐρετμεὺς,
Πόντεύς τε, Πρωρεύς τε, Θόων, Ἀναβησινέως τε,
Ἀμφίαλός θ', υἱὸς Πολυνήου Τεκτονίδαο·
Ἂν δὲ καὶ Εὐρύαλος βροτολοιγῷ ἶσος Ἄρηϊ,
Ναυβολίδης θ', ὃς ἄριστος ἔην εἶδός τε, δέμας τε,
Πάντων Φαιήκων, μετ' ἀμύμονα Λαοδάμαντα·
Ἂν δ' ἔσαν τρεῖς παῖδες ἀμύμονες Ἀλκινόοιο,
Λαοδάμας θ', Ἅλιός τε, ἠδ' ἀντίθεος Κλυτόνηος.
Οἱ δή τοι πρῶτον μὲν ἐπειρήσαντο πόδεσσιν·
Τοῖσι δ' ἀπὸ νύσσης τέτατο δρόμος· οἱ δ' ἅμα πάντες
Καρπαλίμως ἐπέτοντο κονίοντες πεδίοιο.
Τῶν δὲ θέειν ὄχ' ἄριστος ἔην Κλυτόνηος ἀμύμων·
Ὅσσον τ' ἐν νειῷ ἧρον βόες ἠμιόνοιιν,
Τόσσον ὑπεκπροθέων λαὸς ἵκετ', οἱ δ' ἐλίποντο.
Οἱ δὲ παλαισμοσύνης ἀλεγεινῆς πειρήσαντο,
Τῇ δ' αὖτ' Εὐρύαλος ἀπεκαίνυτο πάντας ἀρίστους·
Ἅλματι δ' Ἀμφίαλος πάντων προφερέστερος ἦεν·
Δίσκῳ δ' αὖ πάντων προφερέστατος ἦεν Ἐλατρεὺς,
Πὺξ δ' αὖ Λαοδάμας, ἀγαθὸς πάϊς Ἀλκινόοιο.
Αὐτὰρ ἐπειδὴ πάντες ἐτέρφθησαν φρένα ἀέθλοις,
Τοῖς ἄρα Λαοδάμας μετέφη πάϊς Ἀλκινόοιο·

110 ΑΝ. Δύσησαν.
115 ΒΡΟ. Ἀνδροφόρῳ.
121 ΝΥΣ. Καμπῆρθ.
122 ΚΟ. Κόνιν ἐγειρόντες.
124 ΝΕΙ. Ἠρτεμισμένη γῇ. ΟΥ. Ὁρμηκῷ, Ἀφετμῷ.
125 ΥΠ. Προτρέχων. ΕΛ. Κατιλείφθησαν.
126 ΑΛ. Ἐπιπόνῳ. ΠΕΙ. Διάπτηρον ἴλαδον.
127 ΑΠ. Διίφιλος, εἰκῇ.
129 ΠΡΟ. Δωσιπάτατος, κρείττων.

" Δεῦτε

" Δεῦτε Φίλοι, τ̓ ξεῖνον ἐρώμεθα, εἴτιν̓ ἀέλθων
" Οἶδέ τε, καὶ δεδάηκε· Φυὴν γε μὲν ἀ κακὸς ἐστι,
" Μηρύς τε, κνήμας τε, ϑ̓ ἄμφω χεῖρας ὕπερθεν,
" Αὐχένα τε ϛιβαρὸν, μέγα τε σθένος· ἀδέ τι ἥβης
" Δεύεται, ἀλλὰ κακῆσι συνέρρηκται πολέεσσιν.
" Οὐ γὰ ἔγωγέ τι φημὶ κακώτερον ἄλλο θαλάσσης,
" Ἄνδρα τε συγχεῦαι, εἰ ϑ̓ μάλα καρτερὸς εἴη.
Τὸν δ̓ αὖτ̓ Εὐρύαλος ἀπαμείβετο, φώνησέν τε·
" Λαοδάμα, μάλα τῆτο ἔπος κατὰ μοῖραν ἔειπες·
" Αὐτὸς νῦν προκάλεσαι ἰὼν, ϑ̓ πέφραδε μύθῳ.
Αὐτὰρ ἐπεὶ τόγ̓ ἄκουσ̓ ἀγαθὸς πάις Ἀλκινόοιο,
Στῆ ῥ̓ ἐς μέσον ἰὼν, κὴ Ὀδυσῆα προσέειπεν·
" Δεῦῤ ἄγε κὴ σὺ, ξεῖνε πάτερ, πείρησαι ἀέθλων,
" Εἴ τινά πῃ δεδάηκας· ἔοικε δέ σ̓ ἴδμεν ἀέθλως·
" Οὐ μὲν γὰ μεῖζον κλέος ἀνέρος, ὄφρα κεν ἧσιν,
" Ἢ ὅτι ποσσίν τε ῥέξῃ καὶ χερσὶν ἐῇσιν.
" Ἀλλ̓ ἄγε πείρησαι, σκέδασον δ̓ ἀπὸ κήδεα ϑυμῷ·
" Σοὶ δ̓ ὁδὸς οὐκ ἔτι δηρὸν ἀπέσσεται, ἀλλά τοι ἤδη
" Νηῦς τε κατείρυσται, κὴ ἑπαρτέες εἰσὶν ἑταῖροι.
Τὸν δ̓ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσεύς·
" Λαοδάμα, τί με ταῦτα κελεύεις κερτομέοντες;
" Κήδεά μοι κὴ μᾶλλον ἐνὶ Φρεσὶν, ἢπερ ἄεθλοι,

133 ΕΡ. Ἐρωτήσωμεν.
134 ΔΕ. Μεμάθηκε.
137 ΣΥΝ. Συμπίπλωκεν, ἠλάπηκε), πεπλήγυται.
139 ΣΥΓ. Κακῶσι.
141 ΜΟΙ. Κατὰ τὸ πρέπον.
142 ΠΕ. Διασήμανον, ἐπί.
145 ΔΕΥΡ. Ἀμφίπορε πολυπλοκέ.
146 ΙΔ. Εἰδέναι.
147 ΟΦ. Ἕως ἄν. Η. Ἀπὸ τοῦ ὑπάρχει.
149 ΣΚΕ. Σκόρπισον. ΚΗ. Κακέ.
150 ΑΠ. Ἀπίσω.
151 ΝΗ. Ναῦς. ΚΑ. Καθάλυσαι.
ΕΠ. Ἕτοιμοι, ἐξηρτισμένοι.
153 ΚΕΡ. Χλοάζοντες.

" Ὃς πρὶν μὲν μάλα πόλλ' ἔπαθον, καὶ πολλ' ἐμόγησα·
" Νῦν δὲ μεθ' ὑμετέρην ἀγερωχὴ νόσφιο χατίζων
" Ἥκω, λιτόμβυος βασιλῆά τε, πάντα τε δῆμον.
Τὸν δ' αὖτ' Εὐρύαλος ἀπαμείβετο, νείκεσέ τ' ἄντην·
" Οὐ γάρ σ' ἀδὲ, ξεῖνε, δαήμονι φωτὶ ἐίσκω
" Ἄθλων, οἷά τε πολλὰ μετ' ἀνθρώποισι τέλονται·
" Ἀλλὰ τῷ, ὅς θ' ἅμα νηὶ πολυκληῖδι θαμίζων,
" Ἀρχὸς ναυτάων, οἵτε πρηκτῆρες ἔασιν,
" Φόρτα τε μνήμων, καὶ ὀπίσσωπος ἦσιν ὁδαίων,
" Κερδέων θ' ἁρπαλέων· ἀδ' ἀθλητῆρι ἔοικας.
Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς·
" Ξεῖν', ἃ καλὸν ἔειπες· ἀπαθάλῳ ἀνδρὶ ἔοικας.
" Οὕτως ἃ πάντεσσι θεὸς χαρίεντα δίδωσιν
" Ἀνδράσιν, ἄτε φυὴν, ἦτ' ἄρ' φρένας, ἦτ' ἀγορητύν·
" Ἄλλος μὲν γάρ τ' εἶδος ἀκιδνότερος πέλε ἀνὴρ,
" Ἀλλὰ θεὸς μορφὴν ἔπεσι στέφε· οἱ δέ τ' ἐς αὐτὸν
" Τερπόμενοι λεύσσουσιν· ὁ δ' ἀσφαλέως ἀγορεύει
" Αἰδοῖ μειλιχίῃ, μετὰ δ' ἀρέπτῳ ἀγερωχήσιν·
" Ἐρχόμενον δ' ἀνὰ ἄστυ, θεὸν ὣς, εἰσορόωσιν.
" Ἄλλος δ' αὖ εἶδος μὲν ἀλίγκιος ἀθανάτοισιν·

156 ΧΑ. Χρῄζων, διόμβῳ.
157 ΛΙΣ. Παρακαλῶν.
159 ΔΑ. Ἐμπείρῳ.
161 ΘΑ. Πυκνῶς πλέων, ἢ παρακινόμβῳ.
162 ΠΡΗ. Πρακτῆρες, ἔμπειροι.
163 ΦΟΡ. Ἐπιμελόμβος τῶν φορτίων, ἢ μνημονεύων ἕκαστον, πόσα ἦν ἄξιον. ΕΠ. Ἔφορος, ἢ φύλαξ. ΟΔ. Ἥιον.
164 ΚΕΡ. Ὠφελειῶν. ΑΡ. Ἃ ἅπας ἁρπάσεις ἀφ' ἑαυτοῦ. ΑΘ. Ἀγωνιστῇ.
166 ΑΤ. Ὑπερφάνῳ, ὑβριστῇ.
168 ΑΓ. Διάλεκτον, δημηγορίαν.
169 ΑΚ. Παρὰ τὸ ακίζω, ακίζω, ἀκιδὸς γίνῃ, ἀφ' ἧς ἐστὶ συγκελικὸν ἀκιδνότερος ἐστι, ἀδυνατίστερος, ἢ ἀσθενίστερος, ἢ ἀμφότερον.
170 ΕΠ. Λόγοις. ΣΤΕ. Κοσμεῖ.
171 ΛΕΥ. Λεύσσοντες, ὅ ἐστι βλέποντες. ΑΣ. Μὴ σφαλλόμβως, μὴ ἀμελετάτων ἐν τῷ λέγειν. ΑΓ. Διαλείμματος.
172 ΑΓ. Σωνηθροισμένοις.
174 ΑΔ. Ὅμοιος.

" Ἀλλ'

" Ἀλλ' ἤ οἱ χάρις ἀμφιπερικίσσηται ἐπέεσσιν. 175
" Ὡς καὶ σοὶ εἶδος μὲν ἀριπρεπὲς, οὐδὲ κεν ἄλλως
" Οὐδὲ θεὸς τοῦδε· νόον δ' ἀποφώλιος ἐσσί·
" Ὥρινάς μοι θυμὸν ἐνὶ φρεσὶ φίλοισιν,
" Εἰπὼν ὡς κατὰ κόσμον· ἐγὼ δ' ὡς νηὶς ἀέθλων,
" Ὡς σύ γε μυθεῖαι, ἀλλ' ἐν πρώτοισιν ὀΐω 180
" Ἔμμεναι, ὄφρ' ἤδη τε πεπίθεα, χερσί τ' ἐμῇσι.
" Νῦν δ' ἔχομαι κακότητι καὶ ἄλγεσι· πολλὰ γὰρ ἔτλην,
" Ἀνδρῶν τε πολέμους, ἀλεγεινά τε κύματα πείρων·
" Ἀλλὰ καὶ ὡς κακὰ πολλὰ παθὼν, πειρήσομ' ἀέθλων·
" Θυμοδακὴς γὰρ μῦθος· ἐπώτρυνας δέ με εἰπών. 185
Ἦ ῥα, καὶ αὐτῷ φάρει ἀναΐξας λάβε δίσκον
Μείζονα καὶ πάχετον, στιβαρώτερον οὐκ ὀλίγον περ,
Ἢ οἷῳ Φαίηκες ἐδίσκεον ἀλλήλοισι.
Τὸν ῥα περιρέψας ἧκε στιβαρῆς ἀπὸ χειρός·
Βόμβησεν δὲ λίθος· κατὰ δ' ἔπτηξαν ποτὶ γαίῃ 190
Φαίηκες δολιχήρεμοι, ναυσίκλυτοι ἄνδρες,
Λᾶος ὑπαὶ ῥιπῆς· ὁ δ' ὑπέρπατο σήματα πάντων,

175 ΑΜΦ. Παρακεκλιμένη, πάρεστιν.
176 ΑΡ. Ἐπίσημον, φανερόν. ΟΥ. Εἰ θεὸς θελήσει καλὸν ποιῆσαι τοιοῦτον, οἷος εἶ σύ.
177 ΤΕΥ. Ποιήσειν. ΑΠ. Ἀπαιδευτε.
178 ΩΡ. Ἐτάραξας.
179 ΝΗ. Ἄπειρος.
180 ΜΥ. Λίγιστος.
181 ΠΕ. Ἐπιπόθητον, ἐθελήτην.
182 ΕΧ. Σωίζομαι. ΑΛ. Κακῶς. ΕΤ. Ἐκμετρήσας.
183 ΠΕΙ. Διακτερῶν.
184 ΑΛ. Ἀλλὰ καὶ ὅμως.
185 ΘΥ. Τῆς ψυχῆς ἀψάμενος.
ΕΠ. Παρώξυνας.
186 ΑΥ. Σὺν τῷ ἱματίῳ, ὡς εἶχεν.
187 ΠΑ. Παχύτερον.
189 ΠΕΡ. Ὁ δίσκος οὐκ μίσην χεῖνον εἶχε.
190 ΒΟΜ. Τὸ ἐξῆς, ἦχησεν ὁ λίθος πρὸς τῇ γῇ, ὡς τὰς Φαίακας καταπλῆξαι· δύνασαι δὲ, καὶ ἔνδυσιν πρὸς τῷ γλῶ· ὅπερ οὐ καλαπλήξει ποιῆσαι. ΕΠ. Κατένδυσαι σκληρίνης.
191 ΔΟ. Μακραῖς κώπαις χρώμενοι, ὅ ἐστι ναυτικοί.
192 ΡΙ. Ὁρμῆς, βολῆς. ΣΗ. Σημεῖα· πηδῆ, βήματα.

Γίμφα

Ῥίμφα θεὸν ἀπὸ χειρός· ἔθηκε δὲ τέρματ' Ἀθήνη,
Ἀνδρὶ δέμας εἰκυῖα· ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε·
" Καί κ' ἀλαὸς τοι, ξεῖνε, Διακρίνειε τὸ σῆμα
" Ἀμφαφόων· ἐπεὶ ἄρτι μεμιγμένον ἐσὶν ὁμίλῳ,
" Ἀλλὰ πολὺ πρῶτον· σὺ δὲ θάρσει τόνδε γ' ἄεθλον·
" Οὔτις Φαιήκων τόν γ' ἴξεται, ὃς σ' ἀπερήσει.
Ὣς φάτο· γήθησεν δὲ πολύτλας δῖος Ὀδυσεὺς,
Χαίρων, ὕνεκ' ἑταῖρον ἐπήια λεῦσ' ἐν ἀγῶνι·
Καὶ τότε κυδρότερον μετεφώνεε Φαιήκεσσι·
" Τῶτον νῦν ἀφίκεσθε, νέοι· τάχα δ' ὕστερον ἄλλον
" Ἥσειν, ἢ τοιοῦτον, ὁμόφρονα, ἢ ἔτι μᾶσσον.
" Τῶν δ' ἄλλων, ὅτινα κραδίη θυμός τε κελεύῃ,
" Δεῦρ' ἄγε πειρηθήτω, ἐπεί μ' ἐχολώσατε λίην,
" Ἢ πυγμῇ, ἠὲ πάλῃ, ἢ καὶ ποσὶν, ὅττι μεγαίρω,
" Πάντων Φαιήκων, πλὴν γ' αὐτοῦ Λαοδάμαντος·
" Ξεῖνος γάρ μοι ὅδ' ἐστὶ· τίς ἂν φιλέοντι μάχοιτο;
" Ἄφρων δὴ κεῖνός γε καὶ ἀτιδανὸς πέλῃ ἀνήρ,
" Ὅστις ξεινοδόκῳ ἔριδα προφέρηται ἀέθλων,
" Δήμῳ ἐν ἀλλοδαπῷ· ἔο τ' αὐτοῦ πάντα κολάζῃ·
" Τῶν δ' ἄλλων ὅπερ τίν' ἀναίνομαι, ὅδ' ἀθερίζω,

193 ΡΙΜ. Ῥᾳδίως, εὐχερῶς. ΤΕΡ. Σημεῖα.
195 ΑΛ. Ὁ τυφλός. ΔΙ. Διακωρίσειεν.
196 ΑΜ. Ψηλαφῶν.
198 ΥΠ. Ὑπερῳδάσῃ, ὑπερφιάλει.
200 ΕΝ. Πρᾶον, σεσωσμένον. ΛΕΥ. Ἐφῆπτο, ὑπόλοιπον.
201 ΚΟΥ. Ἐπημείνων, παῤῥησιαστικώτερον, εὐθυμότερον. ΜΕ. Ἐν αὐτοῖς εἶπε.
202 ΤΟΥ. Τὸν τόπον, ἢ τὸ λίθον.
203 ΗΣ. Πίμψειν, ἀκριβίσειν. ΜΑΣ. Μακρότερον.
205 ΕΧ. Εἰς ὀργὴν ἐκίνησατε.
206 ΜΕ. Φθονῶ.
209 ΟΥ. Ἀνὴρ ἀδικος λόγου ἄξιος.
210 ΠΡΟ. Προσάλλῃ).
211 ΑΛ. Ἀλλοφύλῳ. ΚΟ. Καπασεύῃ, κωλύῃ, ἐμποδίζῃ. ΚΟ. Ἀφικίζῃ ἐ ἰλικτέοι τὰ ἑαυτῷ συμφέροντα.
212 ΟΥ. Οὐδένα. ΑΝ. Παραιτοῦμαι, ἀρνοῦμαι. ΑΘ. Ἀποδοκιμάζω, ἀποδάλλω.

" Ἀλλ'

" Ἀλλ' ἐθέλω ἰδμεν κ᾽ πειρηθήμεναι ἀντίω·
" Πάντα γὰρ ὑ κακός εἰμι μεθ' ἀνδράσιν, ὅσσοι ἄεθλοι.
" Εὖ μὲν τόξον οἶδα ἐΰξοον ἀμφαφάασθαι·
" Πρῶτός κ' ἄνδρα βάλοιμι, ὀϊστεύσας ἐν ὁμίλῳ
" Ἀνδρῶν δυσμενέων· εἰ κὴ μάλα πολλοὶ ἑταῖροι
" Ἄγχι πεδησάσθην, Ϛ τοξαζοίατο φωτῶν.
" Οἶος δὴ με φιλοκτήτης ἀπεκαίνυτο τόξῳ,
" Δήμῳ ἐνὶ Τρώων, ὅτε τοξαζοίμεθ' Ἀχαιοί.
" Τῶν δ' ἄλλων ἐμέ φημι πολὺ προφερέστερον εἶναι,
" Ὅσσοι νῦν βροτοί εἰσιν ἐπὶ χθονὶ σῖτον ἔδοντες.
" Ἀνδράσι δὲ προτέροισιν ἐριζέμεν οὐκ ἐθελήσω,
" Οὔθ' Ἡρακλῆι, ὅτ' Εὐρύτῳ Οἰχαλιῆι,
" Οἵ ῥα κὴ ἀθανάτοισιν ἐρίζεσκον πεὶ τόξων·
" Τῷ ῥα κ᾽ αἶψ' ἔθανεν μέγας Εὔρυτος, ὐδ' ἐπὶ γῆρας
" Ἵκετ' ἐνὶ μεγάροισι· χολωσάμενος γὰρ Ἀπόλλων
" Ἔκτανεν, ὕνεκά μιν προκαλίζετο τοξάζεσθαι.
" Δυρὶ δ' ἀκοντίζω, ὅσον οὐκ ἄλλος τις ὀϊστῷ·
" Οἷσισιν δείδοικα μόσιν, μήτις με παρέλθῃ
" Φαιήκων· λίλιον γὰρ ἀεικελίως ἐδαμάσθην
" Κύμασιν ἐν πολλοῖς· ἐπεὶ ὑ κομιδὴ κατὰ νῆα
" Ἦεν ἐπηετανός· τῷ μοι φίλα γύα λέλιωται.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ·
Ἀλκινοος δέ μιν οἷος ἀμειβόμενος προσέειπε·
" Ξεῖν', ἐπεὶ οὐκ ἀχάεσσε μεθ' ἡμῖν ταῦτ' ἀγορεύεις,

213 ΙΔ. Εἰδέναι.
215 ΑΜ. Μιταχωρίζισθαι.
220 ΤΟΞ. Εὐστόχως τοξεύσιμεν.
224 ΟΙ. Ἡ Οἰχαλία, πόλις τ Θισπαλίας.
226 ΤΩ. Διὲ δή.
230 ΟΙ. Μόνοις.
231 ΑΕΙ. Ἀπρεπῶς, χαλεπῶς.
232 ΚΟ. Ἐπιμέλεια.
233 ΕΠ. Δαψιλὴς, αὐτάρκης.
236 ΑΧ. Ἀηδῆ.

" Ἀλλ'

" Ἀλλ' ἐθέλεις ἀρετὴν σὴν φαινέμεν, ἤ τοι ὀπηδεῖ,
" Χωόμβος, ὅτι σ' ἔτος ἀνὴρ ἐν ἀγῶνι ᾠδᾶσαὶς
" Νείκεσεν· ὡς ἂν σὴν ἀρετὴν βροτὸς ἄτις ὄνοιτο,
" Ὅσις ἐπίστιτο ἦσι φρεσὶν ἄρτια βάζειν·
" Ἀλλ' ἄγε, νῦν ἐμέθεν ξωϊὸς ἔπος, ὄφρα κ' ἄλλῳ
" Εἴπῃς ἡρώων, ὅτε κεν σοῖς ἐν μεγάροισι
" Δαινύῃ ᾠδὸς σῇ τ' ἀλόχῳ καὶ σοῖσι τέκεσσιν,
" Ἡμετέρης ἀρετῆς μεμνημένος, οἷα καὶ ἡμῖν
" Ζεὺς ἐπὶ ἔργα τίθησι Δαμπερὲς ἐξέτι πατρῶν.
" Οὐ γὰρ πυγμάχοι εἰμὲν ἀμύμονες, οὐδὲ παλαισταί,
" Ἀλλὰ ποσὶ κραιπνῶς θέομεν, καὶ νηυσὶν ἄερσοι·
" Αἰεὶ δ' ἡμῖν δαὶς τε φίλη, κιθαρίς τε, χοροί τε,
" Εἵματά τ' ἐξημοιβά, λοετρά τε θερμὰ, καὶ εὐνή.
" Ἀλλ' ἄγε, Φαιήκων βητάρμονες, ὅσσοι ἄεισοι,
" Παίσατε· ὡς κ' ὁ ξεῖνος ἐνίσπῃ οἷσι φίλοισιν,
" Οἴκαδε νοστήσας, ὅσσον περιγνόμεθ' ἄλλων
" Ναυλιλίῃ, καὶ ποσὶ, καὶ ὀρχηστύϊ, ἠδ' ἀοιδῇ.
" Δημοδόκῳ δέ τις αἶψα κιὼν φόρμιγγα λίγειαν
" Οἰσέτω, ἥ πᾳ κεῖται ἐν ἡμετέροισι δόμοισιν.
Ὣς ἔφατ' Ἀλκινόοιο θεοείκελος· ὦρτο δὲ κῆρυξ

237 ΦΑ. Δεικνύειν.
239 ΟΝ. Μέμψαιτο.
240 ΕΠ. Εἰδείη. ΑΡ. Ἀπηρτισμένα.
241 ΞΥΝ. Νός, ἄκυε.
246 ΟΥ. Ἐλιξχθεῖς ἀρνεῖται, ἵπως εἰς τὸ μὴ παροξύνῃ τὴ Ὀδυσσέα. ΑΜ. Ἀμεμπῖοι.
247 ΘΕ. Τρέχομεν.
249 ΕΞ. Ἄλλοτε ἄλλα ἀμαθόμβα καὶ ἀλλαστόμβα.
250 ΒΗ. Ὀρχήσομαι, ἀπὸ τῦ βαίνειν ἁρμοδίως.
251 ΠΑΙ. Παίζατε, Ἀπιπαῖς, χορεύσατε. ΕΝ. Εἰπὴ.
252 ΠΕ. Ὑπερίχομεν.
253 ΝΑΥ. Τῇ ἀφελ τῶν ναυτικῶν τέχνη. ΟΡ. Ὀρχήσομαι.
256 ΩΡ. Ὥρμησεν.

Οἴσων

Οἵσων Φόρμιγγα λιγυρὴν δόμεν ἐκ βασιλῆος.
Αἰσυμνῆται δὲ κριτοὶ ἐνέα πάντες ἀνέρτεν
Δήμιοι, οἳ κατ' ἀγῶνας ἐϋπρήσσεσκον ἔκαστα·
Λείηναν δὲ χορὸν, καλὸν δ' εὐρύναν ἀγῶνα. 260
Κήρυξ δ' ἐγγύθεν ἦλθε φέρων φόρμιγγα λίγειαν
Δημοδόκῳ· ὁ δ' ἔπειτα κὶ ἐς μέσον· ἀμφὶ δὲ κοῦροι
Πρωθήβαι ἵσταντο, δαήμονες ὀρχηθμοῖο·
Πέπληγον δὲ χορὸν θεῖον ποσίν· αὐτὰρ Ὀδυσεὺς
Μαρμαρυγὰς ἠείτο ποδῶν, θαύμαζε δὲ θυμῷ. 265
Αὐτὰρ ὁ φορμίζων ἀνεβάλλετο καλὸν ἀείδειν,
Ἀμφ' Ἄρεος φιλότητος, ἐϋστεφάνου τ' Ἀφροδίτης,
Ὡς τὰ πρῶτα μίγησαν ἐν Ἡφαίστου δόμοισι
Λάθρῃ· πολλὰ δ' ἔδωκε, λέχος δ' ἤχμωσε Θ εὐνὴν
Ἡφαίστου ἄνακτος· ἄφαρ δὲ οἱ ἄγγελ Θ ἦλθεν 270
Ἥλιος, ὃς σΦ' ἐνόησε μιγεζομένους φιλότητι.
Ἡφαιστος δ', ὡς ἔν θυμαλγέα μῦθον ἄκουσε,

257 ΟΙ. Κομίσων. ΓΛΑ. Κοίλῳ, ἀφ' τὸ γεγλύφθαι.

258 ΑΙ. Οἱ πρὸς ἡμῶν λεγόμενοι βραδύδυται, ἢ ἀργοδέται· ἤτοι ἐπίσκοποι ἢ ἀγῶν Θ· ἢ εἴη ἄν, ἢ τὸ ἔτυμον, αἰσυμνητῆται, οἱ τὸ αἶσον, ὁ ἐστι τὸ κρατὶ μοῖραν ἢ καθῆκον, ἀπονέμοντες τοῖς ἀγωνιζομένοις. ΚΡΙ. Ἐπίλεκτοι.

259 ΔΗ. Δημόσιοι. ΠΡΗ. Ἔπρακτοι, ὑπηρέται.

260 ΛΕΙ. Ὁμαλὸν ἐποίησαν. ΧΟ. Τὸν τόπον, ἔνθα ἔμελλον χορεύειν. ΕΥ. Ἐπλάτυναν. ΑΓ. Τὸν τόπον, ἐν ᾧ ἠγωνίζοντο.

263 ΠΡΩ. Τὸ ἄκρον τῆς ἀκμῆς ἔχοντες, ὅ ἐστιν, ἀκμάζοντες. ΔΑ. Ἐμπειροι. ΟΡ. Ὀρχήσεως.

264 ΠΕΠ. Ἔπληξαν, ἔκρουσαν.

265 ΜΑΡ. Τὰς σωτόνους τῶν ποδῶν κινήσεις· οὐ γὰρ ταῖς ἐξείαις κινήσεσι ἀπόπληξις τῶν ποδῶν γίνεται. ΘΗ. Ἐθαύμαζεν.

266 ΑΝ. Ἀνεκρέετο, ἐθαυμάζετο.

267 ΑΡ. Περὶ κοινωνίας Ἄρεως καὶ Ἀφροδίτης· μακρόθεν παιδεύει αὐτὰς μὴ ἀπολαύειν, ὡς καὶ ἡμᾶν ἀφ' ταῦτα ἀχημοσύντων. ΕΥ. Καλὴν στέφανην ἐχόσης· στέφανη γὰρ, κόσμῳ γυναικῶν.

271 ΗΛ. Ἐνταῦθα τρισυλλάβως λέγει τὸ θεόν. ΣΦΕ. Αὐτὸς. ΜΙ. Μεμνημένος. ΦΙΛ. Σωφρονίζει.

272 ΘΥ. Τὴν ψυχὴν λυπῆσαι.

Βῆ ῥ' ἴμεν ἐς χαλκεῶνα, κακὰ φρεσὶ βυσσοδομεύων·
Ἐν δ' ἔθετ' ἀκμοθέτῳ μέγαν ἄκμονα, κόπτε δὲ δεσμὸς
Ἀῤῥήκτους, ἀλύτους, ὄφρ' ἔμπεδον αὖθι μένοιεν.
Αὐτὰρ ἐπειδὴ πεῦξε δόλον, κεχολωμένος Ἥφῃ,
Βῆ ῥ' ἴμεν ἐς θάλαμον, ὅθι οἱ φίλα δέμνι' ἔκειτο·
Ἀμφὶ δ' ἄρ' ἑρμῖσιν χέε δέσματα κύκλῳ ἁπάντη·
Πολλὰ δὲ καθύπερθε μελαθρόφιν ἐξεκέχυντο
Ἠΰτ' ἀράχνια λεπτά, τά κ' οὐ νέ τις οὐδὲ ἴδοιτο
Οὐδὲ θεῶν μακάρων· περὶ γὰρ δολόεντα τέτυκτο.
Αὐτὰρ ἐπειδὴ πάντα δόλον ὡεὶ δέμνια χεῦεν,
Εἶσιτ' ἴμεν ἐς Λῆμνον, ἐϋκτίμενον πολίεθρον,
Ἣ οἱ γαιάων πολὺ φίλτατη ἐστὶν ἁπασέων.
Οὐδ' ἀλαοσκοπιὴν εἶχε χρυσήνιος Ἄρης,
Ὡς ἴδεν Ἥφαιστον κλυτοτέχνην νόσφι κιόντα·
Βῆ δ' ἴμμαι πρὸς δῶμα περικλυτὸν Ἡφαίστοιο,
Ἰχανόων φιλότητος ἐϋστεφάνου Κυθερείης.
Ἣ δὲ νέον παρὰ πατρὸς ἐριαθενέος Κρονίωνος
Ἐρχομένη κατ' ἄρ' ἕζετ'· ὁ δ' ἔσω δώματος ἦεν,

273 ΧΑΛ. Τὸν τόπον, ἐν ᾧ ἐχάλκευεν, τὸ χαλκεῖον. ΒΥΣ. Κατὰ βαθὺς τὸ ἀφανοὺς βαλβύσσω.

274 ΑΚ. Τῷ ἐρύσμασι, ἐν ᾧ ὁ ἄκμων ἐντίθεται. ΚΟΠ. Κατεσκεύαζεν.

276 ΔΟ. Παυσεργίαν.

277 ΔΕΜ. Στρώματα.

278 ΕΡ. Τοῖς ποσὶ τὴν κλίνην· ἕρμα γὰρ ὑποτίθεται τὴν κλίνην, παρὰ τὸ ἐρείδεσθαι. ΧΕ. Περιέβαλλεν. ΔΕΣ. Δεσμούς.

279 ΜΕ. Ἐκ τῆς ὀροφῆς. ΕΞ. Ἐξήρτητο.

280 ΑΡ. Τὰ τῶν ἀραχνῶν ὑφάσματα.

281 ΘΕ. Μακαρίων δαιμόνων. ΔΟ. Παντέχνως κατεσκευασμένα.

283 ΕΙ. Προσεποιήσατο.

285 ΑΛ. Τυφλὸν τὴν κατάσκοπον. ΧΡΥ. Χρυσᾶς ἡνίας ἔχων.

286 ΚΛΥ. Ἔνδοξον ἀπὸ τῆς τέχνης.

287 ΠΕ. Περιφανῶς ἐνδόξου.

288 ΙΣ. Ἐπιθυμῶν. ΚΥ. Ἐπὶ Κυθήροις ἀφοσιούχθη. Κύθηρα γάρ, νῆσος τῆς Λακωνικῆς.

289 ΕΡ. Καλὴν δύναμιν ἔχοντα.

290 ΗΕΙ. Ἐπορεύετο.

Ἐν

Ἐν τ' ἄρα οἱ φῦ χειρὶ, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε·
" Δεῦρο, φίλη, λέκτρονδε τραπείομεν εὐνηθέντε.
" Οὐ γὰρ ἔθ' Ἡφαιστος μελιηδήμιος, ἀλλά πᾳ ἦδη
" Οἴχεται ἐς Λῆμνον, μετὰ Σίντιας ἀγελοφώνας.
Ὣς φάτο· τῇ δ' ἀασᾶσιν εἰσατο κοιμηθῆναι. 295
Τὼ δ' ἐς δέμνια βάντε κατέδραθον· ἀμφὶ δὲ δεσμοὶ
Τεχνήεντες ἔχυντο πολύφρονος Ἡφαίστοιο·
Οὐδέ τι κινῆσαι μελέων ἦν, οὐδ' ἀναεῖραι·
Καὶ τότε δὴ γίνωσκον, ὅτ' οὐκ ἔτι φυκτὰ πέλονται.
Ἀγχίμολον δὲ σφ' ἦλθε περικλυτὸς Ἀμφιγυήεις, 300
Αὖτις ὑποστρέψας, πρὶν Λήμνῳ γαῖαν ἱκέσθαι·
Ἠέλιος γάρ οἱ σκοπιὴν ἔχεν, εἶπέ τε μῦθον.
Βῆ δ' ἴμμεν πρὸς δῶμα, φίλον τετιημένος ἦτορ·
Ἔστη δ' ἐν προθύροισι· χόλος δέ μιν ἄγριος ἥρει,
Σμερδαλέον δ' ἐβόησε, γέγωνέ τε πᾶσι θεοῖσι· 305
" Ζεῦ πάτερ, ἠδ' ἄλλοι μάκαρες θεοὶ αἰὲν ἐόντες,
" Δεῦθ', ἵνα ἔρχα γελαστὸν ἰδὲ οὐκ ἀπιείκτὸ ἴδησθε·
" Ὡς ἐμὲ χωλὸν ἐόντα Διὸς θυγάτηρ Ἀφροδίτη
" Αἰὲν ἀτιμάζῃ, φιλέῃ δ' ἀΐδηλον Ἄρηα·

291 ΦΥ. Ἀντὶ τοῦ περιπίλνατο αὐτῇ, καὶ περιήλιστο τῇ χειρὶ· ἀπὸ τοῦ φύω.
292 ΕΥ. Κοιμηθέντες.
293 ΜΕ. Ἐπιδημῶν.
294 ΣΙΝ. Τὰς τῶν Λήμνιον κωμιακὰς ἄνδρας.
295 ΑΣ. Ἀασησῶς, ἠδίως.
296 ΚΑ. Νῦν, ἀνεπαύσαντο, κοπιακότες ἐκοιμήθησαν.
297 ΤΕΧ. Τεχνικῶς κατεσκευασμένοι. ΕΧ. Περιεχύθησαν.
298 ΑΝ. Κυφίσαι.
299 ΦΕΥ. Φεύξιμα.
300 ΑΓ. Ἐκ τοῦ σύνεγγυς, μετ' ὀλίγον. ΑΜ. Ὁ Ἥφαιστος.
302 ΣΚΟ. Κατάσκοπος ἦν.
303 ΤΕΤ. Ἀντὶ τοῦ τετιμωρημένος καὶ λελυπημένος.
304 ΗΡ. Ἐλάμοσαι.
305 ΓΕ. Ἐξάκουσιν ἐοίκασι.
307 ΓΕ. Γέλωτος ἄξια. ΕΠ. Οἷς οὐκ ἂν τις εἴξειεν.
309 ΑΙ. Ἄδηλον, ἀφανιστικόν.

" Οὕνεχ' ὁ μὲν καλός τε κ᾽ ἀρτίπος, αὐτὰρ ἔγωγε
" Ἡπεδανὸς γιγάμην· ἀτὰρ ἄτι μοι αἴτιος ἄλλος,
" Ἀλλὰ τοκῆε θύω· τὼ μὴ γείναθ᾽ ὄφελλον.
" Ἀλλ᾽ ὄψεαθ᾽, ἵνα τώ γε καθύδετον ἐν φιλότητι,
" Εἰς ἐμὰ δέμνια βάντες· ἐγὼ δ᾽ ὀρόων ἀκάχημαι.
" Οὐ μὲν σφέας ἔτ᾽ ἔολπα μινυνθά γε καιέμεν ἄτῳ,
" Καὶ μάλα περ φιλέοντε· τάχ᾽ οὐκ ἐθελήσετον ἄμφω
" Εὕδειν· ἀλλὰ σφῶε δόλος κ᾽ δεσμὸς ἐρύξῃ,
" Εἰσόκε μοι μάλα πάντα πατὴρ ἀποδώσῃ ἐεδνα,
" Ὅσσα οἱ ἐγγυάλιξα, κιυκώπιδος εἵνεκα κούρης.
" Οὕνεκά οἱ καλὴ θυγάτηρ, ἀτὰρ οὐκ ἐχέθυμος.

Ὣς ἔφαθ᾽· οἱ δ᾽ ἀγέροντο θεοὶ ποτὶ χαλκοβατὲς δῶ·
Ἦλθε Ποσειδάων γαιήοχος, ἦλθ᾽ ἐριούνης
Ἑρμείας, ἦλθεν δὲ ἄναξ ἑκάεργος Ἀπόλλων.
Θηλύτεραι δ᾽ ἆθ᾽ θεαὶ μῶνον αὐδοῦ οἶκοι ἑκάστη.
Ἕστασαν δ᾽ ἐν προθύροισι θεοὶ, δωτῆρες ἑάων·
Ἄσβεστος δ᾽ ἄρ᾽ ἐνῶρτο γέλως μακάρεσσι θεοῖσι,
Τέχνας εἰσορόωσι πολύφρονος Ἡφαίστοιο.

310 ΑΡ. Ἀρτίπους, ὁ ἀρτίως καὶ ὁλοκλήρως τὰς πόδας ἔχων.
311 ΗΠ. Ἀσθενής.
312 ΤΟ. Γονεῖς. ΓΕΙ. Γεννῆσαι.
313 ΟΨ. Θεάσασθε. ΤΩ. Οὗτοι.
314 ΑΚ. Λυπῆμαι.
315 ΜΙ. Ὀλίγον. ΚΕΙ. Καθεύδειν.
316 ΜΑ. Τὸ ὅλον, Καὶ περ καθ' ὑπερβολὴν φιλοῦντες, ἂ δυνήσονται ἀμελῆσαι ἀλλήλοις λύσαι τοὺς δεσμούς· ἢ ἐκεῖσε ἐληλύθασι, φόβῳ τῶν δεσμῶν, πάλιν συνελθεῖν.
317 ΔΟ. Μηχάνημα.
319 ΕΓ. Ἔδωκε, παρέχον.
320 ΕΧ. Οὐ λογισμὸν ἔχουσι, ἢ κρατοῦσα τῶν ἐπιθυμιῶν, ἢ σώφρων.
321 ΧΑΛ. Χαλκῷ βαίνοις, στίβον.
322 ΕΡ. Μεγαλωφελής.
323 ΕΚ. Μακρόσολφ, τοξότης, ὁ ἑκηβόλος σύνεργον.
324 ΑΙ. Αἰχούνη.
325 ΔΩ. Ἀγαθῶν δοτῆρες.
326 ΑΣ. Ἀκατάπαυστος. Μεταφορικῶς, ἀπὸ ἀψύχων εἰς ἔμψυχα. Ἀπὸ γὰρ τῶν συρὸς ἐπὶ τὸ γίλωτα μετήνεικται. ΕΝ. Διεγήγερτο.
327 ΤΕΧ. Δόλιος.

Ὣς

Ὣδε δέ τις εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον·
" Οὐκ ἀρετᾷ κακὰ ἔργα· κιχάνει τοι βραδὺς ὠκύν·
" Ὡς καὶ νῦν Ἥφαιστος ἐὼν βραδὺς εἷλεν Ἄρηα,
" Ὠκύτατόν περ ἐόντα θεῶν, οἳ Ὄλυμπον ἔχουσι,
" Χωλὸς ἐών, τέχνῃσι· τῷ καὶ μοιχάγρι' ὀφέλλει.
Ὡς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον·
Ἑρμῆν δὲ προσέειπεν ἄναξ, Διὸς υἱὸς, Ἀπόλλων·
" Ἑρμεία, Διὸς υἱὲ, Διάκτορε, δῶτορ ἑάων,
" Ἦ ῥά κεν ἐν δεσμοῖς ἐθέλοις κρατερῇσι πεδηθεὶς
" Εὕδειν ἐν λέκτροισι παρὰ χρυσέῃ Ἀφροδίτῃ;
Τὸν δ' ἠμείβετ' ἔπειτα Διάκτορος Ἀργειφόντης·
" Αἴ κε τάδε γένοιτο, ἄναξ ἑκατηβόλ' Ἄπολλον·
" Δεσμοὶ μὲν τρὶς τόσοι ἀπείρονες ἀμφὶς ἔχοιεν,
" Ὑμεῖς δ' εἰσορόωτε, θεοὶ, πᾶσαί τε θέαιναι,
" Αὐτὰρ ἐγὼν εὕδοιμι παρὰ χρυσέῃ Ἀφροδίτῃ.
Ὡς ἔφατ'· ἐν δὲ γέλως ὦρτ' ἀθανάτοισι θεοῖσιν.
Οὐδὲ Ποσειδάωνα γέλως ἔχε, λίστετο δ' αἰεὶ
Ἥφαιστον κλυτοεργὸν, ὅπως λύσειεν Ἄρηα·
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
" Λῦσον· ἐγὼ δέ τοι αὐτὸν ὑπόχομαι, (ὡς σὺ κελεύεις,)

329 ΑΡ. Οὐκ ἀρετῶσι· ῥῆμα ἐπὶ συζυγίας δευτέρας τῆς ἀφιστωμένου· δηλοῖ δ, οὐκ ἀρετᾷ ἢ εὐθύνεσαν ἀγὰ τὰ ἡνία ἵππους. ἢ ἀλλαχοῦ, Ἀρετῶσι δ λαοὶ ὑπ' αὐτῷ, εὐθύνουσι. ΚΙ. Κατακλαμβάνει.

330 ΕΙ. Νεῶ, κατέλαβε.

331 ΩΚ. Ταχύτατον.

332 ΤΕΧ. Δόλοις, μηχαναῖς. ΜΟΙ. Μοιχάληπλα, τὰ ὑπὲρ τῆς ἀχρείστως καὶ συλλήψεως τῆς μοιχῶν ἐκτινύμενα. ΟΦ. Ὀφέλλει, χρῄζει.

335 ΔΩ. Δοτὴρ ἀγαθῶν.

337 ΛΕΚ. Καίτοις. ΧΡΥ. Καλῇ, χρυσοφόρῳ.

338 ΔΙ. Διάκων τῆς ἀφθαλίας.

340 ΑΠ. Μιγάλοι. ΑΜ. Πυρίκοιν.

341 ΟΡ. Ὁρῶντις, βλέποντες.

345 ΚΛΥ. Ἐνδέξου καὶ τὸ ἔργον.

347 ΥΠ. Ὑποχνοῦμαι.

" Τίσειν

" Τίσειν αἴσιμα πάντα μετ' ἀθανάτοισι θεοῖσι.
Τὸν δ' αὖτε προσέειπε βοὴν ἀγαθὸς Διομήδης·
" Μή με, Ποσείδαον γαιήοχε, πεῦσε νοήσαι·
" Δειλαί τοι δειλῶν γε κὴ ἐγγύαι ἐγγυάασθαι.
" Πῶς ἂν ἐγώ σε δέοιμι μετ' ἀθανάτοισι θεοῖσιν,
" Εἴκεν Ἄρης οἴχοιτο, χρέος καὶ δεσμὸν ἀλύξας;
Τὸν δ' αὖτε προσέειπε Ποσειδάων ἐνοσίχθων·
" Ἦφαις', εἴπερ γάρ κεν Ἄρης χρεῖος ὑπαλύξας
" Οἴχηι φεύγων, αὐτός τοι ἐγὼ τάδε τίσω.
Τὸν δ' ἠμείβετ' ἔπειτα περικλυτὸς Ἀμφιγυήεις·
" Οὐκ ἔς', ἀδὲ ἔοικε, τεὸν ἔπος ἀρνήσασθαι.
Ὣς εἰπὼν, δεσμὸν ἀνίει μῦθος Ἡφαίστοιο.
Τὼ δ' ἐπεὶ ὦκ δεσμοῖο λύθεν, κρατερῆ περ ἐόντος,
Αὐτίκ' ἀναΐξαντες, ὁ μὲν Θρήικωδε βεβήκει,
Ἡ δ' ἄρα Κύπρον ἵκανε φιλομμειδὴς Ἀφροδίτη,
Ἐς Πάφον· ἔνθα δέ οἱ τέμενος βωμός τε θυήεις·
Ἔνθα δέ μιν Χάριτες λοῦσαν, καὶ χρῖσαν ἐλαίῳ

348 ΤΙ. Ἐκτίσειν, ἀποδῶναι.

349 ΑΜ. Ἀμφοτέρους τὰς πόδας ἔχων χωλάς.

351 ΔΕΙ. Δειλαὶ δὲ δυσυχεῖς αἱ ἐγγύαι, καὶ δειλοὶ, τὸ ἐκτυᾶσθαι· ἢ, αἱ πρὸς τὰς δειλαίους καὶ ἀσθενεῖς ἐγγύαι ἐδὲν δύνανται τῶν ἀδικημάτων ἐπιξελθεῖν, δι' ἀσθένειαν μὴ δυναμένων· ἢ οὕτως, αἱ ὑπὲρ τῶν κακῶν καὶ δειλῶν ἐγγύαι, καὶ αὗται κακαί εἰσι, τῷ πίστιν ὑπὲρ τῶν τοιούτων μηδενὸς τηρεῖν δυναμένην· παρὰ τοῦτο ἢ καὶ τὸ τοῦ σοφοῦ, Ἐγγύη· πάρα σὴ ἄτα.

352 ΔΕ. Εὑρίσκομαι, καταλαμβάνομαι, ὡς, Δήεις τόν γε σύοντα· ὁ δὲ Ἀρίσταρχος, πῶς ἂν σ' εὐθύνοιμι; οἱ δὲ, ἐπὶ τὸ θῆσαι καὶ δεσμεῦσαι. ὀρᾷς, φησὶν ὁ λόγος, χρείαν δὲ, ἢ δύναμαί σε δῆσαι, ὁ γὰρ ἐκτυώμενος ἐπὶ τοῖς αὐτοῖς γίνεται). εἰ γὰρ ὁ Ἄρης ἀποδράσειε, φησὶν, οἰχήσαιμι, ὥστε ἂν σε αὖτ' ἐκεῖνα δήσαιμι, ὅτε μᾶλλον χρειώδεις; ἤτοι ἀφ' τῷ αὐτῷ ἀσθενείαν, ἢ ἀφ' τῷ πρὸς ἐκεῖνον αἰδῶ. ΔΕ. Δισμεύοιμι, κρατοῖμι, ζητοῖμι.

353 ΟΙ. Ἀπίλθοι.

355 ΧΡΕΙ. Ἁπλῶς τὸ χρέος, τὸ ὄφλημα.

356 ΤΙ. Ἐκτίσω, ἀποδώσω.

359 ΑΝ. Ἕλυσε.

361 ΑΝ. Ἀνορμήσαντες.

362 ΦΙ. Φιλόμηλος, ἱλαρά.

363 ΠΑ. Πόλις Κύπρου. ΘΥ. Θυμιαμάτων πλήρης.

Ἀμβρότῳ,

Ἀμβρότῳ, οἷα θεὸς ἐπενήνοθεν ἀιὲν ἐόντας·
Ἀμφὶ δὲ εἵματα ἕσταν ἐπήρατα, θαῦμα ἰδέσθαι·
Ταῦτ' ἄρ' ἀοιδὸς ἄειδε περικλυτός· αὐτὰρ Ὀδυσεὺς
Τέρπετ' ἐνὶ φρεσὶν ἦσιν ἀχαιῶν, ἠδὲ καὶ ἄλλοι
φαίηκες δολιχήρεμοι, ναυσίκλυτοι ἄνδρες.
Ἀλκίνοος δ' Ἄλιον καὶ Λαοδάμαντα κέλευσεν
Μοῦνὼ ὀρχήσασθαι, ἐπεὶ σφισιν ἄριστα ἔριζεν.
Οἱ δ' ἐπεὶ οὖν σφαῖραν καλὴν μετὰ χερσὶν ἕλοντο
Πορφυρέην, τὴν σφιν Πόλυβος ποίησε δαίφρων,
Τὴν ἕτερος ῥίπασκε πρὸς νέφεα σκιόεντα,
ἰδνωθεὶς ὀπίσω· ὁ δ' ἀπὸ χθονὸς ὑψόσ' ἀερθεὶς,
ῥηϊδίως μεθέλεσκε, πάρος ποσὶν ἅδας ἱκέσθαι.
Αὐτὰρ ἐπεὶ δὴ σφαίρῃ ἀν' ἰθὺν πειρήσαντο,
Ὠρχείσθην δὴ ἔπειτα πρὸς χθονὶ πολυβοτείρῃ,
Ταρφέ' ἀμειβομένω· κοῦροι δ' ἐπελήκεον ἄλλοι,
ἑστότες κατ' ἀγῶνα· πολὺς δ' ὑπὸ κόμπος ὀρώρει.
Δὴ τότ' ἄρ' Ἀλκίνοον προσεφώνεε δῖος Ὀδυσεύς·
« Ἀλκίνοε κρεῖον, πάντων ἀριδείκετε λαῶν,
« Ἦ μὲν ἀπείλησας βητάρμονας εἶναι ἀρίστους,
« Ἦ δ' ἄρ' ἐτοῖμα τέτυκτο· σέβας μ' ἔχει εἰσορόωντα.

365 ΕΠ. Ἐπῆν, ἐπίκειτο.
366 ΕΠ. Ἐπίρροθα, καλά.
369 ΔΟ. Μακρόκωπος.
371 ΜΟΥ. Καθ' ἵνα, ἢ μέσους. ΣΦΙ. Ἐπ' αὐτάς. ΕΡ. Ἐξισᾶτο.
374 ΡΙΠ. Προΐετο.
375 ΙΔ. Καμφθείς. ΑΕΡ. Ἐπαρθείς.
376 ΜΕ. Μεταλάσσαι.
377 ΑΝ. Ἔγκειται τὸ ἄνω, ἢ ἀνὰ, ἢ τὸ ἰθύνειν, οἷον ἀνορμῶντες· ἤλοιτο γάρ.
379 ΤΑΡ. Ἠυκόμῳ Ἀμφιλίκῃτις, ἐς ἀλλήλας συγκλωστόμβοι. ΕΠΕπιδοῶντο, ἐπικρότων τοῖς ποσίν.
380 ΕΣΤ. Ἰσάμβοι.
382 ΚΡΕΙ. Ἄρχου, βασιλεῦον. ΑΡ. Ἄγαν ἴκελλε, ἐπισημαίνεται, σκαρίπτεται.
383 ΑΠ. Προτείνω, ὑπίσχω, σκαυχήσω, παρὰ τὸ δῖος. ΒΗ. Ὀρχήσαι, οἱ ἀπὸ τῶν ποδῶν ὀρχούμενοι, ἀπὸ δὲ ἁρμοσμένως βαίνειν.
384 ΕΤ. Φανερὰ ἦν, ὅτως ἄρχει.

Ὡς

Ὣς φάτο· γήθησεν δ' ἱερὸν μῦθος Ἀλκινόοιο·
Αἶψα δὲ φαιήκεσσι φιληρέτμοισι μετηύδα·
" Κέκλυτε, Φαιήκων ἡγήτορες, ἠδὲ μέδοντες,
" Ὁ ξεῖνος μάλα μοι δοκέει πεπνυμένῳ εἶναι.
" Ἀλλ' ἄγε, οἱ δῶμεν ξεινήϊον, ὡς ὀπίεικές·
" Δώδεκα γὰ κατὰ δῆμον ἀριπρεπέες βασιλῆες
" Ἀρχοὶ κραίνουσι, τρισκαιδέκατος δ' ἐγὼ αὐτός·
" Τῶν οἱ ἕκαστος φᾶρος ἐϋπλυνὲς, ἠδὲ χιτῶνα,
" Καὶ χρυσοῖο τάλαντον ἐνείκατε τιμήεντος.
" Αἶψα δὲ πάντα φέρωμεν ἀολλέες, ὄφρ' ἐνὶ χερσὶ
" Ξεῖνος ἔχων, ὀπὶ δόρπον ἴῃ χαίρων ἐνὶ θυμῷ·
" Εὐρύαλος δέ ἑ αὐτὸν ἀρεσσάσθω ἐπέεσσι
" Καὶ δώρῳ· ἐπεὶ οὔτι ἔπος κατὰ μοῖραν ἔειπεν.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἐπήνεον, ἠδ' ἐκέλευον·
Δῶρα δ' ἄρ' οἰσέμεναι τεθέσπιεν κήρυκα ἕκαστος·
Τὸν δ' αὖτ' Εὐρύαλος ἀπαμείβετο, φώνησέν τε·
" Ἀλκίνοε κρεῖον, πάντων ἀριδείκετε λαῶν,
" Τοιγὰρ ἐγὼ τ' ξεῖνον ἀρέσσομαι, ὡς σὺ κελεύεις·
" Δώσω οἱ τόδ' ἄορ παγχάλκεον, ᾧ ἔπι κώπη
" Ἀργυρέη, κολεὸν δὲ νεοπρίστῳ ἐλέφαντος
" Ἀμφιδέδηε· τολέῃ δέ οἱ ἄξιον ἔσσεται.
Ὣς εἰπὼν, ἐν χερσὶ τίθη ξίφος ἀργυρόηλον,

386 ΦΙ. Φιλοκώπεις, ναυβάκηϊς.
389 ΕΠ. Ὡς πείπῃ.
391 ΚΡΑΙ. Διατιλοῦσιν, ὑπάρχουσιν.
393 ΕΝ. Ἀγάγατε, νομίσατε, ἐνέγκατε.
394 ΑΟΛ. Ὁμοῦ συναχθέντα, ἀθρόα.
395 ΔΟΡ. Δεῦπνον. ΙΗ. Παρεύσετε.
396 ΑΡ. Φιλοφρονησάτω.
399 ΠΡΟ. Προέπεμψαν.
402 ΑΡ. Φιλοφρονήσαμαι.
403 ΚΩ. Ἡ λαβή.
404 ΚΟ. Ἡ ξιφοθήκη.
405 ΑΜ. Κύκλῳ ἔοικεν.

Καὶ

Καὶ μιν φωνήσας ἔπτα πτερόεντα προσηύδα·
" Χαῖρε, πάτερ ὦ ξεῖνε· ἔπος δ' εἴπερ τι βέβακται
" Δεινὸν, ἄφαρ τὸ φέροιεν ἀναρπάξασαι ἄελλαι·
" Σοὶ δὲ θεοὶ ἄλοχόν τ' ἰδέειν, καὶ πατρὸς ἱκέσθαι,
" Δοῖεν· ἐπειδὴ δηθὰ φίλων ἄπο πήματα πάσχεις.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμηλις Ὀδυσσεύς·
" Καὶ σὺ, φίλος, μάλα χαῖρε, θεοὶ δέ τοι ὄλβια δοῖεν·
" Μηδέ τι τοι ξίφεός γε ποθὴ μετόπισθε γένοιτο
" Τάττα, ὃ δή μοι δῶκας ἀρεσσάμενος ἐπέεσσιν.
Ἦ ῥα, καὶ ἀμφ' ὤμοισι θέτο ξίφος ἀργυρόηλον·
Δύσετό τ' ἠέλιος, καὶ τῷ κλυτὰ δῶρα πάρῃεν.
Καὶ τάγ' ἐς Ἀλκινόοιο φέρον κήρυκες ἀγαυοί·
Δεξάμενοι δ' ἄρα παῖδες ἀμύμονος Ἀλκινόοιο,
Μητρὶ παρ' αἰδοίῃ ἔθεσαν περικαλλέα δῶρα.
Τοῖσιν δ' ἡγεμόνευε ἱερὸν μένος Ἀλκινόοιο·
Ἐλθόντες δὲ κάθιζον ἐν ὑψηλοῖσι θρόνοισι·
Δή ῥα τότ' Ἀρήτῃσι προσέφη μένος Ἀλκινόοιο·
" Δεῦρο, γύναι, φέρε κλῆρον ἀριπρεπέ', ἥτις ἀρίστη·
" Ἐν δ' αὐτῇ θὴς φᾶρος εὐπλυνὲς, ἠδὲ χιτῶνα·
" Ἀμφὶ δὲ οἱ πυρὶ χαλκὸν ἰήνατε, θέρμετε δ' ὕδωρ,
" Ὄφρα λοεσσάμενός τε, ἰδὼν τ' εὖ κείμενα πάντα
" Δῶρα, τά οἱ Φαίηκες ἀμύμονες ἐνθάδ' ἔνεικαν,
" Δαιτί τε τέρπηται, καὶ ἀοιδῆς ὕμνον ἀκούσῃ·
" Καί οἱ ἐγὼ τόδ' ἄλεισον ἐμὸν περικαλλὲς ὀπάσω,

408 ΒΕ. Πεφλυάρηται. Ἔνθεν καὶ βαὶξ, ὁ κράκτης, παρὰ τὸ βάζειν.
413 ΟΛ. Ὄλβοι, εὐδαιμονίαι, πλοῦτοι.
414 ΠΟ. Ἐπιζήτησις.
417 ΔΥ. Ἕδν.
424 ΔΕΥ. Ἀντὶ τοῦ, ἄγε. ΧΗ. Κιθώτιον. ΑΡ. Ἄχαι σκηπτικῆ.
426 ΙΗ. Θερμάνθη, χλιαίνετε.
430 ΟΠ. Δώσω, παράσχω.

" Χρύσεον, ὄφρ' ἐμέθεν μεμνημένος ἤματα πάντα
" Σπένδῃ ἐνὶ μεγάρῳ Διί τ', ἄλλοισίν τε θεοῖσιν.
Ὣς ἔφατ'· Ἀρήτη δὲ μὴ δμωῇσιν ἔειπεν,
Ἀμφὶ πυρὶ στῆσαι τρίποδα μέγαν ὄτι τάχιστα.
Αἱ ἢ λοετροχόον τρίποδ' ἔστασιν ἐν πυρὶ κηλέῳ·
Ἐν δ' ἄρ' ὕδωρ ἔχεαν, ὑπὸ δὲ ξύλα δαῖον ἐλῦσαν.
Γάστρῃ μὲν τρίποδος πῦρ ἄμφεπε, θέρμετο δ' ὕδωρ.
Τόφρα δ' ἄρ' Ἀρήτη ξείνῳ περικαλλέα κηλὸν
Ἐξέφερεν θαλάμοιο, τίθη δ' ἐνὶ κάλλιμα δῶρα,
Ἐσθῆτα, χρυσόν τε, τά οἱ Φαίηκες ἔδωκαν·
Ἐν δ' αὐτῇ Φᾶρος θῆκεν, καλόν τε χιτῶνα,
Καί μιν φωνήσασ' ἔπεα πτερόεντα προσηύδα·
" Αὐτὸς νῦν ἴδε πῶμα, θοῶς δ' ἐπὶ δεσμὸν ἴηλον,
" Μήτις τοι καθ' ὁδὸν δηλήσεται, ὁππόταν αὖτε
" Εὐδῇσθα γλυκὺν ὕπνον, ἰὼν ἐν νηὶ μελαίνῃ.
Αὐτὰρ ἐπεὶ τόγ' ἄκουσε πολύτλας δῖος Ὀδυσσεύς,
Αὐτίκ' ἐπήρτυε πῶμα, θοῶς δ' ἐπὶ δεσμὸν ἴηλε
Ποικίλον, ὃν ποτέ μιν δέδαε Φρεσὶ πότνια Κίρκη.
Αὐτόδιον δ' ἄρα μιν ταμίη λέσαι ἄνωγεν,
Ἐς ῥ' ἀσάμινθον βάνθ'· ὁ δ' ἄρ' ἀσπασίως ἴδε θυμῷ
Θερμὰ λοέτρ'· ἐπεὶ ὅτι κομιζόμμος γ' ἐθαμίζεν,

435 ΛΟ. Εἰς ὃν τὰ λεπτὰ χεῖται. ΚΗ. Καυσικᾶ.
436 ΔΑΙ. Διίξεπλον.
437 ΓΑ. Τὸ χάρημα, ἢ τὸν θυμόν.
443 ΙΗ. Ἐπίσκλε.
444 ΟΔ. Καπὶ πλῆν.
445 ΕΥ. Καθεύδεις.
447 ΕΠ. Ἐφέρμοζεν. ΙΗ. Ἐπίσκλειν.
448 ΔΕ. Ἐδίδαξεν, ἀλλὰ τὸ, τοὺς ἑταίρους αὐτῆ λῦσαι τὸν τῆ ἀσκοῦ δεσμόν.
449 ΑΥ. Παρακεχρῆμα, ἐξ αὐτῆς ὁδῷ, οὐκ ἀλλαχῆ πῃ χωρεῖν. ἢ Αὐτοδίως, ἐξ ἀλλαχῆ προσελθόντας, μὴ τῇ δόσει τῷ κίωνος ἢ Ὀδυσσέως.
450 ΑΣ. Πύελον, ὑπὸ ἢ μυσθέντι τῷ ὕσπι τοῦ σώματος. ΑΣ. Ἐπιγομητῶς.
451 ΚΟΜ. Οὐδὲ ὅλως ἐκσμᾶτο, ἀλλ' ἐπιμελέως ἠξιοῦτο.

Ἐπειδὴ

Ἐπειδὴ λίπε δῶμα Καλυψοῦς ἠυκόμοιο·
Τόφρα δέ οἱ κομιδή γε, θεῷ ὡς, ἔμπεδος ἦεν.
Τὸν δ' ἐπεὶ ἂν δμωαὶ λοῦσαν, καὶ χρῖσαν ἐλαίῳ,
Ἀμφὶ δέ μιν χλαῖναν καλὴν βάλον ἠδὲ χιτῶνα,
Ἐκ ῥ' ἀσαμίνθοιο βὰς ἄνδρας μίξ οἰνοπότῃρας
Ἷιε· Ναυσικάα δέ, θεῶν ἄπο κάλλος ἔχουσα,
Στῆ ῥα παρὰ σταθμὸν τέγεος πύκα ποιητοῖο·
Θαύμαζεν δ' Ὀδυσῆα ἐν ὀφθαλμοῖσιν ὁρῶσα,
Καί μιν φωνήσασ' ἔπεα πτερόεντα προσηύδα·
" Χαῖρε, ξεῖν', ἵνα καί ποτ' ἐὼν ἐν πατρίδι γαίῃ
" Μνήσῃ ἐμεῖ, ὅτι μοι πρώτῃ ζωάγρι' ὀφέλλεις.
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσεύς·
" Ναυσικάα, θύγατερ μεγαλήτορος Ἀλκινόοιο,
" Οὕτω νῦν Ζεὺς θείη ἐρίγδουπος πόσις Ἥρης,
" Οἶκαδέ τ' ἐλθέμεναι, καὶ νόστιμον ἦμαρ ἰδέσθαι.
" Τῷ κέν τοι καὶ κεῖθι, θεῷ ὡς, εὐχετοώμην
" Αἰεὶ ἤματα πάντα· σὺ γάρ μ' ἐβιώσαο, κούρη.
Ἦ ῥα, καὶ ἐς θρόνον ἷζε παρ' Ἀλκίνοον βασιλῆα.
Οἱ δ' ἤδη μοίρας τ' ἔνεμον, κεράωντό τε οἶνον.
Κῆρυξ δ' ἐγγύθεν ἦλθεν, ἄγων ἐρίηρον ἀοιδὸν,
Δημόδοκον, λαοῖσι τετιμένον· εἷσε δ' ἄρ' αὐτὸν
Μέσσῳ δαιτυμόνων, πρὸς κίονα μακρὸν ἐρείσας.

452 ΕΠ. Ἀφ' ἧς δή.
453 ΚΟ. Ἐπιμίλειαι.
456 ΟΙ. Τὰς ὑφαινομένας.
458 ΣΤΑΘ. Παραστάδα. ΤΕ. Ἥτις δὲ μιλάθρου, οἶκος.
462 ΖΩ. Τὰ ὑπὲρ τῆς ζωῆς ὀφειλόμενα. ΟΦ. Ὀφάλεις, χρεωστεῖς.
467 ΤΩ. Διὸ ἄν σοι. ΕΥ. Εὐχοίμην.
468 ΕΒ. Τὸ ζῆν ἀφειπόμενος, ἔσωσας.
470 ΜΟΙ. Μελίδας. ΕΝ. Ἐμέλιζον.
472 ΤΕ. Ἔντιμον, μεγαρόν.

Δὴ τότε κήρυκα προσέφη πολύμητις Ὀδυσεὺς,
Νώτῳ ἀποπροβαμών· ἐπὶ ἦ πλεῖον ἐλέλειπτο
Ἀρχιόδοντος υἱὸς, θαλερὴ δ' ἦν ἀμφὶς ἀλοιφή·
" Κῆρυξ, τῇ δὴ τοῦτο πόρε κρέας, ὄφρα φάγῃσι,
" Δημοδόκῳ, καί μιν προσπτύξομαι, ἀχνύμενός περ.
" Πᾶσι γὰρ ἀνθρώποισιν ὀπιχθονίοισιν ἀοιδοὶ
" Τιμῆς ἔμμοροί εἰσι καὶ αἰδοῦς, οὕνεκ' ἄρα σφέας
" Οἵμας Μοῦσ' ἐδίδαξε· φίλησε δὲ φῦλον ἀοιδῶν.
Ὣς ἄρ' ἔφη· κῆρυξ δὲ φέρων ἐν χερσὶν ἔθηκεν
Ἡρῳϊ Δημοδόκῳ· ὁ δ' ἐδέξατο, χαῖρε δὲ θυμῷ.
Οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
Δὴ τότε Δημόδοκον προσέφη πολύμητις Ὀδυσεύς·
" Δημόδοκ', ἔξοχα δή σε βροτῶν αἰνίζομ' ἁπάντων,
" Ἢ σέ γε Μοῦσ' ἐδίδαξε, Διὸς πάϊς, ἢ σέ γ' Ἀπόλλων·
" Λίην γὰρ κατὰ κόσμον Ἀχαιῶν οἶτον ἀείδεις,
" Ὅσ' ἔρξαν τ', ἔπαθόν τε, καὶ ὅσ' ἐμόγησαν Ἀχαιοί·
" Ὡς τέ που ἢ αὐτὸς παρεών, ἢ ἄλλου ἀκούσας.
" Ἀλλ' ἄγε δὴ μετάβηθι, καὶ ἵππου κόσμον ἄεισον
" Δουρατέου, τὸν Ἐπειὸς ἐποίησεν σὺν Ἀθήνῃ,
" Ὃν ποτ' ἐς ἀκρόπολιν, δόλον, ἤγαγε δῖος Ὀδυσεὺς,

475 ΠΡΟ. Ἀφελών.
476 ΘΑ. Θαλλουσα. ΑΛ. Πιμελὴ, λίπος.
477 ΤΗ. Δίξαι, λάβε.
478 ΠΡΟΣ. Φιλοφρονήσεσθαι.
480 ΕΜ. Μέτοχοι.
481 ΟΙ. Ὠδαὶς.
486 ΠΟ. Πολύβουλος, στενωτός.
487 ΑΙ. Θαυμάζω καὶ ἐπαινῶ.
489 ΚΟΣ. Κατὰ τάξιν. ΟΙ. Μόρον, θάνατον.
490 ΕΡ. Ἔπραξαν. ΕΜ. Ἐκινδύνευσαν.
492 ΚΟΣ. Καπνοειδὴν.
493 ΔΟΥ. Ξυλίνου ἵππου. ΕΠ. Ὁ τῶν Ἑλλήνων τείχων. Ὁπλοις ἐστὶ κύριον. ΕΠ. Ἐδίδαξεν.

" Ἀνδρῶν

" Ἀνδρῶν ἐμπλήσας, οἳ Ἴλιον ἐξαλάπαξαν.
" Αἶψα δή μοι ταῦτα κατὰ μοῖραν καταλέξῃς,
" Αὐτίκ' ἐγὼ πᾶσιν μυθήσομαι ἀνθρώποισιν,
" Ὡς ἄρα τοι πρόφρων θεὸς ὤπασε θέσπιν ἀοιδήν.
Ὣς φάθ'· ὁ δ' ὁρμηθεὶς θεὸς ἤρχετο, φαῖνε δ' ἀοιδήν,
Ἔνθεν ἑλὼν, ὡς οἱ μὲν ἐϋστέλμων ἐπὶ νηῶν
Βάντες ἀπέπλειον, πῦρ ἐν κλισίῃσι βαλόντες,
Ἀργεῖοι· τοὶ δ' ἤδη ἀγακλυτὸν ἀμφ' Ὀδυσῆα
Εἵατ' ἐνὶ Τρώων ἀγορῇ, κεκαλυμμένοι ἵππῳ·
Αὐτοὶ γάρ μιν Τρῶες ἐς ἀκρόπολιν ἐρύσαντο.
Ὣς ὁ μὲν εἰστήκει· τοὶ δ' ἄκριτα πόλλ' ἀγόρευον,
Ἥμυοι ἀμφ' αὐτόν· τρίχα δέ σφισιν ἤνδανε βουλή,
Ἠὲ διαμηχᾶσθαι κοῖλον δόρυ πηλεῖ χαλκῷ,
Ἦ κατὰ πετράων βαλέειν ἐρύσαντας ἐπ' ἄκρας,
Ἦ ἐάαν μέγ' ἄγαλμα θεῶν θελκτήριον εἶναι,
Τῇ περ δὴ καὶ ἔπειτα τελευτήσεσθαι ἔμελλεν.
Αἶσα γὰρ ἦν ὀλέσθαι, ἐπὴν πόλις ἀμφικαλύψῃ
Δουράτεον μέγαν ἵππον, ὅθ' εἵατο πάντες ἄριστοι
Ἀργείων, Τρωσὶ φόνον καὶ κῆρα φέροντες.
Εἶσεν δ', ὡς ἄσυ διέπραθον ἷρες Ἀχαιῶν,
Ἱππόθεν ἐκχύμενοι, κοῖλον λόχον ἐκπρολιπόντες.

495 ΕΜ. Πλησάσας. ΕΞ. Ἐπέρασεν παντελῶς.
496 ΚΑ. Ἔκφατε ἄκης.
498 ΩΠ. Παρέσχεν, ἐδωκεν.
499 ΦΑΙ. Ἐδείκνυεν.
500 ΕΝ. Ἐντεῦθεν ἀρξάμενος.
503 ΚΕ. Περικεκλεισμένοι.
504 ΕΡ. Εἱλκυσαν.
506 ΤΡΙ. Τειχῶν. ΣΦΙ. Ἀπ' ἐκείνοις.
507 ΔΙ. Διαλιμᾶν. ΚΟΙ. Τὸν δόρειον ἵππον.
508 ΕΡ. Ἑλκύσαντες.
509 ΑΓ. Πᾶν, ἐφ' ᾧ τις ἀγάλλεται. ΘΕΛ. Ἱλαστήριον.
512 ΕΙ. Ἐκθέσθαι.
514 ΔΙΕ. Διαπράξασαν.
515 ΙΠ. Ἐκ δ' ἵππου. ΕΚ. Ἀθρόοι ἐξιλθόντες.

Ἄλλον

Ἄλλον δ' ἄλλη ἄειδε πόλιν κεραϊζέμεν αἰπήν·
Αὐτὰρ Ὀδυσσῆα προπὶ δώματα Δηϊφόβοιο
Βήμεναι, ἠΰτ' Ἄρηα, σὺν ἀντιθέῳ Μενελάῳ.
Κεῖθι δὴ αἰνότατον πόλεμον Φάτο τολμήσαντα
Νικῆσαι Θ' ἕπεσθαι, Διὰ μεγάθυμον Ἀθήνην. 520
Ταῦτ' ἄρ' ἀοιδὸς ἄειδε περικλυτός· αὐτὰρ Ὀδυσσεὺς
Τήκετο· δάκρυ δ' ἔδευεν ὑπὸ βλεφάροισι παρειάς.
Ὡς δὲ γυνὴ κλαίῃσι φίλον πόσιν ἀμφιπεσοῦσα,
Ὅς τε ἑῆς προπάροιθεν πόλιος λαῶν τε πέσῃσιν,
Ἄρξεϊ θ' τεκέεσσιν ἀμύνων νηλεὲς ἦμαρ· 525
Ἣ μὲν τ' θνήσκοντα καὶ ἀσπαίροντ' ἐσιδοῦσα,
Ἀμφ' αὐτῷ χυμένη λίγα κωκύει· οἱ δέ τ' ὄπιθεν
Κόπτοντες δούρεσσι μετάφρενον, ἠδὲ καὶ ὤμους,
Εἴρερον εἰσανάγουσι, πόνον τ' ἐχέμεν καὶ ὀιζύν.
Τῆς δ' ἐλεεινοτάτῳ ἄχεϊ φθινύθουσι παρειαί· 530
Ὣς Ὀδυσεὺς ἐλεεινὸν ὑπ' ὀφρύσι δάκρυον ἔβδεν.
Ἔνθ' ἄλλους μὲν πάντας ἐλάνθανε δάκρυα λείβων,
Ἀλκίνοῳ δέ μιν οἷος ἐπεφράσατ', ἠδ' ἐνόησεν,
Ἥμενος ἄγχ' αὐτοῦ, βαρὺ δ' ἐστενάχοντος ἄκουσεν·
Αἶψα δὲ Φαιήκεσσι φιληρέτμοισι μετηύδα· 535
" Κέκλυτε, Φαιήκων ἡγήτορες, ἠδὲ μέδοντες,
" Δημόδοκος δ' ἤδη σχεθέτω φόρμιγγα λίγειαν·

516 ΚΕ. Διαφθείρειν.
517 ΔΗΙ. Ἐκ τούτου οἱ μεταγενέστεροι τὸν Ἐλένην δὲ Δηϊφόβῳ γήμασθαι λέγουσιν.
522 ΕΔ. Ἔρριχεν.
524 ΕΗΣ. Τῆς ἑαυτοῦ.
527 ΧΥ. Περιχυθεῖσα, ἐμπλακεῖσα. ΛΙ. Ὀξέως, ἀδέως. ΚΩ. Θρηνῶ.
529 ΕΙ. Αἰχμαλωσίαν, δουλείαν τὴν ἐξ ἐχθρῶν· καὶ ἀναπίπλαμαι καὶ ἐγχέω παρὰ τὸ ἐρᾶν μὴ ἐλευθερίας ἔρειν καὶ λίγειν τὰς δούλας.
531 ΕΛ. Ἐλεεινῶς, οἰκτρῶς.
537 ΣΧΕ. Ἐπίσχῃ, παυσάσθω.

" Οὐ

" Οὐ γάρ πως πάντεσσι χαριζόμενος πάσ' ἀείδῃ.
" Ἐξ ἧς δορπέομέν τε, καὶ ὤρορε δῖος ἀοιδός,
" Ἐκ τοῦδ' ὅπως πάυσατ' ὀιζυροῖο γόοιο
" Ὁ ξεῖνος· μάλα πάμ μιν ἄχος φρένας ἀμφιβέβηκεν·
" Ἀλλ' ἄγ', ὁ μὲν ἀγέτω, ἵν' ὁμῶς τερπώμεθα πάντες,
" Ξεινοδόκοι καὶ ξεῖνος· ἐπεὶ πολὺ κάλλιον ἔστω.
" Εἵνεκα γὰρ ξείνοιο τάδ' αἰδοίοιο τέτυκται,
" Πομπὴ καὶ φίλα δῶρα, τά οἱ δίδομεν φιλέοντες.
" Ἀντὶ κασιγνήτου ξεῖνός θ' ἱκέτης τε τέτυκται
" Ἀνέρι, ὅς τ' ὀλίγον περ ἐπιφραδέως παραπίδεται.
" Τῷ νῦν μηδὲ σὺ κεῦθε νοήμασι κερδαλέοισιν,
" Ὅ, τι κέ σ' εἴρωμαι· φάσθαι δέ σε κάλλιόν ἐστιν.
" Εἶπ' ὄνομ', ὅ, τι σε κεῖθι κάλεον μήτηρ τε, πατήρ τε,
" Ἄλλοι θ', οἳ κατὰ ἄστυ, καὶ οἳ περιναιετάουσιν·
" Οὐ μὲν γάρ τις πάμπαν ἀνώνυμος ἔσσ' ἀνθρώπων,
" Οὐ κακὸς, ὐδὲ μὲν ἐσθλὸς, ἐπὴν τὰ πρῶτα γένηται,
" Ἀλλ' ἐπὶ πᾶσι τίθεν, ἐπεί κε τέκωσι, τοκῆες.
" Εἰπὲ δέ μοι γαῖάν τε τὴν, δῆμόν τε, πόλιν τε·
" Ὄφρά σε τῇ πέμπουσι τιτυσκόμεθα Φρεσὶ νῆες.
" Οὐ γὰρ Φαιήκεσσι κυβερνῆτῆρες ἔασιν,
" Οὐδέ τι πηδάλι' ἐστὶ, τά τ' ἄλλαι νῆες ἔχουσιν·
" Ἀλλ' αὐταὶ ἴσασι νοήματα καὶ Φρένας ἀνδρῶν.
" Καὶ πάντων ἴασι πόλιας καὶ πίονας ἀγροὺς

539 ΔΟΡ. Δοκεῖμεν.
546 ΚΑ. Ἴσως ἀδελφῷ.
547 ΕΠ. Ἀπίθαν ταῖς φρεσὶν, ὅ ἐστι, φρονιμός ἐστι.
548 ΝΟ. Ἐννοίαις. ΚΕΡ. Πανούργοις.
549 ΕΙ. Ἐρωτήσω. ΦΑ. Εἰπεῖν.
556 ΤΙ. Καζεσχαζέμθαι.
559 ΙΣ. Γινώσκουσιν, ἐπίστανται). ΝΟ. Ἐννοίας, βουλάς.

" Ἀνθρώπων

" Ἀνθρώπων· ϗ λαῖτμα τάχιθ' ἁλὸς ἐκπερόωσιν,
" Ἠέρι ϗ νεφέλῃ κεκαλυμμένα· οὐδέ ποτέ σφιν
" Οὔτέ τι τημανθῆναι ἔπι δέος, οὐδ' ὀπολέσθαι.
" Ἀλλὰ τάδ' ὥς πού πατρὸς ἐγὼν εἰπόντος ἄκουσα
" Ναυσιθόου, ὃς ἔφασκε Ποσειδάων' ἀγάσασθαι
" Ἡμῖν, οὕνεκα πομπὶ ἀπήμονες εἰμὲν ἁπάντων.
" Φῆ πού τε Φαιήκων ἀνδρῶν εὐεργέα νῆα
" Ἐκ τομπῆς ἀνιοῦσαν ἐν ἠεροειδέϊ πόντῳ
" Ῥαισέμμεναι, μέγα δ' ἡμιν ὄρος τῶλέ ἀμφικαλύψειν.
" Ὣς ἀγόρευ' ὁ γέρων· τὰ δέ κεν θεὸς ἢ τελέσειεν,
" Ἢ κ' ἀτέλες' ἔῃ, ὥς οἱ φίλον ἔπλετο θυμῷ.
" Ἀλλ' ἄγε μοι τόδε εἰπὲ, ϗ ἀτρεκέως κατάλεξον,
" Ὁππη ἀπεπλάγχθης τε, ϗ ἄς τινας ἵκεο χώρας
" Ἀνθρώπων· αὐτούς τε, τῶλεις τ' εὖ ναιεταώσας.
" Ἦ μὲν ὅσοι χαλεποί τε, ϗ ἄγριοι, οὐδὲ δίκαιοι·
" Οἵτε φιλόξεινοι, καί σφιν νόος ἐστὶ θεουδής.
" Εἰπὲ δ', ὅ, τι κλαίεις ϗ ὀδύρεαι ἔνδοθι θυμῷ,
" Ἀργείων, Δαναῶν, ἠδ' Ἰλίου οἷτον ἀκούων.
" Τὸν δὲ θεοὶ μὲν τεῦξαν, ἐπεκλώσαντο δ' ὄλεθρον
" Ἀνθρώποις, ἵνα ᾖσι ϗ ἐσσομένοισιν ἀοιδή

563 ΠΗ. Βλαῦθμαι. ΕΠΙ. Ἔπισιν. ΔΕ. Φόβος.
565 ΑΓ. Ἄχαν ὀργιόθμαι.
566 ΠΟΜ. Οἱ παραπέμποντες. ΑΠ. Ἀλαοῖς.
569 ΡΑΙ. Διαφθεῖραι. ΑΜ. Πιεσπιπάσειν.
571 ΑΤ. Νῶι, τὸ ἐᾷ, ἀντὶ τῦ ἐάσειε· ὡσὲ ἢ τ' ϗ διήγησιν ἡδεῖαν, τῆς ἀφθήσεως ἐπιλάθετο. Ἀλλὰ τῦ ὁ Ὀδυσεὺς παῦται ἀκούσας, τὸν Ποσειδῶνος μηνύει ὀργήν· ϗ ἠθέλησε τὰ ἀληθῆ εἰπεῖν.
573 ΑΠ. Ἀπαλαλήθης.
574 ΝΑΙ. Καλῶς οἰκημένας.
576 ΘΕ. Θεοειδής, ἢ θεοῖς ἀρέσκων.
577 ΟΔ. Θρῴσκεις, κλαίεις.
579 ΤΕΥ. Ἐπεκήσαν.
580 ΕΣ. Μιθχθυστέροις.

" Ἦ τίς

" Ἦ τίς τοι καὶ πηὸς ἀπώλετο Ἰλιόθι πρὸ,
" Ἐσθλὸς ἐὼν γαμβρὸς, ἢ πενθερὸς, οἵ τε μάλιστα
" Κήδιοι τελέθουσι, μετ' αἶμά τε, καὶ γένος αὐτῶν;
" Ἦ τις πού καὶ ἑταῖρος ἀνὴρ κεχαρισμένα εἰδὼς
" Ἐσθλός· ἐπεὶ ὅ μέν τι κασιγνήτοιο χερείων
" Γίνεται, ὅς κεν, ἑταῖρος ἐὼν, πεπνυμένα εἰδῇ.

581 ΠΗ. Συγγνοὺς, καὶ ἐπιχαμίαν, συγγνοικώτατος. ΤΕ. Γίνεται.
ἐπόρωσεν συγγνοὺς. 586 ΕΙ. Γινώσκῃ.
583 ΚΗ. Λέγω, καὶ φρονίδος ἄξιοι,

ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΟΔΥΣΣΕΙΑΣ Ι

ΤΟΥ ΟΜΗΡΟΥ

ΡΑΨΩΔΙΑΣ.

Ἀρχὴ τῆ Ὀδυσσέως διηγημάτων, ἐν οἷς φησὶ πεπλημμεκέναι τοῖς Κίκωσι, καὶ ἐκεῖθεν τοὺς Λωτοφάγους παραγγύσθαι, κἀκεῖθεν τὸ Κύκλωπα Πολύφημον προσῆναι· ἐς τοῦτον φαγόντα ἓξ ἤδη ἑταίρους ἐκτυφλῶσαι.

Λωτοφάγων, Κικόνων, σὺν Κυκλώπεσσιν, Ἰῶτα.

Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
" Ἀλκίνοε κρεῖον, πάντων ἀριδείκετε λαῶν,
" Ἦτοι μὲν τόδε καλὸν ἀκούειν ἐστὶν ἀοιδοῦ
" Τοιοῦδ', οἷος ὅδ' ἐστὶ, θεοῖς ἐναλίγκιος αὐδήν·
" Οὐ γάρ ἔγωγέ τι φημὶ τέλος χαριέστερον εἶναι, 5
" Ἢ ὅταν εὐφροσύνη μὲν ἔχῃ κατὰ δῆμον ἅπαντα,
" Δαιτυμόνες δ' ἀνὰ δῶμα τ' ἀκούωσιν) ἀοιδοῦ,
" Ἥμενοι ἑξείης· παρὰ δὲ πλήθωσι τράπεζαι

5 ΟΥ. Ταῦτα ἁρμοζόμενος τῷ καιρῷ λέγει, ὃ δὲ πάντες ἂν βίον τέλος εἶχεν τῷ ἡδονῇ, ἀλλὰ συμποσίου πινές.

6 ΕΥ. Θυμηδίαν.

7 ΑΚ. Ἀκροῶνται. Ἔνιοι, ἀκουάζονται.

8 ΠΛΗ. Πεπλήρωνται.

Σίτου

" Σίτῳ καὶ κρειῶν· μέθυ δ' ἐκ κρητῆρος ἀφύσσων
" Οἰνοχόος φορέῃσι καὶ ἐγχείῃ δεπάεσσιν·
" Τῶν τί μοι κάλλιον ἐνὶ φρεσὶν εἴδεται εἶναι.
" Σοὶ δ' ἐμὰ κήδεα θυμὸς ἐπετρέπετο στονόεντα
" Εἴρεσθ', ὄφρ' ἔτι μᾶλλον ὀδυρόμενος στεναχίζω.
" Τί πρῶτον, τί δ' ἔπειτα, τί δ' ὑστάτιον καταλέξω;
" Κήδε' ἐπεί μοι πολλὰ δόσαν θεοὶ οὐρανίωνες.
" Νῦν δ' ὄνομα πρῶτον μυθήσομαι, ὄφρα καὶ ὑμεῖς
" Εἴδετ'· ἐγὼ δ' ἂν ἔπειτα, φυγὼν αἰπὺ νηλεὲς ἦμαρ,
" Ὑμῖν ξεῖνος ἔω, καὶ ἀπόπροθι δώματα ναίων.
" Εἶμ' Ὀδυσεὺς Λαερτιάδης, ὃς πᾶσι δόλοισιν
" Ἀνθρώποισι μέλω, καί μου κλέος οὐρανὸν ἵκει.
" Ναιετάω δ' Ἰθάκην εὐδείελον· ἐν δ' ὄρος αὐτῇ
" Νήριτον, εἰνοσίφυλλον, ἐρίπρεπές· ἀμφὶ δὲ νῆσοι
" Πολλαὶ ναιετάουσι μάλα σχεδὸν ἀλλήλῃσι,
" Δουλίχιόν τε, Σάμη τε, καὶ ὑλήεσσα Ζάκυνθος·
" Αὐτὴ δὴ χθαμαλὴ πανυπερτάτη εἰν ἁλὶ κεῖται
" Πρὸς ζόφον· (αἱ δέ τ' ἄνδιχθε πρὸς ἠῶ τ' ἠέλιόν τε,)
" Τρηχεῖ', ἀλλ' ἀγαθὴ κουροτρόφος· ἄλλο δ' ἔγωγε

9 ΑΦ. Ἀρυόμβρος, ἀπαντλῶν.
10 ΕΓ. Ἐγχείῃ.
11 ΕΙ. Φαίνεται, δοκεῖ.
12 ΕΠ. Προσθυμήθη.
14 ΥΣ. Ἔχαθεν.
20 ΜΕ. Ἐν ἐπιμελείᾳ ἁμί.
21 ΝΑΙ. Οἰκῶ. ΕΥ. Πρὸς δύσιν τῶν ἄλλων κειμένην. ΕΥ. Ἤτοι ἐπιφανῆ, εὖ πρὸς τὸν θάλλω κειμένην· εἰ δὲ σημαίνῃ τὸν ἄκρατον, δασύνεται ἀνάγκη· ἑλη γάρ ἐστιν ἡ δὲ ἠλὶς αὐγή, ὅθεν καὶ τὸ ἐλληλιῆν, τὸ ἡλίῳ χρῆσθαι.
22 ΝΗ. Ὄρος Ἰθάκης. ΕΙ. Κινησίφυλλον. Ἔνεστι γάρ, ἡ κίνησις.
24 ΔΟΥ. Μία τῶν Ἐχινάδων. ΥΛ. Ὑλώδης, σύμφυλος.
25 ΧΘΑ. Ταπεινὴ, κοίλη τὴν θέσιν· πῶς δὲ πανυπερτάτη; ἢ τῇ δοξῃ, ἢ πρώτη τῶν ἄλλων, ὡς πρὸς δύσιν. ΠΑΝ. Ὑπερώνυμος κειμένη.
26 ΖΟ. Νῶν, δύσιν. ΗΩ. Νῦν, τὴν ἀναβολήν.
27 ΚΟΥ. Νεοτέρων τροφός.

" Ἧς γαίης δύναμαι γλυκερώτερον ἄλλο ἰδέσθαι·
" Ἡ μέν μ' αὐτόθ' ἔρυκε Καλυψὼ, δῖα θεάων,
" Ἐν σπέεσι γλαφυροῖσι, λιλαιομένη πόσιν εἶναι·
" Ὡς δ' αὖτως Κίρκη κατερήτυεν ἐν μεγάροισιν
" Αἰαίη, δολόεσσα, λιλαιομένη πόσιν εἶναι·
" Ἀλλ' ἐμὸν οὔποτε θυμὸν ἐνὶ στήθεσσιν ἔπειθον.
" Ὡς οὐδὲν γλύκιον ἧς πατρίδος οὐδὲ τοκήων
" Γίνεται, εἴπερ καί τις ἀποπροθι πίονα οἶκον
" Γαίῃ ἐν ἀλλοδαπῇ ναίει ἀπάνευθε τοκήων.
" Εἰ δ' ἄγε τοι κἀγὼ νόστον ἐμὸν πολυκηδέ' ἐνίσπω,
" Ὃν μοι Ζεὺς ἐφέηκεν ἀπὸ Τροίηθεν ἰόντι.
" Ἰλιόθεν με Φέρων ἄνεμος Κικόνεσσι πέλασσεν,
" Ἰσμάρῳ· ἔνθα δ' ἐγὼ πόλιν ἔπραθον, ὤλεσα δ' αὐτούς.
" Ἐκ πόλιος δ' ἁλόχους τε κτήματα πολλὰ λαβόντες
" Δασσάμεθ', ὡς μήτις μοι ἀτεμβόμενος κίοι ἴσης.
" Ἔνθ' ἦτοι μὲν ἐγὼ διερῷ παρὰ φώγεμεν ἡμέας
" Ἠνώγεα· τοὶ δὲ μέγα νήπιοι οὐκ ἐπίθοντο.
" Ἔνθα δὲ πολλὸν μὲν μέθυ πίνετο, πολλὰ δὲ μῆλα

31 ΚΑ. Κατέσχεν.

32 ΑΙ. Ἐξ Αἰαίας νήσου τῆς Τυρρηνίας, ἢ Κολχικῆς· Αἶα γάρ, ἡ πόλις τῆς Κολχίδος. Νῦν δὲ Αἰαίη ἐστὶν ἡ τῆς Κίρκης νῆσος, ἡ πλησίον ἔστι κεῖται, ἀπὸ τῶν συνκομάτων τῶν αὐτῆς, παρὰ τὸ αἰή, αἰεί, ῥηνηλικὸν ἐπίῤῥημα. ΛΙ. Ἐπιθυμοῦσα.

34 ΓΛΥ. Γλυκύτερον, ἡδύτερον.

36 ΑΛ. Ἀλοφύλῳ, ξένῃ. ΝΑ. Οἰκεῖ.

37 ΠΟ. Πολλῶν κακῶν πλήρη. ΕΝΙ. Ἐρῶ, λέξω.

38 ΕΦ. Ἐπέπιμψε. ΙΟΝ. Ἐπανιόντι.

40 ΙΣ. Ἴσμαρος πόλις τῶν Κικονίας, ἥτις νῦν Μαρώνεια λέγεται. ΠΟ. Ἐπεὶ οἱ Κίκονες τῷ Πριάμῳ συνεμάχησαν, Κίκονων ἡγήτορι Μίντῃ.

42 ΔΑΣ. Ἐμερισάμεθα. ΑΤ. Σπερασκόμενος. ΚΙ. Ἀπέλθοι. ΙΣ. Ἰσότητα.

43 ΔΙ. Μεταφορικῶς, τῇ νηΐ· οἱ δὲ διερῷ, τῷ ὀξεῖ, ἢ ταχεῖ· οἱ δὲ, τῷ ζωηρῷ, ἐπεὶ ξηροὶ οἱ ἀποθνήσκοντες. κὸ γὰρ ἐτέρωθι, διερὸς βροτὸς, φησίν· οἱ δὲ, τῇ κώπῃ· οἱ δὲ, τῷ διερῷ ὡς τῷ γαλάσσης, ἀντὶ ξηραινθέναι τῶν ὡς τῷ βασιν ὑγρασίαν· λέγει δὲ τὰ ἰσθμία.

44 ΗΝ. Ἐκέλευον.

" Ἔσφαζον

" Ἐσφαζον ὣδε θῆνα, καὶ εἰλίποδας ἕλικας βοῦς.
" Τόφρα δ' ἄρ' οἰχόμενοι Κίκονες Κικόνεσσι γεγώνευν,
" Οἳ σφίσι γείτονες ἦσαν ἅμα πλέονες καὶ ἀρείους,
" Ἤπειρον ναίοντες, ἐπιστάμενοι μὲν ἀφ' ἵππων
" Ἀνδράσι μάρνασθαι, καὶ ὅθι χρὴ πεζὸν ἐόντα. 50
" Ἦλθον ἔπειθ', ὅσσοι φύλλα, καὶ ἄνθεα γίνεται ὥρῃ,
" Ἠέριοι· τότε δή ῥα κακὴ Διὸς αἶσα πάρεσχη
" Ἡμῖν αἰνομόροισιν, ἵν' ἄλγεα πολλὰ πάθωμεν.
" Στησάμενοι δ' ἐμάχοντο μάχην παρὰ νηυσὶ θοῇσι·
" Βάλλον δ' ἀλλήλους χαλκήρεσιν ἐγχείῃσιν. 55
" Ὄφρα μὲν ἠὼς ἦν, καὶ ἀέξετο ἱερὸν ἦμαρ,
" Τόφρα δ' ἀλεξάμενοι μένομεν πολέονάς περ ἐόντας·
" Ἦμος δ' ἠέλιος μετενίσσετο βώλυτόνδε,
" Καὶ τότε δὴ Κίκονες κλῖναν δαμάσαντες Ἀχαιῶν.
" Ἓξ δ' ἀφ' ἑκάστης νηὸς εὐκνήμιδες ἑταῖροι 60
" Ὤλοντ'· οἱ δ' ἄλλοι φύγομεν θανάτόν τε, μόρον τε.
" Ἔνθεν δὲ προτέρω πλέομεν ἀκαχήμενοι ἦτορ,
" Ἄσμενοι ἐκ θανάτοιο, φίλους ὀλέσαντες ἑταίρους.
" Οὐδ' ἄρα μοι προτέρω νῆες κίον ἀμφιέλισσαι,
" Πρίν τινα τῶ δειλῶν ἑτάρων τρὶς ἕκαστον αὖσαι, 65

47 ΟΙ. Ἀπλοΐντες. ΓΕ. Ἐκάλει, ἰούων.
49 ΝΑΙ. Οἰκοῦντες.
51 ΩΡ. Τῷ δ' ἱκρῷ καιρῷ.
52 ΗΕ. Ὀρθρινοί.
53 ΑΙ. Κακομόροις.
57 ΑΛ. Ἀμυνόμενοι, ἢ σακκίνοντες.
58 ΒΟΥ. Τὸν καιρὸν, ἐν ᾧ βόες ἀπλύοντες τὸ ἔργον.
59 ΚΛΙ. Ἐξέκλιναν, ἔτριψαν. ΔΑ. Ἀπλόντες.
61 ΩΛ. Ἀπώλοντο.
62 ΠΡΟ. Εἰς τοὔμπροσθεν. ΑΚ. Λυπούμενοι.
63 ΑΣ. Εὐκταῖοι. ΟΛ. Ἀπολέσαντες.
65 ΤΡΙΣ. Ἀρχαῖον ἦθος τὸ ἐπὶ ξένης ἀποκλαυμένων τὰς ψυχὰς ἀνακαλεῖν τρίτον τοὺς ἀφειλομένους, ἐπὰν ἀπίωσιν οἴκαδε· ἢ ἵνα καὶ εἴ τις ἔπι ἀπολίποιτο ἐν τῇ νήσῳ, κομίζηται.

" Οἳ

" Οἱ θάνον ἐν πεδίῳ Κικόνων ὕπο δηϊωθέντες.
" Νησὶ δ' ἐπῶρσ' ἄνεμον βορέην νεφεληγερέτα Ζεὺς
" Λαίλαπι θεσπεσίῃ, σὺν δὲ νεφέεσσι κάλυψε
" Γαῖαν ὁμῶς καὶ πόντον· ὀρώρει δ' ἐρανόθεν νύξ.
" Αἱ μὲν ἔπειτ' ἐφέροντ' ὀπικάρσιαι, ἱστία δὲ σφιν
" Τετριχθά τε καὶ τετραχθὰ διέσχισεν ἰς ἀνέμοιο.
" Καὶ τὰ μὲν ἐς νῆας κάθεμεν δείσαντες ὄλεθρον,
" Αὐτὰς δ' ἐσυμένως πεδερύσαμεν ἤπειρόνδε.
" Ἔνθα δύω νύκτας, δύο τ' ἤματα συνεχὲς αἰεὶ
" Κείμεθ', ὁμῶς καμάτῳ τε, καὶ ἄλγεσι θυμὸν ἔδοντες.
" Ἀλλ' ὅτε δὴ τρίτον ἦμαρ ἐϋπλόκαμος τέλεσ' ἠώς,
" Ἱστὰς στησάμενοι, ἀνά θ' ἱστία λευκὰ ἐρύσαντες
" Ἥμεθα· τὰς δ' ἄνεμός τε, κυβερνῆταί τ' ἴθυνον.
" Καί νύ κεν ἀσκηθὴς ἱκόμην ἐς πατρίδα γαῖαν,
" Ἀλλά με κῦμα, ῥόος τε, παραπλαγξεν δὲ Κυθήρων.
" Ἔνθεν δ' ἐννῆμαρ φερόμην ὀλοοῖς ἀνέμοισι
" Πόντον ἐπ' ἰχθυόεντ'· αὐτὰρ δεκάτῃ ἐπέβημεν
" Γαίης Λωτοφάγων, οἵτ' ἄνθινον εἶδαρ ἔδουσιν.

66 ΔΗΙ. Ἀναιρεθέντες.
68 ΛΑΙ. Τῷ μὴ ἀνέμων ὁμῶς.
70 ΕΠ. Πλάγιαι.
71 ΙΣ. Ἀνεμ⊖.
72 ΚΑΤ. Κατεθήκαμεν.
73 ΕΣ. Προθύμως. ΠΡΟ. Προκαθειλκύσαμεν.
74 ΗΜ. Ἡμέρας. ΣΥ. Συνεχῶς.
75 ΘΥ. Τῷ ψυχῷ ἐσθίοντες, ἀντὶ τοῦ κατεσθόμενοι.
76 ΤΕ. Ἐπλέωσεν, ἐπλήρωσεν.
77 ΕΡ. Ἀνελκύσαντες.
78 ΗΜ. Ἐκαθήμεθα. ΙΘ. Ἐπ' εὐθείας ἔφερεν.
79 ΑΣ. Ὑγιὴς ἐξ ἐπιμελείας.
80 ΡΟ. Ῥᾶς, ῥᾶθρον. ΠΕ. Περικάμπτοντα. ΜΑ. Ἀκρωτήριον τῆς Λακωνικῆς λίαν ἐπικίνδυνον· ὅθεν ἡ παροιμία, Μαλέαν ἢ κάμψας, ἐπιλάθου τῶν οἴκαδε.
81 ΑΠ. Ἀποθήσεσθαι. ΠΑ. Ἀπεπλάνησεν. ΚΥ. Κύθηρα, νῆσος τῆς Λακωνικῆς.
82 ΟΛ. Ὀλεθρίοις.
84 ΑΝ. Τὸν λωτὸν, ἢ τροφὴν ἐξ ἀνθέων.

" Ἔνθα

" Ἔνθα δ' ἐπ' ἠπείρῳ βῆμεν, χ᾽ ἀφυσάμεθ' ὕδωρ·
" Αἶψα δὲ δεῖπνον ἕλοντο θοὴν ἀγὸ νηυσὶν ἑταίροι.
" Αὐτὰρ ἐπεὶ σίτοιό τ' ἐπασάμεθ', ἠδὲ ποτῆτος,
" Δὴ τότ' ἐγὼν ἑτάρους προΐην πεύθεσθαι ἰόντας,
" (Ἄνδρε δύω κρίνας, τρίτατον κήρυχ' ἅμ' ὀπάσας,)
" Οἵτινες ἀνέρες εἶεν ἐπὶ χθονὶ σῖτον ἔδοντες.
" Οἱ δ' αἶψ' οἰχόμενοι μίγεν ἀνδράσι Λωτοφάγοισιν.
" Οὐδ' ἄρα Λωτοφάγοι μήδονθ' ἑτάροισιν ὄλεθρον
" Ἡμετέροις, ἀλλά σφι δόσαν λωτοῖο πόσιοσθαι.
" Τῶν δ' ὅστις λωτοῖο φάγοι μελιηδέα καρπὸν,
" Οὐκ ἔτ' ἀπαγγεῖλαι πάλιν ἤθελεν, οὐδὲ νέεσθαι,
" Ἀλλ' αὐτοῦ βούλοντο μετ' ἀνδράσι Λωτοφάγοισι
" Λωτὸν ἐρεπτόμενοι μενέμεν, νόστου τε λαθέσθαι.
" Τοὺς μὲν ἐγὼν ἐπὶ νῆας ἄγον κλαίοντας ἀνάγκῃ,
" Νηυσὶ δ' ὑπὸ γλαφυρῇσιν ὑπὸ ζυγὰ δῆσα ἑρύσας.
" Αὐτὰρ τοὺς ἄλλους κελόμην ἐρίηρας ἑταίρους
" Σπερχομένους νηῶν ἐπιβαινέμεν ὠκειάων,
" Μή πω τις λωτοῖο φαγὼν, νόστοιο λάθηται.
" Οἱ δ' αἶψ' εἰσβαινον, χ᾽ ἐπὶ κληῖσι κάθιζον·
" Ἑξῆς δ' ἑζόμενοι πολιὴν ἅλα τύπτον ἐρετμοῖς.
" Ἔνθεν δὲ προτέρω πλέομεν, ἀκαχήμενοι ἦτορ·
" Κυκλώπων δ' ἐς γαῖαν ὑπερφιάλων, ἀθεμίστων,

85 ΒΗ. Ἔσημεν, ἐξήλθομεν. ΑΦ. Ἠιτλήσαμεν.
87 ΕΠ. Ἐγδυσάμιθα, ἀθίομεν. ΠΟ. Ποτᾶ.
88 ΠΡΟ. Προέπεμπον. ΠΕΥ. Πυθέσθαι, μαθεῖν.
89 ΤΡΙ. Ἵνα μὴ ἐυεπιχείρητοι ὦσι, λέγ τ' κήρυκα. ΟΠ. Παραχώρ.
90 ΕΙ. Ὑπάρχοιεν.
91 ΟΙ. Παρόμβροι. ΜΙ. Ἐμίχθησαν.
92 ΜΗ. Ἐπιλύοντο.
97 ΕΡ. Ἐσθίοντες.
99 ΖΥ. Ὑπὸ τὰς καθέδρας. ΕΡ. Ἑλκύσας.
106 ΚΥΚ. Δίκαιοι ὄντοι, πλὼ Πολυφήμε· ὄθεν τὸ μὴ ὑπερφιάλων, νῶν μεγάλων· τὸ δ' ἀθεμίστων, μὴ ἐχόντων νόμων

" Ἰκόμεθ', οἵ ῥα θεοῖσι πεπιθότες ἀθανάτῃσιν,
" Οὔτε φυτεύσιν χερσὶν φυτὸν, ὅττ' ἀρόωσιν·
" Ἀλλὰ τάγ' ἄσπαρτα καὶ ἀνήροτα πάντα φύουσι,
" Πυροὶ καὶ κριθαὶ, ἠδ' ἄμπελοι, αἵτε φέρουσιν
" Οἶνον ἐριστάφυλον, καί σφιν Διὸς ὄμβρος ἀέξει.
" Τοῖσιν δ' ὅττ' ἀγορὰς βυληφόροι, ὅττε θέμιστες·
" Ἀλλ' οἵγ' ὑψηλῶν ὀρέων νάϊσι κάρηνα
" Ἕν πώεσι γλαφύροισι· θεμιστεύῃ δὲ ἕκαστος
" Παίδων ἠδ' ἀλόχων· ἀδ' ἀλλήλων ἀλέγουσι·
" Νῆσος ἔπειτα λάχεια πάρεκ λιμένος τετάνυσται
" Γαίης Κυκλώπων, ὅτε σχεδὸν, ὅττ' ἀποτηλοῦ,
" Ὑλήεσσ'· ἐν δ' αἶγες ἀπειρέσιαι γεγάασιν
" Ἄγριαι· ἃ μὲν γὰρ πάτος ἀνθρώπων ἀπερύκει·
" Οὐδέ μιν εἰσιχνεῦσι κυνηγέται, οἵτε καθ' ὕλην
" Ἄλγεα πάσχουσιν, κορυφὰς ὀρέων ἐφέποντες.
" Οὔτ' ἄρα ποίμνῃσιν καταΐσχεται, ὅττ' ἀρότοισιν,
" Ἀλλ' ἦγ' ἄσπαρτος καὶ ἀνήροτος ἥματα πάντα,
" Ἀνδρῶν χηρεύει, βόσκει δέ τε μηκάδας αἶγας.

χρέιαν νόμων, ἀλλὰ τὸ θεμιστεύειν ἕκαστον Παίδων ἠδ' ἀλόχων. πῶς ἂν ἠδίκων τὰς Φαίακας καὶ ἐλύπων; ἀλλὰ τὸ ἀνόμβιον τῶν πολιτέας. ΑΘ. Ἀκοινωνήτων.

108 ΑΡ. Ἀροτριῶσιν.

109 ΑΝ. Ἀναροτρίαστα.

111 ΕΡ. Ἐκ πιλείας καρπὸν τῆς ζειφυλῆς γινόμβον.

112 ΒΟΥ. Εἰς ἃς αἱ βυλαὶ ἀνακφέρονται, ἵνα ἱππιλειωθῶσιν. ΘΕ. Κοινὰ νόμιμα.

113 ΚΑ. Ἀκαρπείας.

114 ΘΕ. Ἀρχὴ, δικάζει.

116 ΛΑ. Εὔγειον, ἢ εὐσκαφὲς, λαχαίνεσθαι ἢ σκάπτεσθαι δυναμένη. οἰκονομικῶς ἢ ἐς παύτλιν νύκτωρ κατηνίχθησαν, ἵνα μὴ ἀπόλωνται πάντες. ΛΙ. Ἔξω τοῦ λιμένος. ΤΕ. Ἐκτέταται, δηλονότι.

118 ΑΠ. Πολλαί.

119 ΠΑ. Ἀναστροφή. ΑΠ. Ἀπίσχει, κωλύει.

120 ΕΙ. Εἰσορμίζονται, εἰσέρχονται.

121 ΕΦ. Ἐπιζητοῦντες.

122 ΚΑ. Κατίσχεται. ΑΡ. Ἀροτριάσουσιν.

123 ΑΝ. Μὴ ἀροτριαμένη.

124 ΧΗ. Σπανίζει, ἐρημός ἐστι. ΜΗ. Μηκωμένας, ἀπὸ τῆς φωνῆς. Μηκὴ γὰρ λέγεται ἡ τῶν αἰγῶν φωνή· ἢ ἀπὸ τοῦ ἐπὶ τὸ μήκη κίειν, ὅ ἐστι πορεύεσθαι.

" Οὐ

" Οὐ γὰρ Κυκλώπεσσι νέες πάρα μιλτοπάρῃοι,
" Οὐδ' ἄνδρες νηῶν ἔνι τέκτονες, οἵ κε κάμοιεν
" Νῆας ἐϋσταλμους, αἳ κεν τελέοιεν ἕκαστε,
" Ἄστε' ἔπ' ἀνθρώπων ἰκνεύμεναι· οἵά τε πολλὰ
" Ἄνδρες ἐπ' ἀλλήλους νηυσὶν περόωσι θάλασσαν,
" Οἵ κέ σφιν καὶ νῆσον ἐϋκλήρενλιν ἐκάμοντο.
" Οὐ μὲν γάρ τι κακὴ γε, φέροι δὲ κεν ὥρια πάντα.
" Ἔν μὲν γὰρ λειμῶνες ἁλὸς πλησίον παρ' ὄχθας
" Ὑδρηλοὶ, μαλακοί· μάλα κ' ἄφθιτοι ἄμπελοι εἶεν.
" Ἔν δ' ἄροσις λείη· μάλα κεν βαθὺ λήϊον αἰεὶ
" Εἰς ὥρας ἀμῶεν· ἐπεὶ μάλα πῖαρ ὑπ' ὄδας.
" Ἐν δὲ λιμὴν εὔορμος, ἵν' ἕ χρεὼ πείσματός ἐστιν,
" Οὔτ' εὐνὰς βαλέειν, οὔτε πρυμνήσι' ἀνάψαι,
" Ἀλλ' ἐπικέλσαντας μεῖναι χρόνον, εἰσόκε ναυτέων
" Θυμὸς ἐποτρύνῃ, καὶ ἐπιπνεύσωσιν ἀῆται.
" Αὐτὰρ ἐπὴν κρατὸς λιμένος ῥέῃ ἀγλαὸν ὕδωρ,
" Κρήνη ὑπὸ σπείους· περὶ δ' αἴγειροι πεφύασιν.
" Ἔνθα κατεπλέομεν, καί τις θεὸς ἡγεμόνευε

125 ΜΙΛ. Μίλτῳ τὰς πρῳρεὰς κεχρισμένοι, τουτέστι τὰς πρώρας. Μίλτος δὲ, πηλὸς ἐρυθρός.
126 ΕΝ. Ἔνεισιν. ΚΑ. Καλαφκευάσαι.
127 ΤΕ. Πράττειν, ὑπάρχειν.
128 ΙΚ. Παρομοιάζωσι.
130 ΕΚ. Κατεργάσαντο, κατεσκεύασαντο.
131 ΩΡ. Τὰ ὡραῖα ἕκαστον καιρὸν ἐπιτήδεια· τὰ γὰρ καιρὸν ὥρια.
133 ΥΔ. Κάθυγροι. ΜΑ. Ἁπαλοί. ΑΦ. Ἄφθαρτοι.
134 ΑΡ. Ἀροτρίασις. ΛΕΙ. Ὁμαλή. ΛΗΙ. Σιτοφόροι πεδίοι.
135 ΑΜ. Θερίζοιεν. ΠΙ. Λιπαρὸν, εὔγειον. ΟΥ. Τὸ ἐδαφος.
136 ΕΥ. Εὐπάλακτος. ΠΕΙΣ. Ἀπογειοῖ χοίνικι, ᾧ παιδὶ ἡ ναῦς.
137 ΕΥ. Ἀγκύρας. ΑΝ. Προσδῆσαι.
138 ΕΠ. Ἐπικέλσαντας τῇ γῇ, ἐπιψαύσαντας.
139 ΕΠ. Πνεύσῃ, παραμόσῃ. ΑΗ. Οἱ ἄνεμοι.
140 ΚΡΑ. Τῆς ἀρχῆς ἕ λιμένος.

" Νύκτα δι' ὀρφναίην· ἀδὲ προφαίνετ' ἰδέσθαι.
" Ἀὴρ γὰρ παρὰ νηυσὶ βαθεῖ ἦν, ἀδὲ σελήνη
" Οὐρανόθεν προφαίνε· κατείχετο γὰρ νεφέεσσιν.
" Ἔνθ' ὅτις τιὼ νῆσον ἐσέδρακεν ὀφθαλμοῖσιν·
" Οὔτ' ἂν κύματα μακρὰ κυλινδόμενα προτὶ χέρσον
" Εἰσίδομεν, πρὶν νῆας ἐυσταλμους ὑπελάσαι.
" Κελσαίσησι ἢ νηυσὶ, καθείλομεν ἱστία πάντα,
" Ἐκ δὲ καὶ αὐτὶ βῆμεν ἐπὶ ῥηγμῖνι θαλάσσης·
" Ἔνθα δ' ὑποδρίξαντες ἐμείναμεν ἠῶ δῖαν.
" Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠὼς,
" Νῆσον θαυμάζοντες ἐδινεόμεθα κατ' αὐτήν.
" Ὧρσεν δὲ νύμφας, κοῦρας Διὸς Αἰγιόχοιο,
" Αἶγας ὀρεσκῴους, ἵνα δειπνήσειαν ἑταῖροι.
" Αὐτίκα καμπύλα τόξα καὶ αἰγανέας δολιχαύλους
" Εἱλόμεθ' ἐκ νηῶν· θὰ δὲ τρίχα κοσμηθέντες
" Βάλλομεν· αἶψα δ' ἔδωκε θεὸς μενοεικέα θήρην.
" Νῆες μέν μοι ἕποντο δυώδεκα, ἐς δὲ ἑκάστην
" Ἐννέα λάγχανον αἶγες· ἐμοὶ δὲ δέκ' ἔξελον οἶῳ.
" Ὡς τότε μὲν πρόπαν ἦμαρ, ἐς ἠέλιον καταδύντα,
" Ἤμεθα δαινύμενοι κρέα τ' ἄπλετα, καὶ μέθυ ἡδύ.

143 ΠΡΟΥ. Προιφαίνετο.
144 ΑΗΡ. Ἀχλὺς, ἀοράσια. ΒΑ. Σκοτεινή.
145 ΠΡΟΥ. Ἔφαινε, ἔλαμπε.
146 ΕΔ. Εἶδε, ἰθιάσατο.
147 ΧΕΡ. Πρὸς τὴν γῆν.
149 ΚΕΛ. Ἐπικειλάσαις τῇ γῇ.
151 ΑΠ. Ἐπὶ βαρεῖ καὶ τρυφῇ λάπαισμηθέντες.
153 ΘΑΥ. Θιώμβοι. ΕΔ. Περιηχούμεθα, ἀπεπιφόμεθα.
154 ΩΡ. Διηγειραν.
155 ΟΡ. Τὰς ὧν ὄρεϊ ἀμφιρεβόσας.
156 ΚΑΜ. Ἐπικαμπῆ. ΑΙ. Ἀκόντια ἐπιμήκεις τὰς αὐλὰς ἔχοντα, ὅ ἐστι, τὰ σίδηρον.
157 ΕΙ. Ἐλαύσομεν.
158 ΜΕ. Τῷ μίσῃ ἁρμόζουσαι.
160 ΕΞ. Ἐξαίρετον ἔδωκαν.
161 ΠΡΟ. Διὰ ὅλης τὰς ἡμέρας. ΗΕ. Περὶ δύσιν ἡλίου.
162 ΑΣ. Ποικά. ΜΕ. Οἶνον.

" Οὐ

" Οὐ γάρ πω νηῶν ἐξέφθιτο οἶνος ἐρυθρὸς,
" Ἀλλ' ἐνέλω· πολλὸν γὰρ ἐν ἀμφιφορεῦσιν ἕκαστοι
" Ἠφύσαμεν, Κικόνων ἱερὸν πτολίεθρον ἐλόντες.
" Κυκλώπων δ' ἐς γαῖαν ἐλεύσομεν, ἐγγὺς ἐόντων,
" Καπνόν τ', αὐτῶν τε φθογγὴν, οἰῶν τε, Ϛ αἰγῶν.
" Ἦμος δ' ἠέλιος κατέδυ, Ϛ ἐπὶ κνέφας ἦλθε,
" Δὴ τότε κοιμήθημεν ἐπὶ ῥηγμῖνι θαλάσσης·
" Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠὼς,
" Καὶ τότ' ἐγὼν ἀγορὴν θέμενος, μετὰ πᾶσιν ἔειπον·
" Ἄλλοι μὲν νῦν μίμνετ', ἐμοὶ ἑρίηρες ἑταῖροι·
" Αὐτὰρ ἐγὼ σὺν νηΐ τ' ἐμῇ καὶ ἐμοῖς ἑτάροισιν
" Ἐλθὼν, τῶν δ' ἀνδρῶν πειρήσομαι, οἵ τινές εἰσιν,
" Ἦ ῥ' οἵγ' ὑβρισταί τε, καὶ ἄγριοι, οὐδὲ δίκαιοι·
" Ἠὲ φιλόξεινοι, καί σφιν νόος ἐστὶ θεουδής.
" Ὡς εἰπὼν, ἀνὰ νηὸς ἔβην· κέλευσα δ' ἑταίρους,
" Αὐτούς τ' ἀμβαίνειν, ἀνά τε πρυμνήσια λῦσαι.
" Οἱ δ' αἶψ' ἐσέβαινον, καὶ ἐπὶ κληῖσι κάθιζον·
" Ἑζῆς δ' ἑζόμενοι πλιὴν ἅλα τύπτον ἐρετμοῖς.
" Ἀλλ' ὅτε δὴ τ' χῶρον ἀφικόμεθ', ἐγγὺς ἐόντα,
" Ἔνθα δ' ἐπ' ἰηχαλὴν πτεὸς εἴδομεν, ἄγχι θαλάσσης,
" Ὑψηλὸν, δάφνῃσι κατηρεφές· ἔνθα δὲ πολλὰ
" Μῆλ', ὄιές τε, καὶ αἶγες ἰαύεσκον· πεῖ δ' αὐλὴ

163 ΕΞ. Ἐδιδαπέπτατο, ἀπέλωτο.
164 ΕΝ. Ἀλλ' ἐνέλω. ΑΜ. Ἀχαϊκοὶς διάλεκτος.
165 ΗΦ. Ἠντλήσαμεν.
166 ΕΛ. Ἐλεύσομαι, ἐλεύσομαι, ἐλεύσιμαι.
169 ΡΗΓ. Τῇ αἰγιαλῷ.
171 ΘΕ. Ποιησάμεθα.
176 ΦΙ. Φιλόξενοι.
180 ΠΟ. Λαῶν.
182 ΕΣ. Ἐπὶ τῇ ἰηχάτῃ καὶ πλουσίᾳ μέρει.
183 ΚΑ. Κατασκιασμένον.
184 ΜΗΛ. Προσάξας τὸ γένος, ἀπὸ τοῦ ἔχει τὸ ὄνομα. ΙΑΤ. Διανυκτέρευον, ἐκοίτευδον.

" Ὑψηλὴ δέδμητο κατωρυχέεσσι λίθοισι,
" Μακρῇσίν τε πίτυσσιν, ἰδὲ δρυσὶν ὑψικόμοισιν.
" Ἔνθα δ' ἀνὴρ ἐνίαυε πελώριος, ὅς ῥά τε μῆλα
" Οἷος ποιμαίνεσκεν ἀπόπροθεν· οὐδέ μιν ἄλλους
" Πωλεῖτ', ἀλλ' ἀπάνευθεν ἐὼν ἀθεμίστια ᾔδη.
" Καὶ γὰρ θαῦμ' ἐτέτυκτο πελώριον· οὐδὲ ἐῴκει
" Ἀνδρί γε σιτοφάγῳ, ἀλλὰ ῥίῳ ὑληέντι
" Ὑψηλῶν ὀρέων, ὅτε φαίνεται οἷον ἀπ' ἄλλων.
" Δὴ τότε τοὺς ἄλλους κελόμην ἑρίηρας ἑταίρους
" Αὐτοῦ παρ νηΐ τε μένειν, καὶ νῆα ἐρύσσαι·
" Αὐτὰρ ἐγὼ κρίνας ἑτάρων δυοκαίδεκ' ἀρίστους
" Βῆν· ἀτὰρ αἴγειον ἀσκὸν ἔχον μέλανος οἴνοιο,
" Ἡδέος, ὅν μοι ἔδωκε Μάρων, Εὐάνθεος υἱὸς,
" Ἱρεὺς Ἀπόλλωνος, ὃς Ἴσμαρον ἀμφιβεβήκει·
" Οὕνεκά μιν σὺν παισὶ περισχόμεθ', ἠδὲ γυναικὶ,
" Αἰδόμενοι· ᾤκει γὰρ ἐν ἄλσεϊ δενδρήεντι
" Φοίβου Ἀπόλλωνος· ὁ δέ μοι πόρεν ἀγλαὰ δῶρα·
" Χρυσοῦ μέν μοι δῶκε εὐεργέος ἑπτὰ τάλαντα·
" Δῶκε δέ μοι κρητῆρα πανάργυρον· αὐτὰρ ἔπειτα
" Οἶνον ἐν ἀμφιφορεῦσι δυώδεκα πᾶσιν ἀφύσας,
" Ἡδὺν, ἀκηράσιον, θεῖον πότον· οὐδέ τις αὐτὸν

185 ΔΕΔ. Ἐλελύμητο, ᾠκοδόμητο. ΚΑ. Τοῖς ὑπὸ τῇ γῇ συνωρυγμένοις, ὅ ἐστι πεφυτευμένοις.
186 ΥΠ. Ἐν ὕψει κομώσας.
187 ΕΝ. Διεφθείρειν· ἢ, ἀκάθαρτον.
189 ΠΩ. Ἀνηρίφιτο. ΑΘ. Ἄδικε.
191 ΡΙ. Ἀκροτάτῳ, ὄγκῳ ἰσχῇ.
194 ΕΡ. Φυλάξαι.
197 ΜΑ. Εὐάνθης υἱός. Εὐάνθης ὁ Διονύσου.
198 ΑΜ. Κατῖχεν, ἐφύλαττεν.
199 ΠΕ. Περιεσώσαμεν, ἐφυλάξαμεν.
200 ΑΖ. Σεβόμενοι, σωφρονοῦντες, ΑΛ. Ὑφηλῷ καὶ πάνυ ἔχοντι τόπῳ.
204 ΑΦ. Ἀντλήσας.
205 ΑΚ. Καλὸν, ἐ ἀδιάφθορον, ἢ ἀκέραιον.

" Ἡσίοδ

" Ἠείδῃ δμώων, ὁδ' ἀμφιπόλων ἐνὶ οἴκῳ,
" Ἀλλ' αὐτός τ', ἄλοχός τε φίλη, ταμίη τε μί' οἴῃ.
" Τὸν δ' ὅτε πίνοιεν μελιηδέα οἶνον ἐρυθρὸν,
" Ἓν δέπας ἐμπλήσας, ὕδατος ἀνὰ εἴκοσι μέτρα
" Χεῦ· ὀδμὴ δ' ἡδεῖα δύτο κρητῆρος ὀδώδῃ, 210
" Θεσπεσίη· τότ' ἂν ἄτοι ἀποσχέσθαι φίλον ἦεν.
" Τῷ φέρον ἐμπλήσας ἀσκὸν μέγαν, ἐν δὲ ἔ ἦια
" Κωρύκῳ· αὐτίκα γάρ μοι ὀΐσατο θυμὸς ἀγλαΐῳρ,
" Ἀνδρ' ἐπελθόντα μεγάλην ὑπερμενέων ἀλκὴν,
" Ἄγριον, ὅστε δίκας εὖ εἰδότα, ὅστε θέμιστας. 215
" Καρπαλίμως δ' εἰς ἄντρον ἀφικόμεθ', οὐδέ μιν ἔνδον
" Εὕρομεν, ἀλλ' ἐνέμεσθε νομὸν κατὰ πίονα μῆλα.
" Ἐλθόντες δ' εἰς ἄντρον ἐθηεύμεθα ἕκαστα·
" Ταρσοὶ μὲν τυρῶν βρίθον, στείνοντο δὲ σηκοὶ
" Ἀρνῶν ἠδ' ἐρίφων. Διακεκριμέναι δὲ ἕκαστα 220
" Ἔρχατο· χωρὶς μὲν πρόγονοι, χωρὶς δὲ μέσσαι,
" Χωρὶς δ' αὖθ' ἕρσαι· νᾶον δ' ὁρῷ ἅπαντα,

206 ΔΜΩ. Οἰκιτῶν, δούλων.
208 ΕΡ. Πυῤῥόν.
209 ΥΔ. Προφυλάξωμεν, ἵνα μὴ ζητῶμεν, πῶς ὁ τοσοῦτος σκορίδος.
211 ΑΠ. Ἀποσῆναι.
212 ΗΙ. Ἄλφιτα.
213 ΚΩ. Θυλάκῳ.
214 ΕΠΕ. Ἐπιληΐν. ΕΠ. Περιστόλημόν.
216 ΑΝ. Τὸ ἀπήλαιον.
217 ΕΝ. Ἥμισυ. ΝΟ. Εἰς τὴν κατανομήν.
218 ΕΘ. Ἐθισμοῦμεν, ἐθαυμάζομεν.
219 ΤΑΡ. Οἱ κλεισθέντες, οὓς οἷς πρόσθεν ἐκλείσθησαν οἱ τυροί. Λέγονται δὲ ἔ τάλαροι ἔ ψυγοὶ, ἢ ψυκτῆρες· διὰ ὅτι οὐ αὐτοῖς τὸ γάλα ψύχεται. Ἔστι δὲ ἀγγεῖα πλεκτά. Ταρσοὶ δὲ παρὰ τὸ τίρσειν, ὅ ἐστι ξηραίνειν. ΒΡ. Ἐπιπλήρωντο. ΣΤΕΙ. Ἐστενοχωροῦντο. ΣΗ. Αἱ μανδραι ἔ αἰγίσθολοι, αἱ οἷς συγκλείσωσι τὰ ῥίμματα, ἢ κατασύσεις τῶν ῥιμμάτων.
220 ΔΙΑ. Διακεχωρισμέναι, ἢ ἐκλέκτοι.
221 ΕΡ. Σωρόχοντο, συγκλεισμένοι ἦσαν. ΠΡΟ. Προβοϊστέραι, παλαιότεραι, ἢ μεταβοϊστέραι τῇ ἡλικίᾳ. ΜΕ. Μέσαι, μεσήλικες.
222 ΕΡ. Αἱ νεογναὶ ἔ ἀπάλαι καὶ δροσώδεις, ἀπὸ τ ἔρσης· ἢ σφόδρα τῇ ἡλικίᾳ. ΝΑ. Ναί, ἀντὶ ᾧ ἐφερρόοντο ἔ κατέῤῥεοντο· ἢ ἐπλήρωντο, ἢ ὤχυν. ΟΡ. Τῷ διῤῥοῖτι γάλακτι, ἢ τῇ ὑποστάθμῃ τῶ γάλακτος· ὁρὸς γὰρ λέγεται, ἡ ᾧ γάλακτος ὑδατώδης ὑπόστασις.

" Γαυλοὶ

" Γαυλοί τε, σκαφίδες τε, τετυγμένα, τοῖς ἐνάμελγεν.
" Ἔνθ' ἐμὲ μὲν πρώτιστ' ἔταροι λίασονθ' ἑπέεσσι,
" Τυρῶν αἰνυμένους ἰένας πάλιν· αὐτὰρ ἔπειτα
" Καρπαλίμως ἐπὶ νῆα θοὴν ἐρίφους τε Ϛ ἄρνας
" Σηκῶν ἐξελάσαντας ἐπιπλεῖν ἁλμυρὸν ὕδωρ·
" Ἀλλ' ἐγὼ οὐ πιθόμην, (ἦ τ' ἂν πολὺ κέρδιον ἦεν,)
" Ὄφρ' αὐτόν τε ἴδοιμι, καὶ εἴ μοι ξείνια δοίη.
" Οὐδ' ἄρ' ἔμελλ' ἑτάροισι φανεὶς ἐρατεινὸς ἔσεσθαι.
" Ἔνθα δὲ πῦρ κήαντες ἐθύσαμεν· ἠδὲ καὶ αὐτοὶ
" Τυρῶν αἰνύμενοι φάγομεν· μένομέν τέ μιν ἔνδον
" Ἥμενοι, ἕως ἐπῆλθε νέμων· φέρε δ' ὄβριμον ἄχθος
" Ὕλης ἀζαλέης, ἵνα οἱ παλάρτιον εἴη.
" Ἔκτοθεν δ' ἄντροιο βαλὼν ὀρυμαγδὸν ἔθηκεν·
" Ἡμεῖς δὲ δείσαντες ἀπεστύμεθ' ἐς μυχὸν ἄντρου.
" Αὐτὰρ ὅγ' εἰς εὐρὺ στέος ἤλασε πίονα μῆλα
" Πάντα μάλ', ὅσ' ἤμελγε, τὰ δ' ἄρσενα λεῖπε θύρηφιν,
" Ἀρνειούς τε, τράγούς τε, βαθείης ἔκτοθεν αὐλῆς.
" Αὐτὰρ ἔπειτ' ἐπέθηκε θυρεὸν μέγαν ὑψόσ' ἀείρας,
" Ὄβριμον· οὐκ ἂν τόν γε δύω καὶ εἴκοσ' ἄμαξαι
" Ἐσθλαί, τετράκυκλοι, ἀπ' ἤδεος ὀχλίσειαν·

223 ΓΑΥ. Ἀγγεῖα ποιμενικὰ σκαφοειδῆ, εἰς ἃ οἱ ποιμένες ἀμέλγουσι δέχονται τὸ γάλα. Εὐθιτῶσι ἢ κὴ εἰς τυρῶ λοήθησιν. ΣΚΑ. Ὑποκοριστικῶς, αἱ σκάφαι. ΤΕ. Κατασκευασμένα. ΤΟΙ. Ἐν οἷς.

225 ΑΙ. Λέροντας, βιασάμενοι.

230 ΕΡ. Ἀγαπητὸς καὶ ἱκέρσιος. Ἢ ἡδὺς καὶ εὐσοίωτος.

231 ΚΕΙ. Καώσαντις, ἀνάψαντες.

232 ΑΙ. Λαμβάνοντες.

233 ΝΕ. Βόσκων. ΑΧ. Φόρτον, βάρος τ' ὕλης.

234 ΑΖ. Ξηρᾶς. ΙΝΑ. Ἀντὶ ᾧ, ἵνα αὐτῷ δεικνύῃ φῶς πυρείη.

235 ΕΚ. Δηλονότι, τῷ συρφετώδη ὕλῃ.

236 ΑΠ. Ἀνεχωρήσαμεν.

238 ΘΥ. Ἔξω.

240 ΘΥ. Τὸν μοχλόλιθον.

242 ΤΕ. Τετράτροχοι. ΟΧ. Κινήσειαν.

" Τόσσῳ

" Τόσσῳ ἠλίβατον πέτρην ἐπέθηκε θύρῃσιν.
" Ἐξόμενος δ' ἤμελλεν οἷς ἠδ μηκάδας αἶγας,
" Πάντα κατὰ μοῖραν, καὶ ὑπ' ἔμβρυον ἦκεν ἑκάστῃ.
" Αὐτίκα δ' ἤμισυ μὲν θρέψας λάϊκοῖο γάλακτος,
" Πλεκτοῖς ἐν ταλάροισιν ἀμησάμενος κατέθηκε·
" Ἥμισυ δ' αὖτ' ἔσῃσεν ἐν ἄγλεσιν, ὄφρα οἱ εἴη
" Πίνειν δαινυμένῳ, καί οἱ πολυδόρπιον εἴη.
" Αὐτὰρ ἐπειδὴ πεῦκε πονησάμενος τὰ ἃ ἔργα,
" Καὶ τότε πῦρ ἀνέκαιε, καὶ εἰσιδὲν, εἴρετο δ' ἡμέας·
" Ὦ ξεῖνοι, τίνες ἐστέ; πόθεν πλεῖθ' ὑγρὰ κέλευθα;
" Ἦ τι κατὰ πρῆξιν, ἢ μαψιδίως ἀλάλησθε;
" Οἷά τε λῃστῆρες ὑπεὶρ ἅλα, τοί τ' ἀλόωνται)
" Ψυχὰς παρθέμενοι, κακὸν ἀλλοδαποῖσι φέροντες.
" Ὣς ἔφαθ'· ἡμῖν δ' αὖτε κατεκλάσθη φίλον ἦτορ,
" Δεισάντων φθόγγον τε βαρὺν, αὐτόν τε πέλωρον.
" Ἀλλὰ καὶ ὣς μιν ἔπεσιν ἀμειβόμενος προσέειπον·
" Ἡμεῖς τοι Τροίηθεν ὑπεπλαγχθέντες Ἀχαιοὶ
" Παντοίοις ἀνέμοισιν ὑπὲρ μέγα λαῖτμα θαλάσσης,
" Οἴκαδε ἰέμενοι, ἄλλην ὁδὸν, ἄλλα κέλευθα
" Ἤλθομεν· ὕτω πῃ Ζεὺς ἤθελε μητιάασθαι.
" Λαοὶ δ' Ἀτρείδεω Ἀγαμέμνονος εὐχόμεθ' εἶναι,

243 ΗΛ. Ὑψηλόν. ΤΟΣ. Τοσαύτην.
245 ΥΠ. Ὑπίδηκεν ἔμβρυον. Ὅμηρος δὲ, ὑπεναντίον τῇ σωμηδείας, Βρίφος μὲν γὰρ τὸ κῷον λαγαρὸς, Ἔμβρυον δὲ, νεογνὸν, ἢ τὸ τίκτον.
246 ΘΡΕΨ. Πήξας.
247 ΑΜ. Προσπιεζομένῳ, συναγομένων.
248 ΕΣΤ. Εἴκοσιν ἐν τοῖς ἀγελείοις.
249 ΔΑΙ. Ἐπιθυμοῦντι, λαμβάνοντι.
250 ΣΠΕΥ. Ἐφικόμενος. ΠΟ. Ἐνεργήσας, πράξας.
252 ΥΓ. Τὴν ἁλὸς θαλάσσης ὁδόν.
255 ΠΑΡ. Παρεμβάλλοντες.
259 ΑΠ. Πλανηθέντες.
261 ΙΕ. Ἐπιθυμοῦντες.
262 ΜΗ. Ἔνιοι, Μητίσασθαι, ἐργάσασθαι.

" Τῷ

" Τῶ δὴ νῦν γε μέγιστον ὑπερφίαλον κλέος ἐστί·
" Τόσσην γὰρ διέπερσε πόλιν, καὶ ἀπώλεσε λαοὺς
" Πολλούς· ἡμεῖς δ' αὖτε κιχανόμενοι τὰ σὰ γοῦνα
" Ἱκόμεθ', εἴτι πόροις ξεινήϊον, ἠὲ καὶ ἄλλως
" Δώῃς δωτίνην, ἥτε ξείνων θέμις ἐστίν.
" Ἀλλ' αἰδοῖο, φέριστε, θεὸς· ἱκέται δέ τοι εἰμέν.
" Ζεὺς δ' ὑπερμενέτωρ ἱκετάων τε, ξείνων τε,
" Ξείνιος, ὃς ξείνοισιν ἅμ' αἰδοίοισιν ὀπηδεῖ.
" Ὣς ἐφάμην· ὁ δέ μ' αὖτις ἀμείβετο νηλεῖ θυμῷ·
" Νήπιος εἶς, ὦ ξεῖν', ἢ τηλόθεν εἰλήλουθας,
" Ὅς με θεὸς κέλεαι ἢ δειδίμεν, ἢ ἀλέασθαι.
" Οὐ γὰρ Κύκλωπες Διὸς αἰγιόχου ἀλέγουσιν,
" Οὐδὲ θεῶν μακάρων· ἐπεὶ ἦ πολὺ φέρτεροι εἰμέν.
" Οὐδ' ἂν ἐγὼ Διὸς ἔχθος ἀλευάμενος πεφιδοίμην,
" Οὔτε σεῦ, οὔθ' ἑτάρων, εἰ μὴ θυμός με κελεύοι.
" Ἀλλά μοι εἰπέ, ὅπῃ ἔσχες ἰὼν εὐεργέα νῆα·
" Ἦ πῃ ἐπ' ἐσχατιῆς, ἢ καὶ σχεδόν, ὄφρα δαείω.
" Ὣς φάτο πειράζων· ἐμὲ δ' οὐ λάθεν εἰδότα πολλά·
" Ἀλλά μιν ἄψορρον προσέφην δολίοις ἐπέεσσι·
" Νέα μέν μοι κατέαξε Ποσειδάων ἐνοσίχθων,
" Πρὸς πέτρῃσι βαλὼν, ὑμῆς ὑπὸ πείρασι γαίης,

265 ΔΙ. Διεπόρθησεν.
266 ΚΙ. Παραχθόμβμοι.
267 ΙΚ. Ἱκετεύομεν. ΠΟ. Παρέσχοις.
268 ΔΩ. Δωρεάν.
270 ΕΠ. Ἐπόπτης, βοηθός.
271 ΟΠ. Ἀκολαθῆ.
274 ΔΕΙ. Φοβηθῆναι. ΑΛ. Ἐκκλῖναι, φυλάξασθαι.
275 ΔΙ. Ἀσεβὴς ὢν ὁ Πολύφημος ἀμφοτέρως καὶ τὰς λοιπάς· ὅτι γὰρ φαῦλοι οὐκ ἦσαν ἄθεοι, παρίστησιν ὁ Ποιητὴς λέγων, Νῆστίν γ' οὔπως ἐπὶ Διὸς μεγάλα ἀλίσκεσθαι.
277 ΠΕ. Φεισαίμεθα.
279 ΕΣ. Κατίσχις. ΕΥ. Τὴν καλῶς κατεσκευασμένην.
281 ΠΕΙ. Ἐνισχύων.
282 ΑΨ. Πάλιν, ἐκ ἁπλῶς.
284 ΥΜ. Ὑμετέρας.

" Ἀκρη

" Ἄχρη προπελάσας· ἄνεμος δ' ἐκ πόντου ἔνεικεν
" Αὖτὰρ ἐγὼ σὺν τοῖσδε ὑπέκφυγον αἰπὺν ὄλεθρον.
" Ὡς ἐφάμην· ὁ δέ μ' οὐδὲν ἀμείβετο νηλεὶ θυμῷ·
" Ἀλλ' ὄγ' ἀναΐξας ἑτάροις ἐπὶ χεῖρας ἄλλε·
" Σὺν ἢ δύω μάρψας, ὥστε σκύλακας ποτὶ γαίῃ
" Κόπτ'· ἐκ δ' ἐγκέφαλος χαμάδις ῥέε, δεῦε δὲ γαῖαν.
" Τὰς δὲ μελεΐστι ταμὼν ὡπλίσατο δόρπον.
" Ἤσθιε δ', ὥστε λέων ὀρεσίτροφος, οὐδ' ἀπέλειπεν
" Ἐγκατά τε σάρκας τε, καὶ ὀστέα μυελόεντα.
" Ἡμεῖς δὲ κλαίοντες ἀνεσχέθομεν Διῒ χεῖρας,
" Σχέτλια ἔργ' ὁρόωντες· ἀμηχανίη δ' ἔχε θυμόν.
" Αὖτὰρ ἐπεὶ Κύκλωψ μεγάλην ἐμπλήσατο νηδὺν,
" Ἀνδρόμεα κρέ' ἔδων, καὶ ἐπ' ἄκρητον γάλα πίνων,
" Κεῖτ' ἔντοθ' ἄντροιο τανυσσάμενος διὰ μήλων.
" Τὸν μὲν ἐγὼ βάλλουσι κατὰ μεγαλήτορα θυμὸν,
" Ἆσσον ἰὼν, ξίφος ὀξὺ ἐρυσσάμενος παρὰ μηρὸν,
" Οὐτάμεναι πρὸς στῆθος, ὅθι φρένες ἧπαρ ἔχουσιν,
" Χεῖρ' ὑπεμαστάμενος· ἕτερος δέ με θυμὸς ἔρυκεν.
" Αὐτῷ γάρ κε καὶ ἄμμες ἀπώλομεθ' αἰπὺν ὄλεθρον·

285 ΠΡΟΣ. Προσιγγίσας, ἀντὶ τοῦ προσῆξας.
288 ΙΑΛ. Ἐπίσκλιν.
289 ΜΑΡ. Ἁρπάσας, συλλαβών. ΣΚΥ. Τὰς πεζὰς κύνας.
290 ΚΟΠ. Σωϊτερίψι.
291 ΜΕ. Καπὶ μίλος. ΩΠ. Παρασκευάσατο.
292 ΑΠ. Διὰ τοῦτο, ὅθ' ἐκ λειψάνα πιὸς μίνυντος ἐπίγνω τῶν ἑταίρων αὐτῷ ὁ Ὀδυσσεύς.
293 ΜΥ. Μυελῷ πλήρη.
294 ΑΝ. Ἀνετείναμεν.
295 ΑΜ. Ἀπορία.
296 ΕΜ. Ἐπλήρωσεν, ὠκόρεσεν. ΝΗ. Τῷ γαστρὶ.
297 ΑΝ. Ἀνθρώπεια. ΕΔ. Ἐδίαν.
298 ΤΑ. Ἐκβαθεὶς. Ἐμφανῶς ἢ ἐδήλωσε τὸ μέγεθος.
299 ΒΟΥ. Ἐσκλασμένῳ.
301 ΟΥ. Τρόπῳ. ΟΘ. Ὅπως αἱ φρένες τὸ ἧπαρ σωΐχωσιν.
302 ΕΠ. Ἐφαψάμενος. ΕΤ. Ἄλλος. ΘΥ. Νῷ, λογισμῷ.
303 ΑΜ. Ἡμᾶς.

" οὐ γάρ κεν δυνάμεσθα θυράων ὑψηλάων
" Χερσὶν ἀπώσασθαι λίθον ὄβριμον, ὃν ῥα πρόσθηκεν.
" Ὣς τότε μὲν στενάχοντες ἐμείναμεν ἠῶ δῖαν.
" Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠώς,
" Καὶ τότε πῦρ ἀνέκαιε, καὶ ἤμελγε κλυτὰ μῆλα
" Πάντα κατὰ μοῖραν, καὶ ὑπ' ἔμβρυον ἦκεν ἑκάστῃ.
" Αὐτὰρ ἐπειδὴ πάντα πονησάμενος τὰ ἃ ἔργα,
" Σὺν δ' ὄγε δὴ αὖτε δύω μάρψας ὡπλίσατο δεῖπνον.
" Δειπνήσας δ' ἄντρῳ ἐξήλασε πίονα μῆλα,
" Ῥηϊδίως ἀφελὼν θυρεὸν μέγαν· αὐτὰρ ἔπειτα
" Ἄψ ἐπέθηκ', ὡς εἴτε φαρέτρῃ ὤμ' ἐπιθείη.
" Πολλῇ δὲ ῥίζῳ πρὸς ὄρος τρέπε πίονα μῆλα
" Κύκλωψ· αὐτὰρ ἐγὼ λιπέμιλω κακὰ βυσσοδομεύων,
" Εἴπως τισαίμην, δώῃ δέ μοι εὖχος Ἀθήνη.
" Ἥδε δέ μοι κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή·
" Κύκλωπος γὰρ ἔκειτο μέγα ῥόπαλον παρὰ σηκῷ,
" Χλωρὸν, ἐλαΐνεον· τὸ μὲν ἔκταμεν, ὄφρα φορείη
" Αὐανθέν· τὸ μὲν ἄμμες ἐΐσκομεν εἰσορόωντες,
" Ὅσσον θ' ἰστὸν νηὸς εἰκοσόροιο μελαίνης,
" Φορτίδος, εὐρείης, ἥτ' ἐκπεράα μέγα λαῖτμα·
" Τόσσον ἔλω μῆκος, τόσσον πάχος εἰσορόωσι·
" Τῷ μὲν ὅσον τ' ὄργυιαν ἐγὼν ἀπέκοψα ποδαιτὰς,
" Καὶ παρέθηκ' ἑτάροισιν, ἀποξῦναι δ' ἐκέλευσα.

313 ΘΥ. Λίθον.
315 ΡΟΙ. Ἀσήμῳ φωνῇ, συελσμῷ.
317 ΤΙ. Τιμωρησαίμην.
319 ΡΟ. Ξύλον. ΣΗ. Τῇ μάνδρᾳ.
320 ΧΛΩ. Νεωτὶ σκηπτέν. ΕΚ. Ἐξίκνψιν. ΦΟ. Φέροι, βαστάζοι.
321 ΑΥ. Ξηραυθέν. ΕΙ. Ἀπεικάζομέν.
323 ΦΟΡ. Φορτηγῷ.
325 ΟΡ. Ἐκτιβαμένων τ' χειρῶν τὸ ἀβάστημα, ὄργυια ἐστ.

" Οἱ

" Οἱ δ' ὁμαλὸν ποίησαν· ἐγὼ δ' ἐθέλουσι φυλάσσειν
" Ἄκρον, ἄφαρ δὴ λαοῖν ἐπράκτεον ἐν πυρὶ κηλέῳ·
" Καὶ τὸ μὲν εὖ κατέθηκα καπακρύψας ὑπὸ κόπρῳ,
" Ἦ ῥα κατὰ πρέσσας κέχυτο μεγάλ' ἤλιθα πολλή. 330
" Αὐτὰρ τὰς ἄλλας κληρῳ πεπαλάχθαι ἄνωγον,
" Ὅστις τολμήσειεν ἐμοὶ σὺν μοχλὸν ἀείρας,
" Τρίψαι ἐν ὀφθαλμῷ, ὅτε τ' γλυκὺς ὕπνος ἱκάνοι.
" Οἱ δ' ἔλαχον, τὰς ἄν κε κ' ἤθελον αὐτὸς ἑλέσθαι,
" Τέσσαρες, αὐτὰρ ἐγὼ πέμπτος μετὰ τοῖσιν ἐλέγμην. 335
" Ἐσπέριος δ' ἦλθεν καλλίτριχα μῆλα νομεύων·
" Αὐτίκα δ' εἰς εὐρὺ πρέσς ἤλασε πίονα μῆλα
" Πάντα μάλ'· οὐδέ τι λεῖπε βαθείης ἔκτοθεν αὐλῆς,
" Ἤ τι οἰοτάμνος, ἢ Ζεὺς θεὸς ὡς ἐκέλευεν.
" Αὐτὰρ ἔπειθ' ἑπέθηκε θυρεὸν μέγαν ὑψόσ' ἀείρας, 340
" Ἑζόμενος δ' ἤμελγεν ὄις κ' μηκάδας αἶγας,
" Πάντα κατὰ μοῖραν, κ' ὑπ' ἔμβρυον ἦκεν ἑκάστῃ.
" Αὐτὰρ ἐπειδὴ πρῆυσε πονησάμενος τὰ ἃ ἔργα,
" Σὺν δ' ὄγε δ' αὖτε δύω μάρψας ὠπλίσατο δόρπον·
" Καὶ τότ' ἐγὼ Κύκλωπα προσηύδων ἄγχι παραστάς, 345
" Κισσύβιον μὲν χερσὶν ἔχων μέλανος οἴνοιο·
" Κύκλωψ, τῆ, πίε οἶνον, ἐπεὶ φάγες ἀνδρόμεα κρέα

327 ΕΘ. Ἀπόξωσα· ἐκ τοῦ σιωνύμια τὸ ὁμώνυμον. Ὁ τρόπος μετάληψις.
328 ΕΠ. Ἐπύρην εἰς τὸ δαλὸν ποιῆσαι. ΚΗ. Καυσικῶ.
330 ΗΛ. Χύδην, παρὰ τὸ ἅλις· ἢ ἀθρόως, δαψιλῶς.
331 ΠΕ. Κληρωθῆναι.
335 ΕΛ. Ἠριθμήμην.
336 ΕΣ. Δειλινός. ΝΟ. Βόσκων.
339 ΟΙΣ. Ὑπολκοῶν.
346 ΚΙΣ. Ἤτοι πομφικὸν ποτήριον, ἐκ κισσίνης ξύλης κατεσκευασμένον· ἢ ὄνομα κύριον ποτηρίου· ἢ ἔχων κισσὸν ἐξωθεν.
347 ΤΗ. Λάβοις, δίξαι.

" Ὄφρ' εἰδῇς, οἷόν τι ποτὸν τόδε νηῦς ἐκεκάδῃ
" Ἡμετέρῃ· σὺ δ' αὖ λοιδὴν φέρον, εἴ μ' ἐλέησας
" Οἴκαδε πέμψειας· σὺ δὲ μαίνεαι οὐκ ἔτ' ἀνεκτῶς.
" Σχέτλιε, πῶς κέν τις σε καὶ ὕστερον ἄλλος ἵκοιτο
" Ἀνθρώπων πολέων, ἐπεὶ οὐ κατὰ μοῖραν ἔρεξας;
" Ὡς ἐφάμην· ὁ δ' ἔδεκτο κῆ ἔκπεν· ἥσατο δ' αἰνῶς
" Ἡδὺ ποτὸν πίνων· καί μ' ἤτεε δεύτερον αὖτις·
" Δός μοι ἔτι πρόφρων, καί μοι τέον ὄνομα εἰπὲ
" Αὐτίκα νῦν, ἵνα τοι δῶ ξείνιον, ᾧ κε σὺ χαίροις.
" Καὶ γὰρ Κυκλώπεσσι φέρει ζείδωρος ἄρουρα
" Οἶνον ἐριστάφυλον, καί σφιν Διὸς ὄμβρος ἀέξει.
" Ἀλλὰ τόδ' ἀμβροσίης καὶ νέκταρός ἐστιν ἀπορρώξ.
" Ὡς ἔφαθ'· αὐτάρ οἱ αὖλις ἐγὼ πόρον αἴθοπα οἶνον·
" Τρὶς μὲν ἔδωκα φέρων, τρὶς δ' ἔκπιεν ἀφραδίῃσιν.
" Αὐτὰρ ἐπεὶ Κύκλωπα περὶ φρένας ἦλυθεν οἶνος,
" Καὶ τότε δή μιν ἔπειτα προσηύδων μειλιχίοισι·
" Κύκλωψ, εἰρωτᾷς μ' ὄνομα κλυτόν; αὐτὰρ ἐγώ τοι
" Ἐξερέω· σὺ δέ μοι δὸς ξείνιον, ὥς περ ὑπέστης·
" Οὖτις ἐμοὶ γ' ὄνομ' ἔστ'· Οὖτιν δέ με κικλήσκουσι
" Μήτηρ, ἠδὲ πατὴρ, ἠδ' ἄλλοι πάντες ἑταῖροι.
" Ὡς ἐφάμην· ὁ δέ μ' αὖτις ἀμείλιχον ἦλεε θυμῷ·
" Οὖτιν ἐγὼ τοῦτον ἔδομαι μετ' οἷς ἑτάροισι,
" Τοὺς δ' ἄλλους πρόσθεν· τόδε τοι ξεινήιον ἔσται.

348 ΕΚ. Ἔκπιεν.
349 ΛΟΙ. Σπενδὴν.
350 ΑΝ. Οὐκ ἀναχετῶς, οὐχ ὑπομνητικῶς.
351 ΣΧΕΤ. Ἄδικε. ΙΚ. Ἱκοιτο.
352 ΕΡ. Ἔρεξας.
353 ΗΣ. Ἥδη, ἐτέρφθη, ἐχάρη, εὐφράνθη.
358 ΕΡ. Μεγαλοστάφυλον.
359 ΑΠ. Ἀπόρροια, ἀπάτασμα.
361 ΑΦ. Ἀνοίαις.
369 ΕΔ. Βρώσιμον.

" Ἦ, καὶ

" Ἦ, καὶ ἀναπλινθεὶς πέσεν ὕπτιος· αὐτὰρ ἔπειτα
" Κεῖτ' ἀποδοχμώσας παχὺν αὐχένα· καὶ δέ μιν ὕπνος
" Ἥρει πανδαμάτωρ· φάρυγος δ' ἐξέαυτο οἶνος,
" Ψωμοί τ' ἀνδρόμεοι· ὁ δ' ἐρεύγετο οἰνοβαρείων.
" Καὶ τότ' ἐγὼ τ' μοχλὸν ὑπὸ ασοδῦ ἤλασα πολλῆς, 375
" Εἴως θερμαίνοιτο· ἔπεσί τε πάντας ἑταίρους
" Θάρσυνον, μήτις μοι ὑποδδείσας ἀναδύῃ.
" Ἀλλ' ὅτε δὴ τάχ' ὁ μοχλὸς ἐλαίνος ἐν πυρὶ μέλλεν
" Ἀψαῦξ, χλωρός περ ἐών, διεφαίνετο δ' αἰνῶς,
" Καὶ τότ' ἐγὼν ἆσσον φέρον ἐκ πυρός, ἀμφὶ δ' ἑταῖροι 380
" Ἵσταντ'· αὐτὰρ θάρσος ἐνέπνευσεν μέγα δαίμων.
" Οἱ μὲν, μοχλὸν ἑλόντες ἐλαίνεον ὀξὺν ἐπ' ἄκρῳ,
" Ὀφθαλμῷ ἐνέρεισαν· ἐγὼ δ' ἐφύπερθεν ἀερθεὶς
" Δίνεον· ὡς δ' ὅτε τις τερύπῳ δόρυ νήϊον ἀνὴρ
" Τρυπάνῳ, οἱ δέ τ' ἔνερθεν ὑποστάσιν ἱμάντι 385
" Ἀψάμενοι ἑκάτερθε, τὸ δὲ τρέχῃ ἐμμενὲς αἰέν·
" Ὣς δ' ἐν ὀφθαλμῷ πυρήκεα μοχλὸν ἑλόντες
" Δινέομεν, τ' δ' αἷμα περίῤῥεε θερμὸν ἐόντα.
" Πάντα δέ οἱ βλέφαρ' ἀμφὶ καὶ ὀφρύας εὖσεν ἀϋτμὴ,

372 ΑΠ. Πλακώσας· δυσμὸς γὰρ, τὸ πλάγιον.
373 ΗΡ. Καπλάμοσιν. ΠΑΝ. Ἐπιῤῥιπῶς, ὁ ὕπνος ὁ πάντας δαμάζων καὶ θεὺς καὶ ἀνθρώπους. ΦΑ. Σωτικῶς δὲ σώματος. ΕΞ. Ἐξῄει.
374 ΨΩ. Σάρκες, μίλη. ΟΙ. Βιοκερμίσθ τῷ οἴνῳ.
375 ΗΛ. Ὑπόσκλον.
376 ΕΙ. Ὅπως, ἵνα.
377 ΘΑΡ. Διήμερον. ΑΝ. Παραστήσῃ.
379 ΑΨ. Ἀφθήσεσθαι. ΔΙ. Διαφανὴς ἦν, ὅπ ἐπικύρωτο.
381 ΕΝ. Ἐνέσκλιν.
383 ΕΝ. Ἐπόαρησαν, ἐνέπηξαν.
384 ΔΙ. Ἔφριφον. ΔΟ. Ναυπηγήσιμον ξύλον.
385 ΥΠ. Τὸ πλῆρες, τρύπανον.
386 ΑΨ. Ἄψαντες, δήσαντες.
387 ΠΥ. Πεπυρωμένον.
388 ΔΙ. Ἐρίφομεν.
389 ΕΥ. Ἐφλόγισεν.

" Γλήνης

" Γλήνης καιομένης· σφαραγεῦντο δέ οἱ πυρὶ ῥίζαι.
" Ὡς δ' ὅτ' ἀνὴρ χαλκεὺς πέλεκυν μέγαν, ἠὲ σκέπαρνον,
" Εἰν ὕδατι ψυχρῷ βάπτῃ μεγάλα ἰάχοντα,
" Φαρμάσσων· (τὸ γὰρ αὖτε σιδήρου τε κράτος ἐστίν·)
" Ὡς ὅ γε σίζ' ὀφθαλμὸς ἐλαϊνέῳ περὶ μοχλῷ.
" Σμερδαλέον δ' μέγ' ὤμωξεν· περὶ δ' ἴαχε πέτρη.
" Ἡμεῖς δ' δείσαντες ἀπεσύμεθ'· αὐτὰρ ὁ μοχλὸν
" Ἐξέρυσ' ὀφθαλμοῖο πεφυρμένον αἵματι πολλῷ·
" Τὸν μὲν ἔπειτ' ἔρριψεν ἀπὸ ἕο χερσὶν ἀλύων.
" Αὐτὰρ ὁ Κύκλωπας μεγάλ' ἤπυεν, οἵ ῥά μιν ἀμφὶς
" Ὤκεον ἐν σπήεσι δι' ἄκρεας ἠνεμοέσσας·
" Οἱ δὲ, βοῆς ἀΐοντες ἐφοίτων ἄλλοθεν ἄλλῃ·
" Ἱστάμενοι δ' ἔροντο περὶ σπέος, ὅττι ἑ κήδοι,
" Τίπτε τόσον, Πολύφημ', ἀρημένος ὧδ' ἐβόησας,
" Νύκτα δι' ἀμβροσίην, καὶ ἀΰπνους ἄμμε τίθησθα;
" Ἦ μή τις σεῦ μῆλα βροτῶν ἀέκοντος ἐλαύνῃ;
" Ἦ μή τις σ' αὐτὸν κτείνῃ δόλῳ, ἠὲ βίηφι;
" Τὸς δ' αὖτ' ἐξ ἄντρου προσέφη κρατερὸς Πολύφημος·
" Ὦ φίλοι, Οὖτίς με κτείνῃ δόλῳ, οὐδὲ βίηφιν.

390 ΓΛΗ. Κόρης. ΣΦΑ. Διεπέπονθο, διετετίνοντο, ἢ κατεπονοῦντο, ἢ ἐσπαράσσοντο.

392 ΙΑ. Ἠχοῦντα.

393 ΦΑΡ. Σπερσοπειῶν, σημῶν, σεμνοπειῶν. ΣΙ. Τὸ βάψαι ψυχρῷ τ πεπυρωμένον σίδηρον. Ἰσχυρὸν γὰρ αὐτὸν ποιεῖ.

394 ΣΙ. Καὶ τοῦτο ἀνομαλοπαθῶς, ἀπὸ τοῦ μὴ τὸ λοιπὸς γινομένης σεσωσμένος, ὁ ἐστι, σωτηρίας.

397 ΕΞ. Ἐξέλκυσεν. ΠΕ. Ἠμαγμένον.

398 ΑΛ. Ἀδημονῶν, δυσφορῶν.

399 ΗΠ. Ἑστῶσι, σκαλῇ. ΩΚ. Περιεῖχεν.

400 ΑΚ. Τὰς μεταξὺ τ ἀκρωτηρίων τόπους, ἢ τὰς τ ὀρῶν ἀκρωρείας. ΗΝ. Ὑψηλὰς, ὑπὸ ἀνέμων κρυσταινομένας.

401 ΕΦ. Περιήεσαν.

402 ΕΙ. Ἠρώτων. Ο. Ὅπερ αὐτός. ΚΗ. Λυποῖ, βλάπτοι.

403 ΑΡ. Βεβλαμμένος.

404 ΤΙ. Διατίθεσθαι ποιεῖς.

405 ΕΛ. Ἀπελαύνῃ.

" Οἱ

" Οἱ δ' ἀπαμειβόμενοι ἔπτα πλερόεντ' ἀγόρευον·
" Εἰ μὲν δὴ μήτις σε βιάζεται, οἷον ἐόντα,
" Νῶϊν γ' ἄπως ἐστὶ Διὸς μεγάλα ἀλέασθαι·
" Ἀλλὰ σύ γ' εὔχεο πατρὶ Ποσειδάωνι ἄνακτι.
" Ὡς ἄρ' ἔφαν ἀπιόντες· ἐμὸν δ' ἐγέλασσε φίλον κῆρ,
" Ὡς ὄνομ' ἐξαπάτησεν ἐμὸν καὶ μῆτις ἀμύμων.
" Κύκλωψ δὲ στενάχων τε, καὶ ὠδίνων ὀδύνῃσι,
" Χερσὶ ψηλαφόων, ἀπὸ μὲν λίθον εἷλε θυράων·
" Αὐτὸς δ' εἰνὶ θύρῃσι καθέζετο, χεῖρε πεπάσας,
" Εἴτινά πω μετ' ὄεσσι λάβοι στείχοντα θύραζε·
" Οὕτω γάρ πω μ' ἤλπετ' ἐνὶ φρεσὶ νήπιον εἶναι.
" Αὐτὰρ ἐγὼ βάλλουν, ὅππως ὄχ' ἄριστα γένοιτο,
" Εἴτιν' ἑταίροισιν θανάτῳ λύσιν, ἠδ' ἐμοὶ αὐτῷ
" Εὑροίμην· πάντας δὲ δόλῳ καὶ μῆτιν ὕφαινον,
" Ὡσεί τε ψυχῆς· μέγα γὰρ κακὸν ἐγγύθεν ἦεν.
" Ἥδε δέ μοι κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή.
" Ἄρσενες ὄιες ἦσαν ἐϋτρεφέες, δασύμαλλοι,
" Καλοί τε, μεγάλοι τε, ἰοδνεφὲς εἶρος ἔχοντες·
" Τὼς ἀκέων συνέεργον ἐϋστρεφέεσσι λύγοισι,
" Τῇς ἔπι Κύκλωψ εὗδε, πέλωρ, ἀθεμίστια εἰδώς,
" Σύντρεις αἰνύμμος· ὁ μὲν ἐν μέσῳ ἄνδρα φέρεσκεν,
" Τὼ δ' ἑτέρω ἑκάτερθεν ἴτην, σώοντες ἑταίρους.
" Τρεῖς δὲ ἕκαστον φῶτ' ὄιες φέρον· αὐτὰρ ἔγωγε,

418 ΣΤΕΙ. Περιόμβμον. ΘΥ. Ἔξω.
420 ΒΟΥ. Ἐβουλόμην.
426 ΙΟΔ. Μίλαν. ΕΙ. Ἔριον.
427 ΣΥΝ. Συνίδεον. ΛΥ. Ἰμασὶν ἐλὶπ φυτοῖς.
428 ΤΗΣ. Ἐφ' αἷς.
429 ΑΙ. Λαμπόωντ. ΦΕ. Ἔφερεν, ἐβάστασεν.
430 ΙΤ. Ἐπορεύοντο.
431 ΦΕ. Ἐβάστζον.

" Ἀρνειὸς

" (Ἀρνειὸς γὰρ ἔην, μήλων ὄχ' ἄριστος ἁπάντων,)
" Τὸν κατὰ νῶτα λαβὼν, λασίην ὑπὸ γαστέρ' ἑλυθεὶς
" Κείμην· αὐτὰρ χερσὶν ἀώτῳ θεσπεσίοιο
" Νωλεμέως στρεφθεὶς ἐχόμην πεπλημένῳ θυμῷ·
" Ὣς τότε μὲν στενάχοντες ἐμείναμεν ἠῶ δῖαν.
" Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠώς,
" Καὶ τότ' ἔπειτα νομόν δ' ἐξέσυτο ἄρσενα μῆλα·
" Θήλειαι δ' ἐμέμηκον ἀνήμελκτοι περὶ σηκούς,
" Οὔθαλα γὰρ σφαραγεῦντο· ἄναξ δ' ὀδύνῃσι κακῇσι
" Τειρόμενος, πάντων οἵων ἐπεμαίετο νῶτα
" Ὀρθῶν ἑστώτων· τὸ δὲ νήπιος οὐκ ἐνόησεν,
" Ὡς οἱ ὑπ' εἰροπόκων οἰῶν στέρνοισι δέδεντο.
" Ὕστατος ἀρνειὸς μήλων ἔσεισε θύραζε,
" Λαχμῷ στεινόμενος, καὶ ἐμοὶ πυκινὰ φρονέοντι.
" Τὸν δ' ἁπτομασάμενος προσέφη κρατερὸς Πολύφημος·
" Κριὲ τέφνον, τί μοι ὧδε διὰ σπέος ἔσσυο μήλων
" Ὕστατος; ἤτι πάρος γε λελειμμένος ἔρχεαι οἰῶν,
" Ἀλλὰ πολὺ πρῶτος νέμεαι τέρεν ἄνθεα ποίης,
" Μακρὰ βιβάς· πρῶτος δὲ ῥοὰς ποταμῶν ἀφικάνεις·
" Πρῶτος δὲ σταθμόνδε λιλαίεαι ἑσπερέασθαι

432 ΑΡ. Κριός.

433 ΛΑ. Δασεῖαν. ΕΛ. Συστραφὰς, ἑλυσθείς.

434 ΑΩ. Τῷ ἄνθρ. Λίχνῃ ἢ ᾧ ἐρίῳ. ΘΕΣ. Λαμπρῷ, ἢ πολλῷ.

435 ΣΤΡΕΦ. Περιστραφθεὶς, διεστρέψας τὰς χεῖρας. ΕΧ. Ἀντεχόμενος, κατεῖχον.

439 ΕΜ. Ἀντὶ ᾧ, ἐδεληχῶντο.

440 ΟΥ. Οἱ μαστοί. ΣΦΑ. Ἐπιπλήρωντο.

441 ΤΕΙ. Καπαπονέμφ. ΕΠ. Ἐφάπλιτο, ἐπιλαμβάνετο.

443 ΕΙ. Ἐρίοις κεκμώντων.

444 ΥΣΤ. Ἔσχατος, πλουσιώτ. ΕΣ. Ἐπερινίτο.

445 ΛΑΧ. Τῇ διανοίᾳ τῶν μαλλῶν. Γραφεῖ καὶ λάχνῃ παρωνύμως τῇ λάχνῃ. ΣΤΕΙ. Βαρυνόμενος. ΕΜ. Ἀντὶ ᾧ, καὶ ὑπ' ἐμοί. ΠΥ. Σκυτικὰ, φρονίμως.

446 ΕΠ. Ἐφαψάμενος.

447 ΕΣ. Ὁρμητικὸς, ἐξάλλης.

449 ΝΕ. Βόσκεις, ἐσθίεις. ΠΟΙ. Πόας.

" Ἑσπέριος

" Ἐσπέριος· νῦν αὖτε πανύστατος· ἦ σύγ' ἄνακτος
" Ὀφθαλμὸν πεπάθοις; τὸ ἀνὴρ κακὸς ἐξαλάωστε,
" Σὺν λυγροῖς ἑτάροισι, δαμασσάμενος φρένας οἴνῳ,
" Οὔτις, ὃν ἔπφω φημὶ πεφυγμένον εἶναι ὄλεθρον.
" Εἰ δὴ ὁμοφρονέοις, πολιφωνήεις τε γένοιο,
" Εἰπεῖν, ὅππη κεῖνος ἐμὸν μένος ἠλασκάζῃ·
" Τῷ κέ οἱ ἐγκέφαλός γε διὰ σπέος ἄλλυδις ἄλλῃ
" Θεινομένῳ ῥαίοιτο πρὸς ἔδεϊ· κἀδ δὲ ἐμὸν κῆρ
" Λωφήσειε κακῶν, τά μοι ἀτιδανὸς πόρεν Οὔτις.
" Ὣς εἰπὼν, τὸ κριὸν ὀπὸ ἕο πέμπε θύραζε.
" Ἐλθόντες δ' ἠμαὶον ὀπὸ σπείους τε, καὶ αὐλῆς,
" Πρῶτος ὑπ' ὀρνειῷ λυόμην, ὑπέλυσα δ' ἑταίρους.
" Καρπαλίμως δὲ τὰ μῆλα ταναύποδα, πίονα δημῷ,
" Πολλὰ πεϊτροπέοντες ἐλαύνομεν, ὄφρ' ἵκομεν νῆα
" Ἱκόμεθ'· ἀσπάσιοι δὲ φίλοις ἑτάροισι φάνημεν,
" Οἳ φύγομεν θάνατον· τὸς δὲ στενάχοντο γοῶντες.
" Ἀλλ' ἐγὼ οὐκ ἐίων, ἀνὰ δ' ὀφρύσι νεῦον ἑκάστῳ,
" Κλαίειν· ἀλλ' ἐκέλευσα θοῶς καλλίτριχα μῆλα
" Πολλ' ἐν νηὶ βαλόντας ἁλὸς πλεῖν ἀλμυρὸν ὕδωρ.
" Οἱ δ' αἶψ' εἰσέβαινον, καὶ ἐπὶ κληῖσι κάθιζον.

453 ΕΞ. Ἐτύφλωσεν.
454 ΛΥ. Χαλεποὶς. ΔΑ. Δαμάσσας, ἀντὶ τοῦ ἀλλοιώσας.
456 ΟΜ. Τὰ αὐτά μοι βάλοιο. ΠΟ. Ὁμοφωνοῦ, λαλῆσαι δυνάμενον.
457 ΗΛ. Ἐκκλίνῃ, ἀφιφεύγῃ.
458 ΤΩ. Δι' ὃ ἄν.
459 ΘΕΙ. Τυπλομένῳ. ΡΑΙ. Διαφθάροιτο.
460 ΛΩ. Παύσεται, ἢ λήξει.
462 ΗΒ. Ὀλίγοι.
464 ΤΑ. Τετραμένους τοῖς περὶ βραδίζειν, ἢ ἰσχνόποδας, ἢ πλατυπόδας. Τανακὸν γὰρ, τὸ ἐπίμηκες. ἢ τανυστίον νεύοντας τοῖς πόδας διὰ τὸ ἰλυγμὸν τῆς πορείας, οὐκ εἰλύοντας, ὡς οἱ βόες.
465 ΠΕ. Περιτρέποντες, συγκλίνοντες.
466 ΑΣ. Ἐπιθυμητοί.
467 ΣΤΕ. Ἐστενάχοντο. ΓΟ. Θρηνοῦντες.

" Ἐξῆς δ' ἑζόμενοι πολιὴν ἅλα τύπτον ἐρετμοῖς.
" Ἀλλ' ὅτε τόσσον ἀπῆν, ὅσσον τε γέγωνε βοήσας,
" Καὶ τότ' ἐγὼ Κύκλωπι προσηύδων κερτομίοισι·
" Κύκλωψ, οὐκ ἄρ' ἔμελλες ἀνάλκιδος ἀνδρὸς ἑταίρους
" Ἐδμεναι ἐν σπῆϊ γλαφυρῷ κρατερῇφι βίηφι.
" Καὶ λίην σέ γε μέλλε κιχήσεσθαι κακὰ ἔργα,
" Σχέτλι· ἐπεὶ ξείνους οὐχ ἅζεο σῷ ἐνὶ οἴκῳ
" Ἐσθέμεναι· τῷ σε Ζεὺς τίσατο καὶ θεοὶ ἄλλοι.
" Ὡς ἐφάμην· ὁ δ' ἔπειτα χολώσατο κηρόθι μᾶλλον·
" Ἦκε δ' ἀποῤῥήξας κορυφὴν ὄρεος μεγάλοιο·
" Καὶ δ' ἔβαλε προπάροιθε νεὸς κυανοπρῴροιο,
" Τυτθὸν ἐδεύησεν δ' οἰήϊον ἄκρον ἱκέσθαι·
" Ἐκλύσθη δὲ θάλασσα κατερχομένης ὑπὸ πέτρης·
" Τὴν δ' αὖψ' ἠπειρόνδε παλιῤῥόθιον φέρε κῦμα,
" Πλημμυρὶς ἐκ πόντοιο, θέμωσε δὲ χέρσον ἱκέσθαι.
" Αὐτὰρ ἐγὼ χείρεσσι λαβὼν πελεμήκεα κοντὸν
" Ὦσα παρέξ· ἑτάροισι δ' ἐπότρυνα, κέλευσα
" Ἐμβαλέειν κώπῃς, ἵν' ὑπ' ἐκ κακότητα φύγοιμεν,
" Κρατὶ καταινεύων· οἱ δὲ, προπεσόντες ἔρεσσον.
" Ἀλλ' ὅτε δὴ δὶς τόσσον ἅλα προήσοντες ἀπῆμεν,

476 ΚΡΑ. Τῇ ἰσχυρᾷ δυνάμει· τὸ πεῖθε.

478 ΑΖ. Ἐνετρέπετο.

479 ΤΙ. Ἐπεμορήσατο.

480 ΧΟ. Ὠργίσθη. ΚΗ. Ἐκ ψυχῆς.

482 ΚΥ. Μελανοπτόρε.

483 ΕΔΕΥ. Ἐδέησεν, ἐνέλιπεν. ΟΙ. Πηδάλιον, παρὰ τὸ οἰακίζειν, ὅ ἐστι κατευθύνειν.

485 ΗΠ. Εἰς τὸν γῆν. ΠΑ. Τὸ εἰς τὸ πίσω φερόμενον κῦμα. ΕΚ. Ἐκλυσθήσεται.

486 ΠΛΗΜ. Πλημμύρα, ἡ τῆς ἁλὸς ἐπανάστασις· ἢ κλύδωνος φορά, ἢ ἀνάχυσις. ΘΕ. Ἐγγίσαι ἐποίησε τῇ γῇ. ΧΕΡ. Γῆν.

488 ΩΣ. Ἀπέστα εἰς τὸ ὀπίσω.

490 ΠΡΟ. Σφοδρῶς ἐπιπίπτοντες καὶ ἐγκείμενοι. ΕΡ. Ἐκωπηλάτουν.

491 ΔΙΣ. Πῶς ἂν ἀκμή; ὡσεὶ ἔρικε γὰρ, Ἀλλ' ὅτε τόσσον ἀπῆν, ὅσσον τε γέγωνε βοήσας· ἤτοι μεγαλόφωνος ὁ Ὀδυσσεύς. ἢ δὶς ἐπὶ τὸ αὐτὸ μέρος ἀπίχομεν πάλιν· ἦτοι γὰρ ἡ ναῦς ἠνέχθη. ΠΡΗΣ. Διακριβοῦντες. ΑΠ. Ἀφικνεῖμεν.

" Καὶ

" Καὶ τότ' ἐγὼ Κύκλωπα προσηύδων· ἀμφὶ δ' ἑταῖροι
" Μειλιχίοις ἐπέεσσιν ἐρήτυον ἄλλοθεν ἄλλος·
" Σχέτλιε, τίπτ' ἐθέλεις ἐρεθιζέμεν ἄγριον ἄνδρα;
" Ὃς καὶ νῦν τόνδε βαλὼν βέλος, ἤγαγε νῆα
" Αὖτις ἐς ἤπειρον, καὶ δὴ φάμεν αὐτόθ' ὀλέσθαι.
" Εἰ δ' ἤ φθεγξάμενός τιν, ἢ αὐδήσαντος ἄκουσε,
" Σύν κεν ἄραξ' ἡμέων κεφαλὰς, καὶ νήια δέρρα,
" Μαρμάρῳ ὀκρυόεντι βαλών· τόσσον γὰρ ἵησιν.
" Ὣς φάσαν· ἀλλ' ὁ πρέσθον ἐμὸν μεγαλήτορα θυμὸν,
" Ἀλλά μιν ἄψορρον προσέφην κεκοτηότι θυμῷ·
" Κύκλωψ, αἴκεν τις σε κατὰ θνητῶν ἀνθρώπων
" Ὀφθαλμῶ εἴρηται ἀεικελίην ἀλαωτύν,
" Φάσθαι, Ὀδυσῆα πτολιπόρθιον ἐξαλαῶσαι,
" Υἱὸν Λαέρτεω, Ἰθάκην ἔνι οἰκί' ἔχοντα.
" Ὣς ἐφάμην· ὁ δέ μ' οἰμώξας ἠμείβετο μύθῳ·
" Ὤ πέπι, ἦ μάλα δή με παλαίφατα θέσφαθ' ἱκάνει.
" Ἦεσκε τις ἐνθάδε μάντις ἀνὴρ ἠΰς τε μέγας τε,
" Τήλεμος Εὐρυμίδης, ὃς μαντοσύνῃ ἐκέκαστο,
" Καὶ μαντευόμενος κατεγήρα Κυκλώπεσσιν·
" Ὃς μοι ἔφη τάδε πάντα τελευτήσεσθ' ὀπίσσω,
" Χειρῶν ἐξ Ὀδυσῆος ἀμαρτήσεσθ' ὀπωπῆς.

495 ΒΕ. Βλῆμα· νωῖ γὰρ τ' βλήτην λίθον λίχ'.
498 ΑΡ. Σωίτιψιν. ΝΗ. Τὰς νῆς.
499 ΙΗ. Ἀκοντίζ'. ΟΚ. Τρηχῆ.
501 ΑΨ. Πάλιν. ΚΕ. Ὠρκισμένα.
503 ΕΙ. Ἐρωτήσῃ. ΑΕΙ. Δειλὸ.
ΑΛ. Τύφλωσιν, στέρησιν ὀφθαλμῶν.
504 ΦΑ. Λίξειν, ἀντὶ τ' λίχε. Ε͞ᾶ. Ἀντὶ τ', σκοτφλῶσαι. Κεῖται ἀπαρέμφατον, ἀντὶ τ' προστακτικῆς.
507 ΠΑ. Πάλαι πεφλασμένα, ἤτοι ἠρημένα. ΘΕΣ. Μαντεύματα.
509 ΕΥ. Εὐρύμα παῖς, Τήλεμε.
511 ΟΣ. Οὗτος.
512 ΑΜ. Ἀποτυχεῖν, στερηθῆναι. ΟΠ. Ὄψιος.

" Ἀλλ' αἰεί τινα φῶτα μέγαν τε καλὸν ἐδέγμην
" Ἐνθάδ' ἐλεύσεσθαι, μεγάλην ὀπιειμένον ἀλκήν·
" Νῦν δέ μ', ἐὼν ὀλίγος τε, τε ὀτιδανὸς, τε ἄκικυς,
" Ὀφθαλμῷ ἀλάωσεν, ἐπεί μ' ἐδαμάσσατο οἴνῳ.
" Ἀλλ' ἄγε δεῦρ' Ὀδυσεῦ, ἵνα τοι πὰρ ξείνια θείω,
" Πομπήν τ' ὀτρύνω δόμεναι κλυτὸν Ἐννοσίγαιον·
" Τοῦ γὰ ἐγὼ πάις εἰμὶ, πατὴρ δ' ἐμὸς εὔχετ' ἔναι·
" Αὐτὸς δ', αἴκ' * ἐθέλησ', ἰήσεται, ὐδέ τις ἄλλος,
" Οὔτε θεῶν μακάρων, ὔτε θνητῶν ἀνθρώπων.
" Ὣς ἔφατ'· αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
" Αἰ γὰ δὴ ψυχῆς τε καὶ αἰῶνός σε δυναίμην
" Εὖνιν ποιήσας πέμψαι δόμον Ἄϊδος εἴσω·
" Ὡς οὐκ ὀφθαλμόν γ' ἰήσεται ὐδ' Ἐνοσίχθων.
" Ὣς ἐφάμην· ὁ δ' ἔπειτα Ποσειδάωνι ἄνακτι
" Εὔχετο, χεῖρ' ὀρέγων εἰς ὐρανὸν ἀστερόεντα·
" Κλῦθι, Ποσείδαον, γαιήοχε, κυανοχαῖτα·
" Εἰ ἐτεόν γε σὸς εἰμὶ, πατὴρ δ' ἐμὸς εὔχεαι ἔναι,
" Δὸς μὴ Ὀδυσῆα πολιπόρθιον οἶκαδ' ἱκέσθαι,
" Τὸν Λαέρτεω, Ἰθάκῃ ἔνι οἰκί' ἔχοντα.
" Ἀλλ' εἴ οἱ μοῖρ' ἐστὶ φίλους τ' ἰδέειν, καὶ ἱκέσθαι
" Οἶκον εὐκτίμενον καὶ εἰὼ ἐς πατρίδα γαῖαν,
" Ὀψὲ κακῶς ἔλθοι, ὀλέσας ἀπὸ πάντας ἑταίρους,
" Νηὸς ἐπ' ἀλλοτρίης, εὕροι δ' ἐν οἴκῳ πήματα οἴκῳ.

513 ΕΔ. Ἐξιδιχόμην.
514 ΕΠ. Περιοἰδημένον.
515 ΑΚ. Ἀφνεὸς.
516 ΑΛ. Ἐτύφλωσεν.
518 ΟΤΡ. Παρασκευάσω, ὠφελήσω. ΑΙ. Βίᾳ, ζωῆς.
524 ΕΥ. Ἐτετριμένον.
525 ΟΦ. Διὰ τὼ τύφλωσιν, ἀλλ' ἀφ' ἁλὸς τὰς φωνὰς πεύτας, ὠργίσθη ὁ Ποσειδῶν. τούτων γὰ ὁ νῆς· οὐ γὰ ὁ Ποσειδῶν ἰάσατ' κακὸν ὄντα.
528 ΚΥ. Μιλανίθελξ.

* al. ἰθέλησιν.

" Ὣς

" Ὣς ἔφατ' εὐχόμενος· τοῦ δ' ἔκλυε Κυανοχαίτης.
" Αὐτὰρ ὅγ' ἐξαῦτις πολὺ μείζονα λᾶαν ἀείρας,
" Ἧκ' ὀπιδινήσας· ἐπέρεισε δὲ ἴν' ἀπέλεθρον.
" Καὶ δ' ἔβαλεν μετόπισθε νεὸς κυανοπρῴροιο,
" Τυτθὸν ἐδεύησεν δ' οἰήιον ἄκρον ἱκέσθαι·
" Ἐκλύσθη δ' ἅλαδε κατερχομένης ὑπὸ πέτρης·
" Τὴν δὲ μέσσῳ φέρε κῦμα, θέμωσε δὲ χέρσον ἱκέσθαι.
" Ἀλλ' ὅτε δὴ τὴν νῆσον ἀφικόμεθ', ἔνθα περ ἄλλαι
" Νῆες ἐυσταλμοι μένον ἀθρόαι, ἀμφὶ δ' ἑταῖροι
" Εἵατ' ὀδυρόμενοι, ἡμέας ποτιδέγμενοι αἰεί·
" Νῆα μὲν ἔνθ' ἐλθόντες ἐκέλσαμεν ἐν ψαμάθοισιν,
" Ἐκ δ' αὐτοὶ βῆμεν ἐπὶ ῥηγμῖνι θαλάσσης.
" Μῆλα δὲ Κύκλωπος, γλαφυρῆς ἐκ νηὸς ἑλόντες,
" Δασσάμεθ', ὡς μήτις μοι ἀτεμβόμενος κίοι ἴσης.
" Ἀρνειὸν δ' ἐμοὶ οἴῳ εὐκνήμιδες ἑταῖροι,
" Μήλων δαιομένων, δόσαν ἔξοχα· τὸν δ' ἐπὶ θοινὶ
" Ζηνὶ κελαινεφέι Κρονίδῃ, ὃς πᾶσιν ἀνάσσει,
" Ῥέξας, μηρί' ἔκηεν· ὁ δ' οὐκ ἐμπάζετο ἱρῶν,
" Ἀλλ' ἄρα μερμήριζεν, ὅπως ὀλοίατο πᾶσαι
" Νῆες ἐυσταλμοι, καὶ ἐμοὶ ἐρίηρες ἑταῖροι.
" Ὣς τότε μὲν πρόπαν ἦμαρ, ἐς ἠέλιον καταδύντα,
" Ἥμεθα δαινύμενοι κρέα τ' ἄσπετα, καὶ μέθυ ἡδύ.

538 ΕΠ. Περισρίψας. ΙΝ. Δύκαμον πολλήν.
540 ΕΔ. Ἐπὶ δ' αὖτις ἀῆτῖται· πῶς γὰρ ἂν ἔμπαλιν ἡ νηῦς ἰνίχθη;
542 ΠΡΟ. Εἰς τοὔμπαλιν, πάλιν.
544 ΑΘ. Ὁμῶ πᾶσιν.
545 ΕΙ. Ἐκπλήζοιλο. ΟΔ. Ἀπολλαιμένοι.
546 ΕΚ. Ὡρμήσαμεν, ἐνωλκήσαμεν.
551 ΔΑΙ. Μεριζομένων, ἀφαιρεμένων. ΕΞ. Ἔξοχον, ἐξαίρετον.
553 ΕΜ. Οὐ προσεποιεῖτο, οὐκ ἐπεμέλετο.
554 ΑΠ. Ἀπόλοιτο.
557 ΑΣ. Πολλή.

" Ἧμος

" Ἦμος δ' ἠέλιος κατέδυ, καὶ ἐπὶ κνέφας ἦλθε,
" Καὶ τότ' ἐκοιμήθημεν ἐπὶ ῥηγμῖνι θαλάσσης.
" Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠὼς,
" Δὴ τότ' ἐγὼν ἑτάροισιν ἐποτρύνων ἐκέλευσα,
" Αὐτούς τ' ἀμβαίνειν, ἀνά τε πρυμνήσια λῦσαι.
" Οἱ δ' αἶψ' εἰσβαινον καὶ ἐπὶ κληῖσι κάθιζον·
" Ἑζῆς δ' ἐζόμενοι πολιὴν ἅλα τύπτον ἐρετμοῖς.
" Ἔνθεν δὲ προτέρω πλέομεν, ἀκαχήμενοι ἦτορ,
" Ἀσμενοι ἐκ θανάτοιο, φίλους ὀλέσαντες ἑταίρους.

565 ΠΡΟ. Εἰς τοὔμπροσθεν. 566 ΑΣ. Χαίρουσις.

ΥΠΟΘΕΣΙΣ

ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΟΔΥΣΣΕΙΑΣ Κ

ΤΟΥ ΟΜΗΡΟΥ

ΡΑΨΩΔΙΑΣ.

ΤΑ περὶ τὸ Αἴολον ἀπαγγέλλει, τὸν τῶν ἀνέμων φύλακα, ὡς ἔδωκεν Ὀδυσσεῖ σῦριγα Ζέφυρον, τοὺς ἄλλους ἀνέμους ἐγκλείσας ἐν ἀσκῷ· ὃν οἱ ἑταῖροι λύσαντες, κοιμωμένου Ὀδυσσέως, ἅτε ἐν αὐτῷ χρυσὸν εἶναι νομίζοντες, ὑποτρέπουσι πρὸς Αἴολον· ὁ δὲ ἀποπέμπει αὖθις τὸν Ὀδυσσέα, σκῆπτρον λαβόντα, εἰς Λαιστρύγονας ἀφικνεῖται· περὶ οἷς ἔπεται τῶν νεῶν ἀπώλεσις, μιᾶς εἰς Αἰαίαν τὴν νῆσον παραγίνεται· κἀν τῷ Εὐρυλόχῳ τὰς ἡμίσειας τῶν ἑταίρων κλήρῳ λαχόντας σκέπτεται, τίνες οἱ κατοικοῦντες. μεταμορφωθέντων δὲ σκάπτων εἰς σύας ὑπὸ τῆς Κίρκης, πλὴν Εὐρυλόχου, αὐτὸς ἐπὶ ζήτησιν ἐλθὼν, λαβὼν παρὰ τοῦ Ἑρμοῦ φάρμακον, τὸ μῶλυ, ἀδλαβὴς βλάπτεται· ἀλλὰ κἀν τῷ ἑταίρων τὴν ἀρχαίαν φύσιν λαβόντων, ἑαυτὸν παραμείνας παρὰ τῇ Κίρκῃ, εἰς ᾅδου κατέρχεται.

Κάπη ἔχει Αἴολον, Λαιστρυγόνων, ἔργα τε Κίρκης.

" Αἰολίην δ' ἐς νῆσον ἀφικόμεθ'· ἔνθα δ' ἔναιεν
" Αἴολος Ἱπποτάδης, φίλος ἀθανάτοισι θεοῖσι
" Πλωτῇ ἐνὶ νήσῳ· πᾶσαν δέ τέ μιν περὶ τεῖχος
" Χάλκεον, ἄρρηκτον· λιστὴ δ' ἀναδέδρομε πέτρη.
" Τῷ καὶ δώδεκα παῖδες ἐνὶ μεγάροις γεγάασιν·
" Ἓξ μὲν θυγατέρες, ἓξ δ' ἡέες ἡδὼ ἔοντες.
" Ἔνθ' ὅγε θυγατέρας πόρεν ἠδὲ γαμβρούς.
" Οἱ δ' αἰεὶ παρὰ πατρὶ φίλῳ καὶ μητέρι κεδνῇ
" Δαίνυνθ'· παρὰ δέ σφιν ὀνείατα μυρία κεῖται.
" Κνισῇ μὲν δέ τε δῶμα περιξεναχίζεται αὐλῇ
" Ἤματα, νύκτας δ' αὖτε παρ' * εὐδοίῃς ἀλόχοισιν

1 ΑΙ. Οὐ τὰς Αἰόλου νήσους νῦν λεγομένας, ἀλλά τινα ἄλλην ὑπὸ τοῦτο τοῦνομα κειμένην νῆσον λέγει. οἱ δὲ λέγοντες περὶ Σικελίαν καὶ Ἰταλίαν πεπλανῆσθαι τὸν Ὀδυσσέα, Λιπαραίους μὲν, λέγουσι τοὺς νῦν Ἀκραγαντίνους· οἱ δὲ, τὰς Καμπανικὰς· Κύκλωπας δὲ, τὰς Λεοντίνους· τινὰς δὲ Αἰόλου νήσους, τὴν τε νῦν τὸ πρῶτον Στρογγύλην, καὶ τὰς λοιπὰς ἑξ, Διδύμην, Ἱέρην, Ἰκτισίαν, Λιπάρην, Ἐλικῶσαν, Φοινικῶσαν· τινὲς δὲ ἀλληγορικῶς, Αἴολον μέν, λέγουσι τὸν ἐνιαυτὸν· δώδεκα δὲ παῖδας, τοὺς μῆνας· τινὲς δὲ, ὅτι παρεῖληπται ἀστρολογίας ἔμπειρος ὢν, ἡλίου ὀντος ἐν Ταύρῳ, Ζέφυρον πνεῦσαι. οἱ δὲ ἄνεμοι πέντε εἰσὶ τοσοῦτοι, καθ' ἑαυτοὺς, ὡς καὶ πολλοί· καὶ γὰρ ἡμᾶς, δέκα βασιλικοὺς ὑποτασσόμενοι ὑποτάγματος· τινὲς δὲ παύτας τὰς νήσους ἐν τῇ Τυρρηνικῇ πελάγει κεῖσθαι λέγουσιν.

2 ΑΙ. Αἴολος δὲ δύο· ὅτος μὲν Ἱππότου, ὃς Μίμαντος· ἕτερος δὲ Ἕλληνος, ὃς Διὸς, ὡς καὶ Ἡσίοδος μέμνηται.

3 ΠΛΩ. Ἐνίοτε μὲν τὴν πλεομένην, οἷον τὴν ἐν πλεομένοις τόποις κειμένην νῆσον· ὁ δὲ Ἀρίσταρχος Πλωτὴν, φερομένην, οἷον παραφερομένην, ὥστε ποτὲ μὲν ἐν τοῖς δεξιοῖς μέρεσι, ποτὲ δὲ ἐν τοῖς ἀριστεροῖς ὁρᾶσθαι· οἷον δή τι καὶ περὶ τὴν Δῆλον ἱστορεῖ Πίνδαρος, λέγων ὅτως, ἣν γὰρ τὸ πάροιθε φορητὸν κυμάτεσσι Δᾶλος πανταδαπῶν ἀνέμων ῥιπαῖσιν. ἐν δὲ ἄλλῃ, περιπλεομένην ὑπὸ ἀνθρώπων, ἢ περιφερομένην ὑπὸ τῆς θαλάσσης· ἀμείνων δὲ τὸ πρότερον· ἡ γὰρ ἐπίπλῳ τῇ θαλάσσῃ, ἐκ ἂν ἀεὶ ἐν διωτέρᾳ ὑρεῖ αὐτὴν Ὀδυσσεύς· ἢ περιφερομένην. ΧΑΛ. Ἰχνηλάτου ἀπρόσοδον. ΑΝ. Εἰς ὕψος ἀνέδραμεν.

4 ΛΙΣ. Λάκα, ὁμαλὴ, ἢ ἀπρόσοδον. ΑΝ. Εἰς ὕψος ἀνέδραμεν.

6 ΗΒ. Ἀκμαζούσης.

8 ΚΕΔ. Σώφρονι, σπουδαίᾳ.

10 ΚΝΙΣ. Ἥνωται ὑφασμένη, ἢ κείσεται μεμιγμένη. ἀπὸ τοῦ πλῆθος τὸ θυμώνων. ΠΕ. Περιηχήσεται.

* al. αἰδοίοις.

" Εὐδθσ'

" Εὕδσ', ἔν τε πάπηισι καὶ ἐν τρητοῖς λεχέεσσι
" Καὶ μὲν τ' ἱκόμεσθα πόλιν καὶ δώματα καλά.
" Μῆνα δὲ πάντα φίλῃ με, ἓξ ἐξερέεινεν ἕκαστα,
" Ἴλιον, Ἀργείων τε νέας, καὶ νόστον Ἀχαιῶν·
" Αὐτὰρ ἐγὼ τῷ πάντα κατὰ μοῖραν κατέλεξα.
" Ἀλλ' ὅτε δὴ καὶ ἐγὼν ὁδὸν ἤτεον, ἠδ' ἐκέλδυον
" Πεμπέμεν, ἀδέ τι κεῖνος ἀνήνατο, τεῦχε δὲ πομπήν·
" Δῶκε δέ μοι δέπας ἀσκὸν βοὸς ἐννεώροιο,
" Ἔνθα δὲ βυκτάων ἀνέμων κατέδησε κέλευθα·
" Κεῖνον γὰρ ταμίην ἀνέμων ποίησε Κρονίων,
" Ἠμὲν παυέμμαι, ἠδ' ὀρνύμεν, ὅν κ' ἐθέλῃσι.
" Νηὶ δ' ἐνὶ γλαφυρῇ κατέδῃ μέρμιθι φαεινῇ
" Ἀργυρέῃ, ἵνα μήτι πνοιὴ παραπνεύσῃ ὀλίγον περ.
" Αὐτὰρ ἐμοὶ ποιὴν Ζεφύρῳ πρόεηκεν ἀῆναι,
" Ὄφρα φέροι νῆάς τε καὶ αὐτός· ἠδ' ἄρ' ἔμελλεν
" Ἐκτελέειν· αὐτῶν γὰρ ἀπωλόμεθ' ἀφραδίῃσιν.
" Ἐννῆμαρ μὲν ὁμῶς πλέομεν νύκτας τε καὶ ἦμαρ·
" Τῇ δεκάτῃ δ' ἤδη ἀνεφαίνετο πατρὶς ἄρουρα·
" Καὶ δὴ πυρπλέοντας ἐλεύσσομεν, ἐγγὺς ἐόντας.
" Ἔνθ' ἐμὲ μὲν γλυκὺς ὕπνος ἐπήλυθε κεκμηῶτα·

12 ΕΥ. Καθεύδοσι.
14 ΦΙ. Φιλικῶς ὑπεδέχετο. ΕΞ. Ἀκριβῶς ἠρώτα.
17 ΗΤ. Ἤτουν, παρεκάλουν.
18 ΑΝ. Ἠρνεῖτο.
19 ΕΝ. Ἐναντίος.
20 ΒΥΚ. Ἀθρόως πνεόντων, εὐφυσήτων, πληρούντων τὰ ἱστία. ΚΕ. Πνεύματα.
21 ΤΑ. Διοικητὴν, φύλακα, ἢ προστάτην.
23 ΚΑ. Καταδήσασθαι. ΜΕΡ. Προσκρούσωσιν, ἵνα τῷ δεσμῷ ἀπατηθῶσιν οἱ ἐπαίροι· καὶ γὰρ ἀεὶ σὺν τῇ καθέσει τῶν γναρίσεων ὠφελεῖτο γάρ. ΜΕΡ. Σχοίνῳ.
27 ΕΚ. Πληρώσειν.
30 ΠΥΡ. Πυρεύοντας, πῦρ καίοντας, ἢ περὶ τὸ πῦρ ἀναστρεφομένους. ΕΛ. Ἐολέπομεν.

" Αἰεὶ γὰρ τόδα νηὸς ἐνώμων· ὀδὲ τῷ ἄλλῳ
" Δῶχ' ἑτάρων, ἵνα θᾶσσον ἰχοίμεθα πατρίδα γαῖαν.
" Οἱ δ' ἕτεροι ἑπέεσσι πρὸς ἀλλήλους ἀγόρευον,
" Καί μ' ἔφασαν χρυσόν τε καὶ ἄργυρον οἴκαδ' ἄγεσθαι,
" Δῶρα παρ' Αἰόλου μεγαλήτορος Ἱππόταδαο.
" Ὧδέ τις ἔπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον·
" Ὦ πόποι, ὡς ὅδε πᾶσι φίλος καὶ τίμιός ἐστιν
" Ἀνθρώπων, ὅτεών τε πόλιν καὶ γαῖαν ἵκηται.
" Πολλὰ μὲν ἐκ Τροίης ἄγε κειμήλια καλὰ
" Ληίδος· ἡμεῖς δ' αὖτε ὁμὴν ὁδὸν ἐκτελέσαντες,
" Οἴκαδε νιατόμεθα κενεὰς σὺν χεῖρας ἔχοντες.
" Καὶ ὧν οἱ τάγ' ἔδωκε χαριζόμενος φιλότητι
" Αἴολος· ἀλλ' ἄγε θᾶσσον ἰδώμεθα, ὅ, τι τάδ' ἐστίν,
" Ὅσσος τις χρυσός τε καὶ ἄργυρος ἀσκῷ ἔνεστιν.
" Ὣς ἔφασαν· βουλὴ δὲ κακὴ νίκησεν ἑταίρων·
" Ἀσκὸν μὲν λῦσαν, ἄνεμοι δ' ἐκ πάντες ὄρουσαν.
" Τοὺς δ' αἶψ' ἁρπάξασα φέρεν πόντονδε θύελλα
" Κλαίοντας, γαίης ἄπο πατρίδος· αὐτὰρ ἔγωγε
" Ἐγρόμενος, κατὰ θυμὸν ἀμύμονα μερμήριξα,
" Ἠὲ πεσὼν ἐκ νηὸς ἀποφθίμην ἐνὶ πόντῳ,
" Ἦ ἀχέων τλαίην, καὶ ἔτι ζωοῖσι μετείην.
" Ἀλλ' ἔτλην καὶ ἔμεινα· καλυψάμενος δ' ἐνὶ νηῒ
" Κείμην· αἱ δ' ἐφέροντο κακῇ ἀνέμοιο θυέλλῃ

32 ΠΟ. Τὸν μεταχρῶ δ' κέρατα καλὰν, ἢ τὸ πηδάλιον. ΕΝ. Ἐκίνει, μετέφερον. ΟΥ. Οὐδενί.
35 ΑΓ. Κομίζειν.
39 ΟΤ. Ὧν τινῶν.
41 ΔΗ. Λάας. ΟΜ. Ὁμοίαν.
42 ΝΙΣ. Ἁπλουσόμεθα. ΚΕ. Κινάς, ματαίας.
47 ΟΡ. Ἀπὸ δ, ἐξῆλθον.
50 ΕΓ. Ἀναξάς. ΜΕΡ. Ἐσυλοσάμην.
51 ΑΠ. Ἀποφθαρείην, ἀναιρεθείην.
52 ΖΩ. Ζῶσιν. ΜΕ. Σαυσπάσχομι.

" Αὖτις

" Αὖτις ἐπ' Αἰολίην νῆσον· στενάχοντο δ' ἑταῖροι.
" Ἔνθα δ' ἐπ' ἠπείρου βῆμεν, καὶ ἀφυσάμεθ' ὕδωρ·
" Αἶψα δ' ἄρ' δεῖπνον ἕλοντο θοῆς παρὰ νηυσὶν ἑταῖροι.
" Αὐτὰρ ἐπεὶ σίτοιό τ' ἐπασάμεθ' ἠδὲ ποτῆτος,
" Δὴ τότ' ἐγὼ κήρυκά τ' ὀπάσσάμην καὶ ἑταῖρον,
" Βῆν εἰς Αἰόλου κλυτὰ δώματα· τὸν δ' ἐκίχανον
" Δαινύμενον, παρὰ δ' ἦα τ' ἀλόχῳ καὶ οἷσι τέκεσσιν.
" Ἐλθόντες δ' ἐς δῶμα, παρὰ σταθμοῖσιν ἐπ' αὐδῇ
" Ἑζόμεθ'· οἱ δ' ἀνὰ θυμὸν ἐθάμβεον, ἔκ τ' ἐρέοντο·
" Πῶς ἦλθες, Ὀδυσεῦ; τίς τοι κακὸς ἔχραε δαίμων;
" Ἦ μέν σ' ἐνδυκέως ἀπεπέμπομεν, ὄφρ' ἀφίκοιο
" Πατρίδα σὴν, καὶ δῶμα, καὶ ἔππους τοι φίλον ἐστίν.
" Ὣς φάσαν· αὐτὰρ ἐγὼ μετεφώνεον, ἀχνύμενος κῆρ·
" Ἀασάν μ' ἕταροί τε κακοὶ, πρὸς τοῖσί τε ὕπνος
" Σχέτλιος· ἀλλ' ἀκέσασθε, φίλοι· δύναμις γὰρ ἐν ὑμῖν.
" Ὣς ἐφάμην, μαλακοῖσι καταθελγόμενος ἐπέεσσιν·
" Οἱ δ' ἄνεῳ ἐγένοντο· πατὴρ δ' ἠμείβετο μύθῳ·
" Ἔρρ' ἐκ νήσου θᾶσσον, ἐλέγχιστε ζωόντων·
" Οὐ γάρ μοι θέμις ἐστὶ κομίζεμεν ὀπτεπέμπειν
" Ἄνδρα τὸν, ὅς κε θεοῖσιν ἀπέχθηται μακάρεσσιν.
" Ἔρρ', ἐπεὶ ῥα θεοῖσιν ἀπεχθόμενος τόδ' ἱκάνεις.
" Ὣς εἰπὼν, ἀπέπεμπε δόμων βαρέα στενάχοντα.
" Ἔνθεν δὲ πρότερον πλέομεν, ἀκαχήμενοι ἦτορ.

59 ΠΑΣ. Ἐξυσάμεθα.
60 ΒΗΝ. Ἔδην, ἐπεριύθην. ΕΚ. Κατίλαδον.
63 ΕΖ. Ἐκαθίσθημεν.
64 ΕΧ. Μακικῶς ἐπίθετο.
65 ΕΝ. Φιλοφρόνως.
67 ΜΕ. Ἐν αὐτοῖς ἤλιζον.
68 ΑΑ. Ἔσλαψαν.
69 ΑΚ. Ἰάσασθε.
72 ΕΡ. Μετὰ φθορᾶς ἄπιθι. ΕΛ. Ἐποτείδιζε.
74 ΑΠ. Μισεῖται.

" Τείρετο δ' ἀνδρῶν θυμὸς ὑπ' ἐρεσίης ἀλεγεινῆς
" Ἡμετέρῃ ματίῃ· ἐπεὶ οὐκέτι φαίνετο πομπή.
" Ἐξῆμαρ μὲν ὁμῶς πλέομεν νύκτας τε καὶ ἦμαρ·
" Ἑβδομάτῃ δ' ἱκόμεθα Λάμου αἰπὺ πτολίεθρον,
" Τηλέπυλον Λαιστρυγονίην, ὅθι τοιμένα ποιμὴν
" Ἠπύῃ εἰσελάων, ὅδε τ' ἐξελάων ὑπακούῃ.
" Ἔνθα κ' ἄϋπνος ἀνὴρ δοιὼς ἐξήρατο μισθὼς,
" Τὸν μὲν βουκολέων, τὸ δ', ἄργυφα μῆλα νομεύων·
" Ἐγγὺς γὰρ νυκτός τε καὶ ἤματός εἰσι κέλευθοι.
" Ἔνθ' ἐπεὶ ἐς λιμένα κλυτὸν ἤλθομεν, ὃν περὶ πέτρη
" Ἠλίβατος τετύχηκε διαμπερὲς ἀμφοτέρωθεν·
" Ἀκταὶ δὲ προβλῆτες ἐναντίαι ἀλλήλῃσιν

78 ΕΙ. Κωπηλασίας.

79 ΜΑ. Ματαιοπη, ῥᾳθυμολακωνίας. ΠΟΜ. Παραπίμψας.

81 ΛΑ. Ἀπὸ τοῦ βασιλεύσαντος Λαιστρυγόνος, Λάμου, καὶ Ποσειδῶνος παιδὸς, ἢ ὄνομα Λαιστρυγών.

82 ΤΗ. Μεγάλων· τὰ γὰρ τοιαῦτα πολὺ διεσῶσιν αἱ πύλαι. τινὲς δὲ τὸ κύριον Τηλέπυλον ἐξεδέξαντο· οἱ δὲ τηλέπυλον φασὶ, μακρόπυλον· ὃ τοῦ Δημοσθένους, ἀλλὰ τοῦ πλατεῖ τὰ πύλας, ἢ τοῦ μήκει. ΛΑΙ. Τῶν τὰ Λαιστρυγόνων. Λαιστρυγόνες δὲ οἱ τῶν Λάμου οἰκοῦντες. ΟΘ. Ὅπου οἱ νομεῖς ἀλλήλοις συνεφθέγγοντο διὰ τὸ σύνεγγυς εἶναι τὰς νομάς· ἢ μᾶλλον τοῦ Δημοσθένους τὸ ἀπιστούμενον τῶν πυλῶν μέγεθος ἀπέχειν, ἐν ὅτῳ τῶν φωνῶν ἐξακούεσθαι καὶ τι ἀπειλούντων, καὶ καὶ ἐξιλακύοντος. ΠΟΙ. Κατηχρηστικῶς εἴρηκε ποιμένα καὶ τὸν βουκόλον.

83 ΗΠ. Φωνῇ. ΕΙ. Εἰσιλακύων. ΕΞ. Ἐξιλακύων.

84 ΕΞ. Ἀπηύγασται.

85 ΑΡ. Λαμπρά.

86 ΕΓ. Αἱ νυκτερειναὶ καὶ ἡμερινὰι νομαὶ ἐγγύς εἰσι τῆς πόλεως· φασὶ δὲ τὰς Λαιστρυγόνας κατοικεῖναι τῶν τῆς Λιστρίνων ἐπὶ Σικελίαν χώραν, ἐν ᾗ γυναῖκας πολλὰς μύσπας, καὶ τὸ εἰσχυρόν. ὥστε τὰ μὲν λάσια τῇ ἡμέρᾳ νεμεσθαι, τὰ δὲ ψιλὰ τῇ νυκτὶ, καὶ ἅτινας τὸ δυνάμενον ἀρχυτενῶν δύο μισθὸς ἀποφέρεσθαι. Κρατὴς δὲ φησι καὶ τῶν δράκοντα αὐτὰς κατηρίσθαι κιφαλῶ· τοὺς ἐς Ἄρκτος λιγᾷ, Κένη τε κιφαλὴ τῇ νείατῃ, ἧχι περ ἄκρα Μίσγοιται δύσιές τε καὶ ἀντολαὶ ἀλληλῆσιν· ὥστε πλείω μὲν εἶναι τῶν ἡμέραν, ὀλίγῳ δὲ τῶν νύκτα, ὡς ἀναπαλιν περὶ τοῖς Κιμμερίοις· ἅπερ οὖν δοκοῦσαι Δημοσθένει, διτὸς κρημίζεται μισθός.

88 ΗΛ. Ὑψηλή. ΤΕ. Ἐστι, ὑπάρχει. ΔΙ. Ἀπὸ δὲ, ἐπιμήκεις.

89 ΑΚ. Αἱ περιδεδλημέναι ὑπὸ τῆ γλαύκῃ πέτρᾳ, καὶ περέχουσι ἀπὸ τῆ αἰγιαλοῦ, καὶ στενὸν ποιοῦσι τὸ πέλαγος.

" Ἐν

" Ἐν στόματι πρὸ ἔχυσιν· λιμὴν δ' εἰσοδός ἐστιν·
" Ἔνθ' οἵγ' ἔισω πάντες ἔχον νέας ἀμφιελίσσας.
" Αἱ μὲν ἄρ' ἔντοσθεν λιμνῆς κοίλοιο δέδεντο
" Πλησίαι· ἀ μὲν γάρ ποτ' ἀέξετο κῦμά γ' ἐν αὐτῷ,
" Οὔτε μέγ', οὔτ' ὀλίγον· λάχεν δ' ἦν ἀμφὶ γαλήνη.
" Αὐτὰρ ἐγὼν οἷος σχεθὸν ἔξω νῆα μέλαιναν,
" Αὐτῆ ἐπ' ἐσχατιῆ, πέτρης ἐκ πείσματα δήσας.
" Ἔσην δὲ, σκοπὴν ἐς παιπαλόεσσαν ἀνελθών·
" Ἔνθα μὲν οὔτε βοῶν, οὔτ' ἀνδρῶν φαίνετο ἔργα,
" Καπνὸν δ' οἷον ὁρῶμεν ἀπὸ χθονὸς αἰσσοντα.
" Δὴ τότ' ἐγὼν ἑτάρους πεφίην πεύθεσθαι ἰόντας,
" Οἵτινες ἀνέρες εἶεν ἐπὶ χθονὶ σῖτον ἔδοντες·
" Ἄνδρε δύω κρίνας, τρίτατον κήρυχ' ἅμ' ὀπάσσας.
" Οἱ δ' ἴσαν ἑκβάντες λείην ὁδὸν, ἧπερ ἅμαξαι
" Ἄσυδ' ἀφ' ὑψηλῶν ὀρέων καταγίνεον ὕλην.
" Κύρη δὲ ξύμβλητο πρὸ ἄστεος ὑδρευούσῃ,
" Θυγατρὶ ἰφθίμη Ἀντιφάταο Λαιστρυγόνος υἱῷ.
" Ἡ μὲν ἄρ' ἐς κρήνην καταβήσετο καλλιρέεθρον
" Ἀρτακίην, ἔνθεν γὰρ ὕδωρ προτὶ ἄστυ φέρεσκον.
" Οἱ δὲ πελασσάμενοι προσεφώνεον, ἔκ τ' ἐρέοντο,
" Ὅστις τ' εἴη βασιλεὺς, καὶ οἷσιν ἀνάσσοι.

90 ΠΡΟΥ. Προέχουσιν, οἷον ἀσφοδίλῳ. ΑΡ. Λιπὴς καὶ στενή.
97 ΣΚΟ. Ὑψηλὸν τόπον. ΠΑΙ. Τραχεῖαν. Ἔνθεν καὶ τῇ σωτηρίᾳ παιπάλιμον λέγομεν ἄνδρα τὸ τραχὺν, καὶ μὴ ἁπλῶν.
99 ΑΙ. Ἀνιόντα.
100 ΠΡΟ. Προϊόντας.
103 ΛΕΙ. Λείαν, ἁμαξήν.
104 ΚΑ. Κατέφερον.
105 ΞΥΜ. Συμπορευόντο.
107 ΚΑΔ. Καλὰ μύθους ἔχουσιν.
108 ΑΡ. Ὅπου μὴ κρίνης. ὅπου γὰρ τὸ ὅπως παρὰ τὴν Κίρκης μεμαθηκάς· λέγει γὰρ, Οἶδα καὶ αὐτὴ Ἢ μὲν σὺ οὐ πείθῃ πάσῃ ἄλκῃ· ἢ καὶ τὸ σκοπήσασθαι, παρὰ τὸ φυγόντων, μαθόντων παρὰ τὸ κρῆναι, ἐπυθέσθαι.

" Ἡ δὲ

" Ἡ δὲ μάλ' αὐτίκα πατρὸς ἐπέφραδεν ὑψερεφὲς δῶ.
" Οἱ δ' ἐπεὶ εἰσῆλθον κλυτὰ δώματα, τὼ δὲ γυναῖκα
" Εὗρον, ὅσσω τ' ὄρεος κορυφὴν, κατὰ δ' ἔσυγον αὐτώ.
" Ἡ δ' αἶψ' ἐξ ἀγορῆς ἐκάλεϊ κλυτὸν Ἀντιφατῆα,
" Ὃν πόσιν, ὃς δὴ τοῖσιν ἐμήσατο λυγρὸν ὄλεθρον·
" Αὐτίχ' ἕνα μάρψας ἑτάρων, ὡπλίσατο δόρπον.
" Τὼ δὲ δύ' αἴξαντε φυγῇ ἐπὶ νῆας ἱκέσθην.
" Αὐτὰρ ὁ τεῦχε βοὴν ἀγαθὸς ἄγχεσ· οἱ δ' ἀΐοντες
" Φοίτων ἴφθιμοι Λαιστρυγόνες ἄλλοθεν ἄλλος,
" Μυρίοι, οὐκ ἀνδράσιν ἐοικότες, ἀλλὰ γίγασιν.
" Οἵ ῥ' ἀπὸ πετράων ἀνδραχθέσι χερμαδίοισι
" Βάλλον· ἄφαρ δὲ κακὸς κόναβος κατὰ νῆας ὀρώρει,
" Ἀνδρῶν ὀλλυμένων, νηῶν θ' ἅμα ἀγνυμένάων·
" Ἰχθῦς δ' ὡς, περόντες, ἀτερπέα δαῖτα φέροντο.
" Ὄφρ' οἱ τὰς ὄλεκον λιμένος πολυβενθέος ἐντὸς,
" Τόφρα δ' ἐγὼ ξίφος ὀξὺ ἐρυσσάμενος παρὰ μηρὸν,
" Τῷ ἀπὸ πείσματ' ἔκοψα νεὼς κυανοπρῴροιο.
" Αἶψα δ' ἐμοῖς ἑτάροισιν ἐπότρυνας κέλεσθαι
" Ἐμβαλέειν κώπησι, ἵν' ὑπ' ἐκ κακότητα φύγοιμεν.
" Οἱ δ' ἅμα πάντες ἀνέρριψαν, δείσαντες ὄλεθρον.
" Ἀσπασίως δ' ἐς πόντον ἐπηρεφέας φύγε πέτρας
" Νηῦς ἐμή· αὐτὰρ αἱ ἄλλαι ἀολλέες αὐτόθ' ὄλοντο.

111 ΕΠ. Ἐσήμανε, ἔδειξεν.
113 ΚΑ. Κατεπλάγησαν.
119 ΦΟΙ. Παρεχέοντο.
121 ΑΝ. Τοῖς δυναμένοις ἄνδρα καταδαμάζειν· ἢ μίζα βάρθρα παρέχεσι τοῖς βασταζουσι.
122 ΚΟ. Ἦχθη.
123 ΑΓ. Συλλεγομένων.
124 ΙΧ. Ἀντὶ τοῦ, ἠχοῦντες καὶ περῶντες, ὥσπερ ἰχθύες, ἢ ἁλιπέρονες, ὡς ἰχθύας· γράφεται καὶ, παίροντας. πίροντες δὲ, καὶ ἀντὶ τοῦ διείροντες. ΦΕ. Προσιφέροντο.
130 ΑΝ. Ἐκατεπλάτησαν.
131 ΕΠ. Ἤτοι ἄνωθεν ἐπηρεφεῖς, ἢ ἐπικεκλιμένας πέτρας.
132 ΑΟ. Ὁμοῦ πᾶσαι.

" Ἔνθεν

" Ἔνθεν δὲ πρότερον πλέομεν, ἀκαχήμενοι ἦτορ,
" Ἄσμενοι ἐκ θανάτοιο, φίλυς ὀλέσαντες ἑταίρυς.
" Αἰαίην δ' ἐς νῆσον ἀφικόμεθ'· ἔνθα δ' ἔναιε
" Κίρκη ἐϋπλόκαμος, δεινὴ θεὸς, αὐδήεσσα,
" Αὐτοκασιγνήτη ὀλοόφρονος Αἰήταο·
" Ἀμφὼ δ' ἐκγεγάτην φαεσιμβρότου Ἠελίοιο,
" Μητρός τ' ἐκ Πέρσης, τὴν Ὠκεανὸς τέκε παῖδα.
" Ἔνθα δ' ἐπ' ἀκτῆς νηῒ κατηγαγόμεσθα σιωπῇ
" Ναύλοχον ἐς λιμένα, καί τις θεὸς ἡγεμόνευεν.
" Ἔνθα τότ' ἐκβάντες, δύο τ' ἤματα καὶ δύο νύκτας
" Κείμεθ', ὁμῶς καμάτῳ τε, καὶ ἄλγεσι θυμὸν ἔδοντες.
" Ἀλλ' ὅτε δὴ τρίτον ἦμαρ ἐϋπλόκαμος τέλεσ' ἠώς,
" Καὶ τότ' ἐγὼν ἐμὸν ἔγχος ἑλὼν καὶ φάσγανον ὀξὺ,
" Καρπαλίμως παρὰ νηὸς ἀνήϊον ἐς θοὸν αἰπὴν,
" Εἴπως ἔργα ἴδοιμι βροτῶν, ἐνοπήν τε πυθοίμην.
" Ἔσχον δὲ, σκοπὴν ἐς παιπαλόεσσαν ἀνελθών,
" Καί μοι ἐείσατο καπνὸς ἰόντος εὐρυοδείης,
" Κίρκης ἐν μεγάροισι, διὰ δρυμὰ πυκνὰ καὶ ὕλην.
" Μερμήριξα δ' ἔπειτα κατὰ φρένα καὶ κατὰ θυμὸν

135 AI. Τοῦτον ἔνιοί φασι, τὸν τῶν Κίρκαιον θεὸν τῆ Ἰταλίᾳ.

136 AY. Ἦτοι θεοειδέστερος, ἢ ὡς ἀλήθειαν καὶ πρεσβυτέροις ἀνθρώποις ἐπιμίμνη· ἢ καλὸν ἐπίθετον ἐστι.

137 OΛ. Τῶν σωτὴρ καὶ ὁλόκληρα φρονούντων. AI. Κέλχων βασιλέως, παιδὸς Μηδείας, Κίρκης ἀδελφῆς.

138 EK. Ὑπέρχεσιν. ΦA. Τὸ φῶς τοῖς ἀνθρώποις φαίνοντος.

139 ΠEP. Πέρση, Ὠκεανῆς μέν ἐστι θυγατηρ, Ἠλίῳ δὲ γυνή. Ἠλίῳ δὲ, καὶ Πέρσης, τῆς Ὠκεανῆς, Αἰήτης καὶ Κίρκη. Ἡσίοδος δὲ καὶ τὴν Ἑκάτην Περσηίδα λέγει.

140 AK. Παραθαλασσίῳ τόπῳ.

141 NAY. Τὸν εἰς φυλακὴν τῶν νεῶν ἐπιτήδειον τόπον· ἢ τὰς ναῦς κρύπτοντα, ἢ ὑποδεχόμενον.

146 AN. Ἀνῆλθον. ΠE. Τόπον ὑψηλόν· ἀφ' οὗ ἐστι σκοπεῖσθαι καὶ ἀποσκοπεῖσθαι.

149 EEI. Ἐφάνη.

150 ΔP. Διὰ τῶν δρυμῶν, καὶ σωθέντων τόπων.

" Ἐλθεῖν

" Ἐλθεῖν, ἠδὲ τυχέσθαι, ἐπεὶ ἴδον αἴθοπα καπνόν.
" Ὧδε δέ μοι φρονέοντι δοάσσατο κέρδιον εἶναι,
" Πρῶτ' ἐλθόντ' ἐπὶ νῆα θοὴν καὶ θῖνα θαλάσσης,
" Δεῖπνον ἑταίροισιν δόμεναι, πρόεμέν τε τυχέσθαι.
" Ἀλλ' ὅτε δὴ σχεδὸν ἦα κιὼν νεὸς ἀμφιελίσσης,
" Καὶ τότε τίς με θεῶν ὀλοφύρατο μοῦνον ἐόντα,
" Ὃς ῥά μοι ὑψίκερων ἔλαφον μέγαν εἰς ὁδὸν αὐτὴν
" Ἧκεν· ὁ μὲν πολέμονδε κατήιεν ἐκ νομοῦ ὕλης,
" Πιόμενος, (δὴ γάρ μιν ἔχεν μένος ἠελίοιο·)
" Τὸν δ' ἐγὼ ἐκβαίνοντα κατ' ἄκνηστιν μέσα νῶτα
" Πλῆξα· τὸ δ' ἀντικρὺ δόρυ χάλκεον ἐξεπέρησε·
" Καὶ δ' ἔπεσ' ἐν κονίῃσι μακών, ἀπὸ δ' ἔπλατο θυμός.
" Τῷ δ' ἐγὼ ἐμβαίνων, δόρυ χάλκεον ἐξ ὠτειλῆς
" Εἰρυσάμην· τὸ μὲν αὖθι κατακλίνας ἐπὶ γαίῃ
" Εἴασ'· αὐτὰρ ἐγὼ στασάμην ῥῶπάς τε λύγους τε·
" Πεῖσμα δ', ὅσσον τ' ὄργυιαν, ἐϋστρεφὲς ἀμφοτέρωθεν
" Πλεξάμενος, σωέδησα ποδὰς δεινοῖο πελώρου.
" Βῆν δὲ καταλοφάδεια φέρων ἐπὶ νῆα μέλαιναν,

152 AI. Τὸν ἐκ ἔ αἴθεσθαι, ὁ ἐστι καίεσθαι, κινόμενον.
155 ΠΡΟ. Προπέμψαι.
156 ΑΜ. Ἐκατέρωθεν ἰλαυνομένης.
157 ΟΛ. Ἠλίσιον.
158 ΥΨ. Ὑψηλὰ κέρατα ἔχοντα.
159 ΚΑ. Κατήρχετο.
160 ΔΗ. Τὸν ἔλαφον φησὶν ὑπὸ ἔ Ἡλίου ἐκκαιόμενον, καὶ ὡς ἐν τοῖς χρόνοις· διὸ καὶ ἐπὶ τὸ ποτιμὸν καλύσιν, ἔ πιεῖν ἐπειγόμενον.
161 ΑΚ. Ἐπιζητήσαντο μέσα νῶτα, τοῦ ῥάχιν· ἢ τὰ μέσα τῶν τετραπόδων, παρὰ τὸ μὴ δύνασθαι κινεῖσθαι.
163 ΜΑ. Ὠμομάλοπτοποίησε τῷ λέξει, οἷον ποιὰν φωτὸν καὶ ἄσημον λάσιον εἶσας.
164 ΕΜ. Ἐπισσώσαν, ὡς λάξ.
165 ΕΙ. Εἱλκυσα.
166 ΣΠΑ. Ἀπέσπασα. ΛΥ. Γίνεται ῥάδιον. ΡΩ. Ἰμαντώδη φησὶ, ἐπιμήκεις καὶ εὐκάμπτους ῥάδους ἔχοντα.
167 ΠΕΙΣ. Σχοινίον. ΟΡ. Τῷ τῶν χειρῶν ἕκτασιν. ΕΥ. Καλῶς ἐγραμμένον.
168 ΠΕΛ. Τέρατος, θηρίου.
169 ΚΑ. Κατὰ λόφον καὶ αὐχένα, καὶ πλαγίως.

" Ἔγχει

" Ἔγχεϊ ἐρειδόμενος, ἐπεὶ ὄπως ἦεν ἐπ' ὦμῳ
" Χειρὶ φέρειν ἑτέρῃ· μάλα γὰρ μέγα θηρίον ἦεν.
" Καὶ δ' ἔβαλον προπάροιθε νεὼς· ἀνέγειρα δ' ἑταίρους
" Μειλιχίοις ἐπέεσσι, θῶϊξάς τ' ἄνδρα ἕκαστον·
" Ὦ φίλοι, ὦ γάρ πως καὶ ἀδυσόμεθ', ἀχνύμενοί περ,
" Εἰς Ἀΐδαο δόμους, πρὶν μόρσιμον ἦμαρ ἐπέλθῃ.
" Ἀλλ' ἄγετ', ὄφρ' ἐν νηὶ θοῇ βρῶσίς τε, πόσις τε,
" Μνησόμεθα βρώμης, μηδὲ τρυχώμεθα λιμῷ.
" Ὡς ἐφάμην· οἱ δ' ὦκα ἐμοῖς ἐπέεσσι πίθοντο·
" Ἐκ δὲ καλυψάμενοι παρὰ θῖν' ἁλὸς ἀτρυγέτοιο
" Θηήσαντ' ἔλαφον· μάλα γὰρ μέγα θηρίον ἦεν.
" Αὐτὰρ ἐπεὶ τάρπησαν ὁρώμενοι ὀφθαλμοῖσιν,
" Χεῖρας νιψάμενοι τεύχοντ' ἐρικυδέα δαῖτα.
" Ὡς τότε μὲν πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
" Ἤμεθα δαινύμενοι κρέα τ' ἄσπετα καὶ μέθυ ἡδύ·
" Ἦμος δ' ἠέλιος κατέδυ, καὶ ὀπὶ κνέφας ἦλθε,
" Δὴ τότ' ἐκοιμήθημεν ὀπὶ ῥηγμῖνι θαλάσσης.
" Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠώς,
" Καὶ τότ' ἐγὼν ἀγορὴν θέμενος μετὰ πᾶσιν ἔειπον·
" Κέκλυτέ μευ μύθων, κακά περ πάσχοντες, ἑταῖροι·
" Ὦ φίλοι, ὦ γάρ τ' ἴδμεν, ὅπῃ ζόφος, ὅππῃ ἠώς,

170 ΕΡ. Ἐπιρειδόμενος. ΟΥ. Οὐκ ἐπεδέχετο ἔχειν.
173 ΠΑ. Περισσὸν πλησίον.
174 ΚΑ. Καταλούσόμεθα, καταλήσμεν. ΑΧ. Καὶ πρὶν λυπήσθαι.
175 ΑΙ. Εἰς ἅδε. ΜΟΡ. Τὴν ἀναμερίμνων ἡμέραν.
177 ΒΡΩ. Βρώσιος. ΤΡΥ. Καταπονώμεθα.
179 ΚΑ. Ἐκκαλύψαντες, ἀποκαπάσαντες.
182 ΤΕΥ. Καπνοκυάζον. ΕΡ. Τὴν πυῦσαν καυσαλέαν, ἢ μεγάλως ἐνδέξον.
184 ΑΣ. Πελλά.
188 ΠΑ. Ἔνιοι, μῦθον.
190 ΙΔ. Οὐ γὰρ ἴσμεν, ὅπου δύσις, ἢ ὅπου ἀνατολή· ταῦτα γὰρ λίχνα σὺν ἀπορῶν, ἀλλὰ δεινοπαθῶν τοῖς παροῦσιν.

" Οὐδ' ὅπη ἠέλιος φαεσίμβροτος εἶσ' ὑπὸ γαῖαν,
" Οὐδ' ὅπη ἀννεῖται· ἀλλὰ φραζώμεθα θᾶσσον,
" Εἴτις ἔτ' ἔξει μῆτις· ἐγὼ δ' οὐκ οἴομαι εἶναι.
" Εἶδον γὰρ, σκοπιὴν ἐς παιπαλόεσσαν ἀνελθὼν,
" Νῆσον, τὴν περὶ πόντος ἀπείριτος ἐσφάνωται·
" Αὐτὴ δὲ χθαμαλὴ κεῖται, καπνὸν δ' ἐνὶ μέσῃ
" Ἕδρακον ὀφθαλμοῖσι, διὰ δρυμὰ πυκνὰ καὶ ὕλην.
" Ὡς ἐφάμην· τοῖσιν δὲ κατεκλάσθη φίλον ἦτορ,
" Μνησαμένοις ἔργων Λαισρυγόνος Ἀντιφάταο,
" Κύκλωπός τε βίης μεγαλήτορος ἀνδροφάγοιο.
" Κλαῖον δὲ λιγέως, θαλερὸν κατὰ δάκρυ χέοντες·
" Ἀλλ' ὃ γάρ τις πεῖρις ἐγίνετο μυρομένοισιν.
" Αὐτὰρ ἐγὼ δίχα πάντας ἐϋκνήμιδας ἑταίρους
" Ἠρίθμεον· ἀρχὸν δὲ μετ' ἀμφοτέροισιν ὄπασσα·
" Τῶν μὲν ἐγὼν ἦρχον, τὸ δ' Εὐρύλοχος θεοειδής.
" Κλῆρος δ' ἐν κυνέῃ χαλκήρεϊ πάλλομεν ὦκα,
" Ἐκ δ' ἔθορε κλῆρος μεγαλήτορος Εὐρυλόχοιο.
" Βῆ δ' ἰέναι, ἅμα τῷ γε δύω δέκα ἔπλετ' ἑταῖροι
" Κλαίοντες· κατὰ δ' ἄμμε λίπον γοόωντας ὄπιθεν.
" Εὗρον δ' ἐν βήσῃσι τετυγμένα δώματα Κίρκης
" Ξεστοῖσιν λάεσσι, περισκέπτῳ ἐνὶ χώρῳ.
" Ἀμφὶ δέ μιν λύκοι ἦσαν ὀρέστεροι, ἠδὲ λέοντες,

192 ΑΝ. Ἀνατέλλῃ, ἀνέρχεται, ἀναφέρεται.
195 ΑΠ. Πολύς. ΕΣ. Κύκλῳ περιέχει.
196 ΧΘΑ. Ταπεινή.
197 ΕΔ. Ἐφαστάμην.
199 ΜΝΗ. Ὑπομνησθεῖσιν.
204 ΟΠ. Ἔδωκα.
206 ΚΥ. Περικεφαλαία. ΠΑΛ. Ἐστήσομεν.
207 ΕΘ. Ἐξεπήδησεν.
210 ΒΗΣ. Ἐν παῖς περιπάσσει καὶ ὀρειναῖς κηλάσιν.
212 ΟΡ. Ἄγελοι.

" Τὰς

" Τὰς αὐτὴ κατέθελξεν, ἐπεὶ κατὰ φάρμακ' ἔδωκεν.
" Οὐδ' οἵγ' ὡρμήθησαν ἐπ' ἀνδράσιν, ἀλλ' ἄρα πίγε
" Οὐρῆσιν μακρῆσι περισαίνοντες ἀνέσχεν.
" Ὡς δ' ὅταν ἀμφὶ ἄνακτα κύνες δαίτηθεν ἰόντα
" Σαίνωσ'· (αἰεὶ γάρ τε φέρῃ μειλίγματα θυμῷ·)
" Ὣς τὰς ἀμφὶ λύκοι κρατερώνυχες, ἠδὲ λέοντες,
" Σαῖνον· τοὶ δ' ἔδδεισαν, ἐπεὶ ἴδον αἰνὰ πέλωρα.
" Ἔσταν δ' εἰνὶ θύρῃσι θεᾶς καλλιπλοκάμοιο·
" Κίρκης δ' ἔνδον ἄκουεν ἀειδούσης ὀπὶ καλῇ,
" Ἰσὸν ἐποιχομένης μέγαν, ἄμβροτον· οἷα θεάων
" Λεπτά τε, καὶ χαρίεντα, καὶ ἀγλαὰ ἔργα πέλονται.
" Τοῖσι δὲ μύθων ἦρχε Πολίτης, ὄρχαμος ἀνδρῶν,
" Ὅς μοι κήδιστος ἑτάρων ἦν, κεδνότατός τε·
" Ὦ φίλοι, ἔνδον γάρ τις ἐπιχθονίη μέγαν ἱστὸν,
" Καλὸν ἀοιδιάᾳ, (θάμβεσε δ' ἄμπαν ἀμφιμέμυκεν,)
" Ἢ θεὸς, ἠὲ γυνή· ἀλλὰ φθεγγώμεθα θᾶσσον.
" Ὣς ἄρ' ἐφώνησεν· τοὶ δ' ἐφθέγξαντο καλεῦντες·
" Ἡ δ' αἶψ' ἐξελθοῦσα θύρας ὤιξε φαεινὰς,
" Καὶ κάλει· οἱ δ' ἅμα πάντες ἀϊδρείῃσιν ἕποντο·
" Εὐρύλοχος δ' ὑπέμεινεν, ὀϊσάμενος δόλον εἶναι.

213 ΚΑ. Πρᾶιες καὶ ἡμέρως ἐποίησεν.
215 ΠΕ. Κολακεύοντες.
216 ΔΑΙ. Ἀπὸ εὐωχίας.
217 ΣΑΙ. Κολακεύωσι. ΜΕΙ. Πρὸς ἡδονὴν δωρήματα, ἢ κρέα τινὰ, ἢ τὶν λιπαρδαλιὰν, ἣν περισείομένοι οἱ κύνες ἐχρηγόρασι.
218 ΚΡΑ. Ἰχνηλάτας.
219 ΑΙ. Δεινὰ, χαλεπά. ΠΕ. Τέρατα, θηρία.
225 ΚΗ. Συγγενικώτατος, φρονήσεως ἄξιος. ΚΕΔ. Τιμιώτατος, κηδεμονικώτατος.
227 ΑΟΙ. Ἀδῆ. ΔΑ. Τὸ ἔδαφος. ΑΜ. Ἐπῄχῃ, ἐφωνήσῃ.
230 ΩΙ. Ἀνέῳξεν.
231 ΑΙ. Ἀπαρίσας, ἀνοίσας.
232 ΟΙ. Ἀπὸ τοῦ, μόνῳ ὅσον φιλοφρόνως αὐτὰς καλεῖν, καὶ ἀπὸ τῆς ἡμερότητος τῶν θηρίων.

" Εἶσεν δ' εἰσαγαγὼν κατὰ κλισμούς τε, θρόνους τε,
" Ἐν δέ σφιν τυρόν τε, ἓ ἄλφιτα, καὶ μέλι χλωρὸν,
" Οἴνῳ Πραμνείῳ σὺν κύκα· ἀνέμισγε δὲ σίτῳ
" Φάρμακα λύγρ', ἵνα πάγχυ λαθοίατο πατρίδος αἴης.
" Αὐτὰρ ἐπεὶ δῶκέν τε καὶ ἔκπιον, αὐτίκ' ἔπειτα
" Ῥάβδῳ πεπληγὼς, κατὰ συφεοῖσιν ἐέργνυ.
" Οἱ δὲ συῶν μὲν ἔχον κεφαλὰς, φωνήν τε, δέμας τε,
" Καὶ τρίχας· αὐτὰρ νοῦς ἦν ἔμπεδος, ὡς τοπάρος περ.
" Ὣς οἱ μὲν κλαίοντες ἐέρχατο· τοῖσι δὲ Κίρκη
" Πάρ ῥ' ἄκυλον, βάλανόν τ' ἔβαλεν, καρπόν τε κρανείης,
" Ἔδμεναι, οἷα σύες χαμαιδυνάδες αἰὲν ἔδουσιν.
" Εὐρύλοχος δ' αὖψ ἦλθε θοὴν ἐπὶ νῆα μέλαιναν,
" Ἀγγελίην ἑτάρων ἐρέων καὶ ἀδευκέα πότμον.
" Οὐδέ τι φάσθαι δύνατο ἔπος, ἱέμενός περ,
" Κῆρ ἄχεϊ μεγάλῳ βεβολημένος· ἐν δέ οἱ ὄσσε
" Δακρυόφιν τέμπλαντο, γόον δ' ὠΐετο θυμός.
" Ἀλλ' ὅτε δή μιν πάντες ἀγασσάμεθ' ἐξερέοντες,

234 ΧΛ. Νίεν.

235 ΠΡΑΜ. Ἔνιοι μὲ τῷ ἀπὸ Πραμνείας ἀμπέλου γινομένῳ οἴνῳ· λέγεται ἡ καὶ Πραμνεία ἄμπελος, ὡς καὶ Θασία· ἔνιοι δὲ πραμνείῳ, τῷ πραΰνοντι τὸ μένος, οἷον τῷ ψυχρῷ εἰς πῆξότητα ἄγοντι· οἱ δὲ, ὅπ τὸν οἶνον ἔνιοι ἓ καυστικὸν, ἔνιοι δὲ ἡδεῖς· τινὲς δὲ πραμνείσιοι καὶ παραμόνιμοι εἰς παλαίωσιν, καὶ μὴ μισοπαλλοντες. ΕΚ. Ἐπεῖσι. ἐτώμασεν, ἔμισγεν, ἀνέδυτεν.

236 ΑΑ. Ἐπιλάθωνται.

238 ΠΕΠ. Κρύσασα, σπήξασα. ΣΥ. Ταῖς τῶν χοίρων μάνδραις. ΕΕΡ. Σαυίκλειν.

240 ΑΥ. Οὐχ ὁ σύμπας, ἀλλὰ καὶ καὶ τὸ φιλάνθρωπον μέσον· διὸ καὶ σαίνουσιν, ὥσπερ ἀελφῖνες, Φιλάνορα ἡ οὐκ ἔλιπον βιοτὰν, κατὰ τὸ Πίνδαρον. ΕΜ. Βέβαιον.

241 ΕΕΡ. Συγκεκλεισμένοι ἦσαν.

242 ΑΚ. Τὸν τὸ σῖτον κρατόν. ΒΑ. Δρυὸς κρατόν. ΚΡΑ. Ὁ τῆς κραιπάλης κρατὴς, πέπαξις λέγεται.

243 ΧΑ. Ἐπὶ βοῦς ὀρύσσουσι καὶ κοιμῶνται.

245 ΑΔ. Ἀνιστόρητον.

247 ΚΗΡ. Τῷ ψυχρῷ. ΒΕ. Τετραμένον.

248 ΩΙ. Προτιθέχθω, διατεῖται.

249 ΑΓ. Ἐμιμψάμεθα. ΑΓ. Ὀρμιζόμεθα.

" Καὶ

" Καὶ τότε τῶ ἄλλων ἑτάρων κατέλεξεν ὄλεθρον·
" Ἤιομεν, ὡς ἐκέλοιες, ἀνὰ δρυμὰ, Φαίδιμ' Ὀδυσσεῦ·
" Εὕρομεν ἐν βήσσῃσι πετυγμένα δώματα καλὰ
" Ξεστῖσιν λάεσσι, θεσπεσίῃ ἐνὶ χώρῳ.
" Ἔνθα δέ τις μέγαν ἰσὸν ἐποιχομένη λίγ' ἄειδεν,
" Ἢ θεὸς, ἠὲ γυνή· τοὶ δ' ἐφθέγγοντο καλεῦντες.
" Ἡ δ' αἶψ' ἐξελθοῦσα θύρας ὤιξε φαεινὰς,
" Καὶ κάλεσ· οἱ δ' ἅμα πάντες ἀϊδρείῃσιν ἕποντο·
" Αὐτὰρ ἐγὼν ὑπέμεινα, διαστάμενος δόλον εἶναι.
" Οἱ δ' ἅμ' ἀϊσθήσαν ἀολλέες, ὧδέ τις αὐτῶν
" Ἐξεφάνη· δηρὸν γὰρ καθήμενος ἐσκοπίαζον.
" Ὡς ἔφατ'· αὐτὰρ ἐγὼ θεὶ μὲν ξίφος ἀργυρόηλον
" Ὠμοῖιν βαλόμην, μέγα, χάλκειον· ἀμφὶ δὲ τόξα.
" Τὸν δ' αἶψ' ἡνώγεα αὐτὴν ὁδὸν ἡγήσασθαι.
" Αὐτὰρ ὅγ' ἀμφοτέρῃσι λαβὼν ἐλλίσσετο γένων,
" Καί μ' ὀλοφυρόμενος ἔπεα πτερόεντα προσηύδα·
" Μή μ' ἄγε κεῖσ' ἀέκοντα, διοτρεφὲς, ἀλλὰ λίπ' αὐτοῦ·
" Οἶδα γὰρ, ὡς ὅτ' αὐτὸς ἐλεύσεαι, ὅτε τίν' ἄλλον
" Ἄξεις σῶν ἑτάρων· ἀλλὰ ξὺν τοῖσδε θᾶσσον
" Φεύγωμεν· ἔτι γάρ κεν ἀλύξαιμεν κακὸν ἦμαρ.
" Ὡς ἔφατ'· αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
" Εὐρύλοχ', ἦτοι μὲν σὺ μένε' αὐτοῦ τῷδ' ἐνὶ χώρῳ,
" Ἔδων καὶ πίνων, κοίλῃ παρὰ νηῒ μελαίνῃ·

251 ΗΟ. Ἐπερεύσομεν.
259 ΑΙΣ. Ἡφαίστοιο.
260 ΕΣ. Κατασκόπων.
266 ΑΓΕ. Ἄπαγε. ΑΙ. Κατίλιπε.
267 ΕΛ. Ἐλεύσῃ.
268 ΑΞ. Κομίσεις.
269 ΑΛ. Ἐκφύγοιμεν.
272 ΕΣ. Ἐδόων.

" Αὐτὰρ

" Αὐτὰρ ἐγὼν εἰμὶ· κραδίη δέ μοι ἔπλετ' ἀνάγκη.
" Ὡς εἰπὼν, παρὰ νηὸς ἀνήϊον, ἠδὲ θαλάσσης.
" Ἀλλ' ὅτε δὴ ἄρ' ἔμελλον, ἰὼν ἱερὰς ἀνὰ βήσας,
" Κίρκης ἴξεσθ πλυφαρμάκυ ἐς μέγα δῶμα,
" Ἔνθα μοι Ἑρμείας χρυσόῤῥαπις ἀντεβόλησεν
" Ἐρχομένῳ ποτὶ δῶμα, νεηνίῃ ἀνδρὶ ἐοικώς,
" Πρῶτον ὑπηνήτῃ, τοῦπερ χαριεστάτη ἥβη·
" Ἕν τ' ἄρα μοι φῦ χειρὶ, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε·
" Πῆ δ' αὖτως, δύσηνε, δι' ἄκριας ἔρχεαι οἶος,
" Χώρυ ἄϊδρις ἐών; ἕταροι δέ τοι οἷδ' ἐνὶ Κίρκης
" Ἔρχαται, ὥστε σύες πυκινὸς κοθμῶνας ἔχοντες.
" Ἦ τὸς λυσόμενος δεῦρ' ἔρχεαι; ἠδέ σε φημὶ
" Αὐτὸν νοσήσειν, μενέεις δέ σὺ, ἔνθα περ ἄλλοι.
" Ἀλλ' ἄγε δή σε κακῶν σκλύσομαι, ἠδέ σαώσω·
" Τῆ τόδε φάρμακον ἐσθλὸν, ἔχων δ' ἐς δώματα Κίρκης
" Ἔρχευ, ὅ κέν τοι κρατὸς ἀλαλκήσῃ κακὸν ἦμαρ.
" Πάντα δέ τοι ἐρέω ὀλοφώϊα δήνεα Κίρκης·
" Τεύξῃ τοι κυκεῶ, βαλέῃ δ' ἐνὶ φάρμακα σίτῳ·

273 ΕΙ. Πορεύομαι. ΚΡΑ. Ἰχνυά.
275 ΙΕ. Τὰς ἀποῤῥήτους.
277 ΧΡΥ. Χρυσῆν ῥάβδον ἔχων. ΑΝ. Σωίτυχιν.
278 ΝΕ. Νεωτέρῳ.
279 ΥΠ. Ἄρτι χλοιῶντι. Ὑπήνη δέ ἐστι, τὸ ἐπάνω χείλος, ἀφ' οὗ πρῶτον χλοιᾶται γνῆς, ὅ ἐστι, ἡ πρώτη δ' χλοιὰ ἐκφυσις. ΗΒ. Ἀκμὴ, ἡλικία.
281 ΑΥ. Ἔνιοι, αὖτ' ὦ. ΑΚ. Ἀκραις ἔχοντας τοπους, τουτέστι τραχεῖς καὶ ὑλώδεις.
282 ΑΙ. Ἄπειρος.
283 ΕΡ. Συγκέκλειν). ΣΥ. Χοῖροι. ΠΥ. Πυκνὸς, στοιχεῖς. ΚΕΥΘ. Νῶτὸς τόπους, ὅπου κρύπτοι), καὶ συγκλεισμένοι εἰσίν.
286 ΕΚ. Ἐλεύθερώσομαι, λυτρώσομαι. ΣΑ. Σώσω.
288 ΑΛ. Βοηθήσῃ.
289 ΟΛ. Ὀλίθρια. ΔΗ. Βλεύμματα.
290 ΤΕΥ. Κατασκευάσῃ. ΚΥ. Κυκεῶνα καὶ ἀπλοῦν. Κυκεὼν ἢ λίχλαγα τὸ ἐξ οἴνου καὶ μέλιτος καὶ ἀλφίτων καὶ ὕδατος καὶ τυροῦ ἀναμεμιγμένον πόμα.

" Ἀλλ'

" Ἀλλ' ἄϑ' ὡς ϑέλξαι σε διωήσεται· ἀ γὰ ἐάσω
" φάρμακον ἐσθλὸν, ὅ τοι δώσω· ἐρέω δὲ ἕκαστα·
" Ὁππότε κεν Κίρκη σ' ἐλάσῃ τανυήκεϊ ῥάϐδῳ,
" Δὴ τότε σὺ ξίφος ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ,
" Κίρκῃ ἐπαΐξαι, ὥς κε πτάμεναι μενεαίνων.
" Ἡ δέ σ' ὑποδδείσασα κελήσεται εὐνηθῆναι·
" Ἔνθα σὺ μηκέτ' ἔπειτ' ἀπανήνασθαι ϑεὸν εὐνὴν,
" Ὄφρα κέ τοι λύσῃ τ' ἑτάρους, αὐτόν τε κομίσῃ·
" Ἀλλὰ κέλεσθαί μιν μακάρων μέγαν ὅρκον ὀμόσσαι,
" Μή τί τοι αὐτῷ τῆμα κακὸν βουλεύσεμεν ἄλλο,
" Μή σ' ἀπογυμνωθέντα κακὸν καὶ ἀνήνορα ϑείη.
" Ὡς ἄρα φωνήσας ῥόρε φάρμακον Ἀργειφόντης,
" Ἐκ γαίης ἐρύσας, καί μοι φύσιν αὐτὸς ἔδειξεν.
" Ῥίζῃ μὲν μέλαν ἔσκε, γάλακτι δὲ εἴκελον ἄνθος·
" Μῶλυ δέ μιν καλέουσι ϑεοί· χαλεπὸν δέ τ' ὀρύσσειν
" Ἀνδράσι γε ϑνητοῖσι· ϑεοὶ δέ τε πάντα δύνανται.
" Ἑρμείας μὲν ἔπειτ' ἀπέϐη ἐς μακρὸν Ὄλυμπον,
" Νῆσον ἀν' ὑλήεσσαν· ἐγὼ δ' ἐς δώματα Κίρκης
" Ἴα· πολλὰ δέ μοι κραδίη πόρφυρε νιόντι.
" Ἔσην δ' εἰνὶ ϑύρῃσι ϑεᾶς καλλιπλοκάμοιο·
" Ἔνθα στᾶς ἐϐόησα, ϑεὰ δέ μοῦ ἔκλυεν αὐδῆς.

291 ΘΕΛ. Κακῶσαι, τ' νῦν ἀλεωῶσαι.
293 ΕΛ. Τύψαι, κρύσαι.
296 ΥΠ. Φοϐηθεῖσα.
297 ΑΠ. Ἀπαρνήσασθαι, ἀντὶ τοῦ ἀπαρνήσῃ.
298 ΚΟΜ. Κωμιδῆς καὶ ἐπιμελείας ἐμάσῃ.
299 ΚΕ. Κινῆσαι, ἀντὶ τοῦ κίνδυνεύσαι.
301 ΑΠ. Τὸ ξίφος, ἀπεϑέμην. ΑΝ. Ἀναιρεῖν. ΘΕΙ. Ποιήσῃ.
303 ΕΡ. Ἑλκύσας. ΦΥ. Νεῦ τὸ ἕλκος.
305 ΜΩ. Βοτάνης εἶδος, παρὰ τὸ μωλύειν, ὅ ἐστιν ἀφαιρεῖσθαι τὰ φάρμακα· φασὶ γὰρ, τῶτο ἐλκόμενον τῶν ῥίζης, τὴν τέλλ ϑάνατον ἐπιφέρειν τῷ ἀπατωῶντι. ΧΑ. Μοχθηρὸν, δυσχερές.
309 ΠΟΡ. Διεϐοήσατο.

" Ἡ δ'

" Ἡ δ' αἶψ' ἐξελθοῦσα θύρας ὤϊξε φαεινὰς,
" Καὶ κάλεϊ· αὐτὰρ ἐγὼν ἑπόμην, ἀκαχήμενος ἦτορ.
" Εἶσε δέ μ' εἰσαγαγοῦσα ἐπὶ θρόνου ἀργυροήλου,
" Καλοῦ, δαιδαλέου· ὑπὸ δὲ θρῆνυς ποσὶν ἦεν. 315
" Τεῦξε δέ μοι κυκεῶ χρυσείῳ δέπαϊ, ὄφρα πίοιμι·
" Ἐν δέ τε φάρμακον ἧκε, κακὰ φρονέουσ' ἐνὶ θυμῷ.
" Αὐτὰρ ἐπεὶ δῶκέν τε καὶ ἔκπιον, οὐδέ μ' ἔθελξεν,
" Ῥάβδῳ πεπληγυῖα, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν·
" Ἔρχεο νῦν συφεόνδε, μέτ' ἄλλων * λέξο ἑταίρων. 320
" Ὣς φάτ'· ἐγὼ δ' ἄορ ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ,
" Κίρκην ἐπῄϊξα, ὥςτε κταμένην μενεαίνων.
" Ἡ δ' ἠΰ μέγα ἰάχουσα ὑπαὶ δραμε, καὶ λάβε γούνων,
" Καί μ' ὀλοφυρομένη ἔπεα πτερόεντα προσηύδα·
" Τίς; πόθεν εἰς ἀνδρῶν; πόθι τοι πόλις ἠδὲ τοκῆες; 325
" Θαῦμά μ' ἔχει, ὡς ὅτι πιὼν τάδε φάρμακ' ἐθέλχθης.
" Οὐδὲ γὰρ ἀδέ τις ἄλλος ἀνὴρ τάδε φάρμακ' ἀνέτλη,
" Ὅς κε πίῃ, καὶ πρῶτον ἀμείψῃ ἕρκος ὀδόντων·
" Σοὶ δέ τις ἐν στήθεσσιν ἀκήλητος νόος ἐστίν.
" Ἦ σύ γ' Ὀδυσσεύς ἐσσι πολύτροπος, ὅν τέ μοι αἰεὶ 330
" Φάσκεν ἐλεύσεσθαι χρυσόῤῥαπις Ἀργειφόντης,
" Ἐκ Τροίης ἀνιόντα θοῇ σὺν νηῒ μελαίνῃ;
" Ἀλλ' ἄγε δὴ κολεῷ μὲν ἄορ θέο, νῶϊ δ' ἔπειτα

318 ΕΘ. Ἠλοίωσιν.
320 ΣΥ. Εἰς τὸν τῶν χοίρων μάνδραν. ΛΕ. Κοιμήθηθι, ἢ δρεμμήθητι.
322 ΕΠ. Ἐφώρμησα.
323 ΜΕ. Διὰ τὸ φοβεῖσθαι πρωθῆναι, ὅπερ ἀπεθανεῖν.
326 ΕΘ. Ἠλοιώθης.
327 ΑΝ. Ὑπίμνησιν.
328 ΑΜ. Παρίλθη.
329 ΑΚ. Ἄηλκτος, ἀκράτητος, ἀπαράτητος.
331 ΦΑΣ. Ἔλιγεν.
333 ΘΕ. Ἀπόθι, ἔμπαλι.

* al. λίξον et λίξαι.

" Εὐνῆς

" Εὐνῆς ἡμετέρης ὀπιθήσομεν, ὄφρα μιγέντε
" Εὐνῇ καὶ φιλότητι, πεπείθομεν ἀλλήλοισιν.
" Ὣς ἔφατ', αὐτὰρ ἐγὼ μιν ἀμειβόμενος προσέειπον·
" Ὦ Κίρκη, πῶς γάρ με κέλῃ σοι ἤπιον εἶναι;
" Ἦ μοι σῦς μὲν ἔθηκας ἐνὶ μεγάροισιν ἑταίρους·
" Αὐτὸν δ' ἐνθάδ' ἔχουσα, δολοφρονέουσα κελεύεις
" Ἐς θάλαμόν τ' ἰέναι, καὶ σῆς ὀπιθήμεναι εὐνῆς,
" Ὄφρα με γυμνωθέντα, κακὸν καὶ ἀνήνορα θείης;
" Οὐδ' ἂν ἔγωγ' ἐθέλοιμι τεῆς ὀπιθήμεναι εὐνῆς,
" Εἰ μή μοι τλαίης γε, θεὰ, μέγαν ὅρκον ὀμόσσαι,
" Μήτι μοι αὐτῷ πῆμα κακὸν βουλεύσεμεν ἄλλο.
" Ὣς ἐφάμην· ἡ δ' αὐτίκ' ἀπώμνυεν, ὡς ἐκέλευον.
" Αὐτὰρ ἐπεί ῥ' ὄμοσέν τε τελεύτησέν τε τ' ὅρκον,
" Καὶ τότ' ἐγὼ Κίρκης ἐπέβην περικαλλέος εὐνῆς.
" Ἀμφίπολοι δ' ἄρα κεδνὰ ἐνὶ μεγάροισι πένοντο
" Τέσσαρες, αἳ οἱ δῶμα κατὰ δρήσειραι ἔασι.
" Γίνονται δ' ἄρα τάγ' ἔκ τε κρηνέων, ἀπό τ' ἀλσέων,
" Ἔκ θ' ἱερῶν ποταμῶν, οἵτ' εἰς ἅλαδε προρέουσι.
" Τάων ἡ μὲν ἔβαλλε θρόνοις ἔνι ῥήγεα καλὰ,
" Πορφύρεα καθύπερθ', ὑπένερθε δὲ λῖτ' ὑπέβαλλεν·
" Ἡ δ' ἑτέρη προπέροιθε θρόνων ἐτίτυνε τραπέζας

315 ΠΕ. Πιστώσομεν, μαρτύρωμεν.
337 ΚΕ. Κελεύεις.
340 ΙΕ. Εισπίναι.
341 ΓΥΜ. Τὸ ξίφος ἀποθήμονα. ΑΝ. Ἄνευ. ΘΕΙ. Ποιήσεις.
348 ΠΕ. Ἐνέργει.
349 ΔΡΗ. Ὑπηρέτας, ἀλάκοτοι.
350 ΓΙ. Ὑφίστανται νύμφας πινὰς ἐξ ὑδάτων· πινὲς δ', ὑπηρέτην, Ἡ δὲ τετάρτη ὕδωρ ἐφορᾷ ἔκ τε κρηνῶν. εἰ δ' ἀληθεύει, Κίρκῳ μὲν λέγοντες, τὸν σύμπαντα, τέσσαρας δ' θεραπαινίδας, τὰς ὥρας. ΚΡΗ. Ἔνθα αἱ Ναιάδες νύμφαι, καὶ αἱ Δρυάδες.
352 ΕΒ. Ἐπιτίθει.
353 ΑΙ. Ἁπλᾶ ἐριθάλαμα.
354 ΕΤ. Ἔτεινε, ἔλκεν.

 " Ἀργυρέας,

" Ἀργυρέας, ἐπὶ δέ σφι τίθει χρύσεια κάνεια·
" Ἡ δὲ τρίτη κρητῆρι μελίφρονα οἶνον ἐκίρνα
" Ἡδὺν ἐν ἀργυρέῳ, νέμε δὲ χρύσεια κύπελλα·
" Ἡ δὴ τετάρτη ὕδωρ ἐφόρει, ὑπὸ πῦρ ἀνέκαιε
" Πολλὸν ὑπὸ τρίποδι μεγάλῳ· ἰαίνετο δ' ὕδωρ.
" Αὐτὰρ ἐπειδὴ ζέεσεν ὕδωρ ἐνὶ ἤνοπι χαλκῷ,
" Ἐς ῥ' ἀσάμινθον ἔσασα, λό' ὑπὸ τρίποδος μεγάλοιο,
" Θυμῆρες κεράσασα κατὰ κρατός τε ἠδ' ὤμων,
" Ὄφρα μοι ἐκ κάματον θυμοφθόρον εἵλετο γυίων.
" Αὐτὰρ ἐπεὶ λάσέν τε, ἠδ' ἔχρισεν λίπ' ἐλαίῳ,
" Ἀμφὶ δέ με χλαῖναν καλὴν βάλεν, ἠδὲ χιτῶνα·
" Εἶσε δέ μ' εἰσαγαγοῦσα ὑπὲρ θρόνου ἀργυροήλου,
" Καλοῦ, δαιδαλέου· ὑπὸ δὲ θρῆνυς ποσὶν ἦεν.
" Χέρνιβα δ' ἀμφίπολος προχόῳ ἐπέχευε φέρουσα
" Καλῇ, χρυσείῃ, ὑπὲρ ἀργυρέοιο λέβητος,
" Νίψασθαι· παρὰ δὲ ξεστὴν ἐτάνυσσε τράπεζαν.
" Σῖτον δ' αἰδοίη ταμίη παρέθηκε φέρουσα,
" Εἴδατα πολλ' ὑποθεῖσα, χαριζομένη παρεόντων.
" Ἐσθέμεναι δ' ἐκέλευεν· ἐμῷ δ' οὐκ ἤνδανε θυμῷ·
" Ἀλλ' ἦμαι ἀλλοφρονέων, κακὰ δ' ὄσσετο θυμός.
" Κίρκη δ' ὡς ἐνόησεν ἔμ' ἥμενον, οὐδ' ἐπὶ σίτῳ
" Χεῖρας ἰαλλεντα, συνερὸν δέ με πένθος ἔχοντα,

355 ΚΑ. Καυίσκια.
357 ΝΕ. Διειδέα.
359 ΙΑΙ. Ἐθερμαίνετο.
360 ΗΝ. Διαωγαί, ἐν ᾧ ἔστιν ἰδεῖν αὐτόν.
361 ΑΣ. Τῷ πύελον, ἥτοι λουτῆρα, παρὰ τὸ ἄσιν μινύθειν. ΕΣ. Καθίσασα, ἐμποδίσασα. ΛΟ. Ἕλκει.
362 ΘΥ. Καταθύμιον, ἡδύ.
363 ΘΥ. Τῷ ψυχῷ ἀφαφάρουσα.
374 ΑΛ. Ἄκκα σύνοιδα, ἄκκα διαιμέμφομαι. ΟΣ. Προτέρωσα.
376 ΙΑΛ. Ἐπιδάλλοντα.

" Ἄγχι

" Ἄγχι παρισταμένη ἔπεα πτερόεντα προσηύδα·
" Τίφθ' ἅτως, Ὀδυσεῦ, κατ' ἄρ' ἔζεαι ἶσος ἀναύδῳ,
" Θυμὸν ἔδων; βρώμης δ' ἄχ ἅπτεαι, ὐδὲ ποτῆτος;
" Ἦ τινά πᾳ δόλον ἄλλον ὀΐεαι; ὐδ' ἔτι σε χρὴ
" Δειδίμεν· ἤδη γάρ τοι ἀπώμοσα καρτερὸν ὅρκον.
" Ὣς ἔφατ'· αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον,
" Ὦ Κίρκη, τίς γάρ κεν ἀνὴρ, ὃς ἐναίσιμος εἴη,
" Πρὶν τλαίη πάσασθαι ἐδητύος, ἠδὲ ποτῆτος,
" Πρὶν λύσασθ' ἑτάρους ᾗ ἐν ὀφθαλμοῖσιν ἰδέσθαι;
" Ἀλλ' εἰ δὴ πρόφρασσα πιεῖν, φαγέμεν τε κελεύεις,
" Λῦσον, ἵν' ὀφθαλμοῖσιν ἴδω ἐρίηρας ἑταίρους.
" Ὣς ἐφάμην· Κίρκη δὲ δι' ἐκ μεγάροιο βεβήκει,
" Ῥάβδον ἔχουσ' ἐν χειρὶ, θύρας δ' ἀνέωγε συφειοῦ·
" Ἐκ δ' ἔλασεν σιάλοισιν ἐοικότας ἐννεώροισιν.
" Οἱ μὲν ἔπειτ' ἔστησαν ἐναντίοι· ἡ δὲ δι' αὐτῶν
" Ἐρχομένη προσέλειφεν ἑκάστῳ φάρμακον ἄλλο.
" Τῶν δ' ἐκ μὲν μελέων τρίχες ἔρρεον, ἃς πρὶν ἔφυσε
" Φάρμακον ἀλόμενον, τό σφιν πόρε πότνια Κίρκη·
" Ἄνδρες δ' αἶψ' ἐγένοντο νεώτεροι, ἢ πάρος ἦσαν,
" Καὶ πολὺ καλλίονες καὶ μείζονες εἰσοράασθαι.
" Ἔγνωσαν δέ με κεῖνοι, ἔφυν τ' ἐν χερσὶν ἕκαστος·
" Πᾶσιν δ' ἱμερόεις ὑπέδυ γόος, ἀμφὶ δὲ δῶμα

378 ΕΖ. Καθίζη. ΑΝ. Ἀφώνῳ.
379 ΠΟ. Ποτῆ.
381 ΔΕΙ. Φοβῆαι.
383 ΈΝ. Δίκαιος.
384 ΠΑΣ. Γεύσασθαι.
386 ΠΡΟ. Πρόθυμος.
389 ΣΥ. Τῆ συφειῶϑ.
390 ΣΙ. Εὐτροφίσιν. ΕΝ. Ἐπίκ ἐτῶν ὄσιν.
393 ΕΦ. Ἐποίκοι φυῆσιν.
394 ΟΥ. Ὀλίθριον.
397 ΕΓ. Ἐγνώρισαν. ΕΦ. Προσφυῶς ἐπλημμύκησαν.
398 ΙΜ. Ἐρύσμιος, ἡδύς. ΥΠ. Ὑπεστήλωσεν.

" Σμερδαλέον κονάβιζε· θεὰ δ' ἐλέαιρε κῆ αὐτή·
" Ἡ δὲ μὺ ἄγχι ϛᾶσα προσηύδα δῖα θεάων·
" Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
" Ἔρχεο νωῖ ἐπὶ νῆα θοὴν κὴ ἶνα ϝαλάσσης·
" Νῆα μὲν ἂρ πάμπρωτον ἐρύσσατε ἢπειρόνδε,
" Κτήματα δ' ἐν σπῆεσι πελάσσαϛε, ὅπλα τε πάντα·
" Αὐτὸς δ' αἶψ' ἰέναι, κῆ ἄγειν ἐρίηρας ἑταίρους.
" Ὣς ἔφατ'· αὐτὰρ ἔμοιγ' ἐπεπείθετο ϝυμὸς ἀγήνωρ·
" Βῆν δ' ἰέναι ἐπὶ νῆα θοὴν κῆ ἶνα ϝαλάσσης.
" Εὗρον ἔπειτ' ἐπὶ νηῖ θοῇ ἐρίηρας ἑταίρους
" Οἰκτρ' ὀλοφυρομένους, θαλερὸν κατὰ δάκρυ χέοντας.
" Ὡς δ' ὅταν ἄγραυλοι * πόρκες περὶ βῶς ἀγελαίας
" Ἐλθόσας ἐς κόπρον, ἐπὴν βοτάνης κορέσωνται,
" Πᾶσαι ἅμα σκαίρουσιν ἐναντίαι· ὐδέτι σηκοὶ
" Ἴσχουσ', ἀλλ' ἀδινὸν μυκώμεναι ἀμφιθέουσι
" Μητέρας· ὣς ἐμὲ κεῖνοι, ἐπεὶ ἴδον ὀφθαλμοῖσι,
" Δακρυόεντες ἔχυντο· δόκησε δ' ἄρα σφίσι ϝυμὸς
" Ὡς ἔμεν, ὡς εἰ πατρίδ' ἱκοίατο κῆ πόλιν αὐτῶν
" Τρηχείης Ἰθάκης, ἵνα τ' ἐτράφεν, ἠδ' ἐγένοντο·
" Καί μ' ὀλοφυρόμενοι ἔπεα πτερόεντα προσηύδων·
" Σοὶ μὲν νοσήσαντι, διοτρεφὲς, ὡς ἐχάρημεν,

403 ΕΡ. Ἐλκύσατε.
404 ΣΠΗ. Σπηλαίοις. ΠΕ. Νωῖ, ἀντὶ ϝ δασέως.
405 ΙΕ. Νωῖ, ἀντὶ ϝ ἀποτρέφει.
409 ΟΙΚ. Οἰκτρῶς ὀδυρομένους.
410 ΑΓ. Ἐν ἀχροῖς αὐλιζόμενοι. ΠΟΡ. Νέμῃ βοῦς, μέσχοι. ΑΓ. Νομαίας, ἀζεύκτους.
411 ΚΟ. Τοὺς ϛέσιν τῶν βοῶν. ΒΟ. Τῆς νομῆς. ΚΟ. Κορεσθῶσι.
412 ΣΚΑΙ. Σκιρτίζουσι, σκιρτῶσι. ΕΝ. Ἀπέναντίας. ΣΗ. Ἐπαύλεις.
413 ΙΣ. Κατίσχουσι. ΑΔ. Οἰκτρῶς. ΜΥ. Βοῶσιν. Μυκηθμὸς γὰρ ἡ φωνὴ τῶν βοῶν. ΑΜ. Περιτρέχουσιν.
415 ΕΧ. Ἐπέδραμον. ΔΟ. Ὑπελαῦνον.
416 ΩΣ. Οὕτως εἶναι. ΕΜ. Εἶναι.
417 ΙΝΑ. Ὅπως. ΕΤ. Ἐτράφησαν. ΕΓ. Ἐβιώθησαν.

* al. πόρπις.

" Ὡς

" Ὡς εἴτ' εἰς Ἰθάκην ἀφικοίμεθα πατρίδα γαῖαν·
" Ἀλλ' ἄγε, τ' ἄλλων ἑτάρων κατάλεξον ὄλεθρον.
" Ὡς ἔφαν· αὐτὰρ ἐγὼ πεφιδόμην μαλακοῖς ἐπέεσσιν·
" Νῆα μὲν ἂρ πάμπρωτον ἐρύσσομεν ἠπείρονδε,
" Κτήματά τ' ἐν σπήεσσι πελάσσομεν, ὅπλα τε πάντα·
" Αὐτὸς δ' ὀτρύνεσθε ἐμοὶ ἅμα πάντες ἕπεσθαι,
" Ὄφρα ἴδηθ' ἑτάρους, ἱεροῖς ἐν δώμασι Κίρκης
" Πίνοντας καὶ ἔδοντας· ἐπήετανὸν γὰρ ἔχουσιν.
" Ὡς ἐφάμην· οἱ δ' ὦκα ἐμοῖς ἐπέεσσι πίθοντο·
" Εὐρύλοχος δέ μοι οἷος ἐρύκανε πάντας ἑταίρους,
" Καί σφεας φωνήσας, ἔπεα πτερόεντα προσηύδα·
" Ἆ δειλοί, πόσ' ἴμεν; τί κακῶν ἱμείρετε τόδων,
" Κίρκης ἐς μέγαρον καταβήμεναι; ἤ κεν ἅπαντας
" Ἢ σῦς, ἠὲ λύκους ποιήσει, ἠὲ λέοντας·
" Οἵ κέν οἱ μέγα δῶμα φυλάσσοιμεν καὶ ἀνάγκῃ.
" Ὡσπερ Κύκλωψ ἔρξε, ὅτε οἱ μεσαύλιον ἵκοντο
" Ἡμέτεροι ἕταροι, σὺν δ' ὁ θρασὺς εἵπετ' Ὀδυσσεύς·
" Τόφρα καὶ κεῖνοι ἀταθαλίῃσιν ὄλοντο.
" Ὡς ἔφατ'· αὐτὰρ ἔγωγε μνησὶ φρεσὶ μερμήριξα,
" Σπασσάμενος τανύηκες ἄορ παχέος περὶ μηροῦ,
" Τῷ οἱ ἀποθυμήναι κεφαλὴν ἀδὰς δὲ πελάσσαι,
" Καὶ ὠμῷ περ ἐόντι μάλα σχεδόν· ἀλλά μ' ἑταῖροι

420 ΑΦ. Παρακλυσίμεθα.
424 ΠΕ. Ἀποθώμεθα.
427 ΕΠ. Δαψιλὴς.
429 ΕΡ. Κατίσχειν, σκώλυειν.
431 ΔΕΙ. Ἄθλιοι. ΠΟ. Ἐς τίνα τόπον; ΙΜ. Ἐπιθυμεῖτε.
432 ΚΑ. Καίσασθαι ὑπερωΐοθεν.
434 ΦΥ. Τηροῖμεν.
435 ΜΕΣ. Τῷ ἐπαύλιον.
436 ΘΡΑ. Τολμηρός.
439 ΣΠΑ. Ἐπισπασάμενος.
440 ΟΥ. Εἰς τὸ ἐδαφος ῥίψαι.
441 ΠΗ. Συγχωρεῖ. Κτημάτων γὰρ ἐπιμελοῦμαι τῶν Ὀδυσσέως ἀδελφῶν.

" Μειλιχίοις

" Μειλιχίοις ἐπέεσσιν ἐρήτυον ἄλλοθεν ἄλλος·
" Διογενὲς, τῶτον μὲν ἐάσομεν, εἰ σὺ κελεύεις,
" Αὐτῶ παὶρ νηῒ τε μιμεῖν καὶ νῆα ἐρυσσ·
" Ἡμῖν δ' ἠγεμόνευ' ἱερὰ πρὸς δώματα Κίρκης. 445
" Ὡς φάμενοι, παρὰ νηὸς ἀνήϊον ἠδὲ θαλάσσης.
" Οὐδὲ μὲν Εὐρύλοχος κοίλῃ παρὰ νηῒ λέλειπτο,
" Ἀλλ' ἕπε· ἔδδεισεν γὰρ ἐμὴν ἔκπαγλον ἐνιπήν.
" Τόφρα δὲ τὰς ἄλλας ἑτάρας ἐν δώμασι Κίρκη
" Ἐνδυκέως λοῦσέν τε, καὶ ἔχρεσεν λίπ' ἐλαίῳ· 450
" Ἀμφὶ δ' ἄρα χλαίνας ἕλας βάλεν, ἠδὲ χιτῶνας·
" Δαινυμένους δ' ἄρα πάντας ἐφεύρομεν ἐν μεγάροισιν.
" Οἱ δ' ἐπεὶ ἀλλήλους εἶδον, φράσαντό τε πάντα,
" Κλαῖον ὀδυρόμενοι, πρὶν δὲ ξυναχίζετο δῶμα.
" Ἡ δέ μευ ἄγχι στᾶσα προσηύδα δῖα θεάων· 455
" Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
" Μηκέτι νῦν θαλερὸν γόον ὄρνυτε· οἶδα καὶ αὐτὴ
" Ἡμὲν ὅσ' ἐν πόντῳ πάθετ' ἄλγεα ἰχθυόεντι,
" Ἠδ' ὅσ' ἀνάρσιοι ἄνδρες ἐδηλήσαντ' ἐπὶ χέρσῳ.
" Ἀλλ' ἄγετ', ἐσθίετε βρώμην, καὶ πίνετε οἶνον, 460
" Εἰσόκεν αὖτις θυμὸν ἐνὶ στήθεσσι λάβητε,
" Οἷον ὅτε πρῶτιστον ἐλείπετε πατρίδα γαῖαν

444 ΕΡ. Φυλάττειν.
445 ΗΓ. Ἡγῶ.
446 ΑΝ. Ἀνήρχοντο.
448 ΕΚ. Ἔξοχον, μεγάλων. ΕΝ. Ὕδραν, κακολογίαν, ἐπίπληξιν, ἀπατηλώ.
450 ΕΝ. Ἐπιμελῶς.
451 ΟΥ. Ἔνιοι, καλάς.
453 ΦΡΑΣ. Ἐπίγνωσαν.
454 ΠΕ. Πεμπήχεα.
457 ΘΑ. Ἀχμαῖον, νέον. ΟΡ. Διεγείρεσθε.
458 ΙΧ. Ἰχθῦς ἔχουσι.
459 ΑΝ. Πολίμιοι. ΕΔ. Ἔδακψαν.

" Τρηχείης

" Τρηχείης Ἰθάκης· νῦν δ' ἀσκελέες καὶ ἄθυμοι,
" Αἰὲν ἄλης χαλεπῆς μεμνημένοι· ἀλλά μοι ὑμῖν
" Θυμὸς ἐν εὐφροσύνῃ, ἐπεὶ μάλα πολλὰ πέπαθε.
" Ὡς ἔφαθ'· ἡμῖν δ' αὖτ' ἐπεπείθετο θυμὸς ἀγήνωρ.
" Ἔνθα μὲν ἤματα πάντα τελεσφόρον εἰς ἐνιαυτὸν
" Ἥμεθα, δαινύμενοι κρέα τ' ἄσπετα καὶ μέθυ ἡδύ·
" Ἀλλ' ὅτε δὴ ῥ' ἐνιαυτὸς ἔην, καὶ δ' ἔτραπον ὧραι,
" Μηνῶν φθινόντων, καὶ δ' ἤματα μακρὰ τελέθη,
" Καὶ τότε μ' ἐκκαλέσαντες ἔφαν ἑρίηρες ἑταῖροι·
" Δαιμόνι', ἤδη νῦν μιμνήσκεο πατρίδος αἴης,
" Εἴ τοι θέσφατόν ἐστι σαωθῆναι, καὶ ἱκέσθαι
" Οἶκον ἐς ὑψόροφον καὶ σὴν ἐς πατρίδα γαῖαν.
" Ὡς ἔφαν· αὐτὰρ ἐμοιγ' ἐπεπείθετο θυμὸς ἀγήνωρ.
" Ὡς τότε μὲν πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
" Ἥμεθα, δαινύμενοι κρέα τ' ἄσπετα καὶ μέθυ ἡδύ·
" Ἦμος δ' ἠέλιος κατέδυ, καὶ ἐπὶ κνέφας ἦλθεν,
" Οἱ μὲν κοιμήσαντο κατὰ μέγαρα σκιόεντα·
" Αὐτὰρ ἐγὼ Κίρκης ἐπιβὰς πολυκαλλέος εὐνῆς,
" Γούνων ἐλλιτάνευσα· θεὰ δέ μευ ἔκλυεν αὐδῆς·
" Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδων·
" Ὦ Κίρκη, τέλεσόν μοι ὑποσχεσίην, ἣν περ ὑπέσχου,
" Οἴκαδε πεμψέμεναι· θυμὸς δέ μοι ἔνδοθι ἤδη,

463 ΑΣ. Ἄγαν κατεσκληκότες, σκληροὶ, σκιλίζοιμοι, καὶ πεπυκνωμένοι· ἢ ἄγαν κεκμηκότες. ΑΘ. Κεκακωμένοι τῷ ψυχῷ, οἷον ἄψυχοι.
464 ΑΛ. Πλάνης.
465 ΠΕ. Κέκμηκε, πεπόηται.
468 ΔΑΙ. Εὐωχούμενοι.
469 ΠΕ. Περιήλθον ἡ πάλιν οἱ καιροὶ ἐπὶ τῷ ὥρᾳ.
471 ΕΚ. Ἔξω καλίσαιλες.
472 ΜΙΜ. Ὑπεμνήσθη.
473 ΣΑ. Σωθῆναι.
481 ΓΟΥ. Τῶν γονάτων ἀψαμένου παρεκάλεσα.
483 ΥΠ. Ἢν περ ὑπεσχέθης.
484 ΕΣ. Ἑφορμᾶ.

" Ἠδ'

" Ἠδ' ἄλλων ἑτάρων, οἵ μευ φθινύθυσι φίλον κῆρ
" Ἀμφ' ἔμ' ὀδυρόμενοι, ὅτε πυ σύγε νόσφι γένηαι.
" Ὡς ἐφάμην· ἡ δ' αὐτίκ' ἀμείβετο δῖα θεάων·
" Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσεῦ,
" Μηκέτι νῦν ἀέκοντες ἐμῷ ἐνὶ μίμνετε οἴκῳ·
" Ἀλλ' ἄλλην χρὴ πρῶτον ὁδὸν τελέσαι, ἠδὲ ἱκέσθαι
" Εἰς Ἀΐδαο δόμους καὶ ἐπαινῆς Περσεφονείης,
" Ψυχῆς χρησομένους Θηβαίου Τειρεσίαο,
" Μάντιος ἀλαοῦ, οὗ τε φρένες ἔμπεδοί εἰσι·
" Τῷ δὲ τεθνειῶτι νόον πόρε Περσεφόνεια,
" Οἷῳ πεπνύσθαι· τοὶ δὲ, σκιαὶ ἀΐσσουσιν.
" Ὡς ἔφατ'· αὐτὰρ ἐμοιγε κατεκλάσθη φίλον ἦτορ·
" Κλαῖον δ' ἐν λεχέεσσι καθήμενος, οὐδέ τι θυμὸς
" Ἤθελ' ἔτι ζώειν καὶ ὁρᾶν φάος ἠελίοιο.
" Αὐτὰρ ἐπεὶ κλαίων τε κυλινδόμενός τε κορέσθην,
" Καὶ τότε δή μιν ἔπειτα ἀμειβόμενος προσέειπον·
" Ὦ Κίρκη, τίς γὰρ ταύτῃσι ὁδὸν ἡγεμονεύσει;
" Εἰς Ἄϊδος δ' ὔπω τις ἀφίκετο νηῒ μελαίνῃ.
" Ὡς ἐφάμην· ἡ δ' αὐτίκ' ἀμείβετο δῖα θεάων·
" Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσεῦ,

485 490 495 500

492 ΨΥ. Διατί ἂν οὖν αὐτὴ μαντεύεται; ὅπ οὖκ ἂν ἐπίστευσεν Ὀδυσεὺς, ἐρώσης αὐτῆς· ἢ καὶ μὲ Σειρῆνας, καὶ τὸ πορθμὸν, ὡς γειτνιῶσα, μηνύει· ἀφεὶ ὧν δὲ ὁ Τειρεσίας εἶπεν, ἐᾶσαι πλοῦν τῷ Κίρκῃ· ἀφεὶ δὲ τὰ λοιπῶν ἐπισκέπτεσθαι τὸ μάντι. ΧΡΗ. Μαθησόμενος.

494 ΤΩ. Διὸπ ἠθάσατο δύο θράκοντας ἐν τῷ Κιθαιρῶνι μιγνυμένους, καὶ παροτρύνας τῷ δράκοντι ἀνεῖλεν· ἐξ ὅτου ἐγένετο γυνὴ, καὶ πάλιν τὸ ἄρσεν, ἐξ ἀπέλασε τὴν ἰδίαν φύσιν. Ζεὺς δὲ καὶ Ἥρα, ἐπὰ ἐκατέροι μετέσχεν, κρίτὴν αὐτὸν εἵλοντο, τίς μᾶλλον ἥδεται ἐν συνουσίᾳ, ὁ ἀνὴρ, ἢ ἡ γυνή; ὁ δὲ εἶπεν, Οἶδα μὲν μοῖραν δέκα μοιρῶν τέρπεσθαι ἀνὴρ· τὰς δέκα δ' ἐμπίπλασι γυνὴ τέρπουσα νόημα. διὸ ἡ μὲν Ἥρα ἀργισθεῖσα, ἐπήρωσεν αὐτόν· ὁ δὲ Ζεὺς τὴν μαντικὴν ἔδωκεν.

495 ΠΕΠ. Σωφρονεῖ καὶ ἔμφρονα εἶναι. ΑΙ. Κινεῖ.

" Μή

" Μή τι τοι ἡγεμόνος γε ποθὴ ὧδ' ἀνὴ μελέσθω· 505
" Ἰσὸν δὲ ἑήσας, ἀνὰ δ' ἱστία λευκὰ πετάσας,
" Ἧζ'· τὴν δὲ κέ τοι πνοιὴ Βορέαο φέρησιν.
" Ἀλλ' ὁπότ' ἂν δὴ νῆι δι' ὠκεανοῖο περήσῃς,
" Ἔνθ' ἀκτή τε λάχεια καὶ ἄλσεα Περσεφονείης,
" Μακραί τ' αἴγειροι, καὶ ἰτέαι ὠλεσίκαρποι, 510
" Νῆα μὲν αὐτοῦ κέλσαι ἐπ' ὠκεανῷ βαθυδίνῃ,
" Αὐτὰς δ' εἰς Ἀΐδεω ἰένai δόμον εὐρώεντα.
" Ἔνθα μὲν εἰς Ἀχέροντα Πυριφλεγέθων τε ῥέουσι,
" Κώκυτός θ', ὃς δὴ Στυγὸς ὕδατός ἐστιν ἀπορρώξ,
" Πέτρη τε, ξύνεσίς τε δύω ποταμῶν ἐριδούπων. 515
" Ἔνθα δ' ἔπειθ', ἥρως, χριμφθεὶς τέλας, ὡς σε κελεύω,
" Βόθρον ὀρύξαι, ὅσον τε πυγούσιον, ἔνθα καὶ ἔνθα.
" Ἀμφ' αὐτῷ δὲ χοὴν χεῖσθαι πᾶσιν νεκύεσσι,

505 ΠΟ. Ἐπιζήτησις. ΜΕ. Ἐν ἐμοὶ δὲ ἴσως.

507 ΦΕ. Ἀπεφέρει.

509 ΑΚ. Ἡ ποθημένη καὶ ἐξίκεσαι ἐς γαλήνην ἄκρην. ΛΑ. Ἐλάχιστε. ΑΔ. Ἰσχὰ καὶ σύνδενδρα χωρία.

510 ΩΛ. Ἐπειδὴ τὸ ἄνθος ἀποβάλλουσιν· ἢ ἐπὶ οἱ πίνοντες ἄνθος ἐτέας, ἀγνοὺς ἀφροδισίους. ΩΛ. Ἀποβάλλει γὰρ τὸ ἄνθος· οἰκείως δὲ ἀγνοὺς φυτοὺς ἐχρήσατο. ἱκανὰ γὰρ ἥρωσι τὰ ἄκαρπα. φησὶ δὲ Θεόφραστος ἐν φυλάκοις, τὸ χυλὸν τῆς ἐτέας πινόμενον ἀφανίζειν τὴν γονὴν τῶν ἀνθρώπων.

511 ΚΕΛ. Νεωλκῆσαι, ὁρμῆσαι. ΒΑ. Βαθείας ἔχοντι συρφετάς.

512 ΔΟ. Ἥτοι πλατὺν καὶ τὸ εὖρος· ἢ σκοτεινόν.

513 ΕΝ. Τοῦτο τὸ χῶμα καλεῖται ἀσφοδιζόμενον, καὶ καθ' ὑπερβατόν· ὧν οἶσιν ἡ Ἀλκμανικήν. τὸ δὲ ἑξῆς, Ἔνθα μὲν εἰς Ἀχέροντα Πυριφλεγέθων τε, καὶ Κώκυτός θ' ῥέουσιν. ΠΥ. Ποταμὸς ἐν ᾅδου.

514 ΚΩ. Ποταμὸς ἐν ᾅδου. ΑΠ. Ἀπόῤῥοια.

515 ΞΥ. Συνάφεια, καὶ ἀντὶ τοῦ συμβολὴ τῶν ποταμῶν. ΕΡ. Μεγαλοήχων.

516 ΧΡΙΜ Προσπελασθείς. ΠΕ. Ἐγγύς, πλησίον.

517 ΕΟ. Ὀρυγμα. ΟΡ. Ἀπὸ τοῦ ὀρύξαι. ΠΥ. Πυγωνιαῖον. Πυγὼν δέ ἐστι, τὸ ἀπὸ δ' ἀγκώνος, μέχρι τῶν δακτύλων πεπαμμένον, ἀφέστημα· αἰνίττεται δὲ ἀφ' ὧν ταῦτα τὸ μὴ ἀνεῖσθαι, μηδ' ἐπ' ἐξουσίας εἶναι τὰς σπιλάδας πέτρας. ἀλλ' ὥσπερ ἔχεσθαι καὶ ἐγκαλεῖσθαι, καθάπερ καὶ οἱ δάκτυλοι. ΕΝ. Εἰς πλάτος καὶ εἰς μῆκος.

518 ΧΟ. Τοῖς τοῖς νεκροῖς ἐπιχεομένοις χύσιν. ΧΕΙ. Ἐπιχύσεις.

" Πρῶτα μελικρήτῳ, μετέπειτα δὲ ἡδεῖ οἴνῳ,
" Τὸ τρίτον αὖθ' ὕδατι· ὃπὶ δ' ἄλφιτα λευκὰ παλύνειν.
" Πολλὰ δὲ γενεῆας νεκύων ἀμφίεσσα κάρηνα,
" Ἐλθὼν εἰς Ἰθάκην, στεῖραν βοῦν, ἥτις ἀρίστη,
" Ῥέξειν ἐν μεγάροισι, πυρὴν τ' ἐμπλησέμεν ἐσθλῶν.
" Τειρεσίῃ δ' ἀπάνευθεν ὄϊν ἱερευσέμεν οἴῳ,
" Παμμέλαιναν, ὃς μήλοισι μεταπρέπει ὑμετέροισιν.
" Αὐτὰρ ἐπὴν εὐχῇσι λίσῃ κλυτὰ ἔθνεα νεκρῶν,
" Ἔνθ' ὄϊν ἀρνειὸν ῥέζειν, θῆλύν τε μέλαιναν,
" Εἰς Ἔρεβος στρέψας, αὐτὸς δ' ἀπονόσφι τραπέσθαι
" Ἱέμενος ποταμοῖο ῥοάων· ἔνθα δὲ πολλαὶ
" Ψυχαὶ ἐλεύσονται νεκύων καταπεφνεώτων.
" Δὴ τότ' ἔπειθ' ἑτάροισιν ἐποτρῦναι καὶ ἀνῶξαι
" Μῆλα, τὰ δὴ κατέκειτ' ἐσφαγμένα νηλεῖ χαλκῷ,
" Δείραντας καλαχῆσαι· ἐπεύξασθαι τε θεοῖσιν,
" Ἰφθίμῳ τ' Ἀΐδῃ καὶ ἐπαινῇ Περσεφονείῃ.
" Αὐτὸς δὲ ξίφος ὀξὺ ἐρυσάμενος παρὰ μηροῦ
" Ἧσο, μηδὲ ἐάων νεκύων ἀμενηνὰ κάρηνα
" Αἵματος ἆσσον ἴμεν, πρὶν Τειρεσίαο πυθέσθαι.
" Ἔνθα τοι αὐτίκα μάντις ἐλεύσεται, ὄρχαμε λαῶν,
" Ὅς κέν τοι εἴπῃσιν ὁδὸν καὶ μέτρα κελεύθου,

519 ΜΕ. Τῷ μὲν γάλακτι μίλιν.
520 ΠΑ. Φυρᾶν, ἀναμίσχειν.
521 ΓΟΥ. Παρακαλᾶν. ΑΜ. Ἀθενῆ, μένος οὐκ ἔχοντα, ἢ σώματος δύναμιν· ἀπὸ δὲ μηλῶν ἔχειν σκιᾶν τῶν ψυχῶν.
522 ΣΤΕΙ. Εἰς τὸ ὅμοιον· ἄγοντα καὶ στεῖρα τὰ τῶν νεκρῶν.
523 ΕΜ. Πληρώσειν.
524 ΟΙΝ. Πρόβαλον.
526 ΛΙ. Λιτανεύσεις.
527 ΡΕ. Θύειν. ΜΕ. Καὶ τοῦτο ἐς τὸ ὁμοιον.
528 ΕΡ. Σκότος. ΝΟΣ. Ὡς πρὸς τὰς ποταμούς.
529 ΙΕ. Προθυμούμενος.
531 ΕΠ. Ἐπίξας. ΑΝ. Κελεῦσαι.
533 ΚΑ. Καπνικαῦσαι.
537 ΔΣ. Πλησίον.

" Νόστον

" Νόσον θ', ὡς ὄπποτε πόντον ἐλεύσεαι ἰχθυόεντα.
" Ὣς ἔφατ'· αὐτίκα δὲ χρυσόθρονος ἠλύθεν ἠώς.
" Ἀμφὶ δέ με χλαῖναν τε, χιτῶνά τε, εἵματα ἔστεν·
" Αὐτὴ δ' ἀργύφεον φᾶρος μέγα ἔννυτο Νύμφη
" Λεπτὸν καὶ χαρίεν, περὶ ᾗ ζώνην βάλετ' ἰξυΐ,
" Καλὴν, χρυσείην· κεφαλῇ δ' ἐπέθηκε καλύπτρην.
" Αὐτὰρ ἐγὼ Δηὼ δώματ' ἰὼν ἄτρυνον ἑταίρους,
" Μειλιχίοις ἐπέεσσι πολυκτεάνου ἄνδρα ἕκαστον·
" Μηκέτι νῦν εὕδοντες ἀωτεῖτε γλυκὺν ὕπνον·
" Ἀλλ' ἴομεν· δὴ γάρ μοι ἐπέφραδε πότνια Κίρκη.
" Ὣς ἐφάμην· τοῖσιν δ' ἐπεπείθετο θυμὸς ἀγήνωρ.
" Οὐδὲ μὲν ἀδ' ἔνθεν περ ἀπήμονας ἦγον ἑταίρους·
" Ἐλπήνωρ δέ τις ἔσκε νεώτατος, οὐδέ τι λίην
" Ἀλκιμος ἐν πολέμῳ, ὅτε φρεσὶν ἦσιν ἀρηρώς,
" Ὅς μοι ἄνευθ' ἑτάρων, ἱεροῖς ἐν δώμασι Κίρκης,
" Ψύχεος ἱμείρων κατελέξατο οἰνοβαρείων·
" Κινυμβώων δ' ἑτάρων ὅμαδον θ' δρπον ἀκούσας,
" Ἐξαπίνης ἀνόρουσε, θ' ἐκλάθετο φρεσὶν ἦσιν
" Ἄψορρον καταβῆναι, ἰὼν ἐς κλίμακα μακρήν·
" Ἀλλὰ καταντικρὺ τέγεος πέσεν, ἐκ δέ οἱ αὐχὴν
" Ἀσραγάλων ἐάγη, ψυχὴ δ' ἄϊδόσδε κατῆλθεν.
" Ἐρχομένοισι δὲ τοῖσιν ἐγὼ μετὰ μῦθον ἔειπον·

543 ΑΡ. Λοιγόν.
544 ΙΞ. Ὀσφύϊ.
545 ΚΑ. Κιφαλόδεσμον.
546 ΩΤ. Προέηκεν, διήκειρεν.
548 ΑΩ. Ἀπαυθίζειν τ' ὕπνον.
553 ΑΡ. Ἠρεμοσμίνθ.
555 ΨΥ. Ἀνακψύξαι Δηὼ τὸ πίσσ-
θ τὼ μίθλω ἐπιθυμῶν τ' αὔρας. ΨΥ. Ψύχους, τ' αὔρας. ΙΜ. Ἐπιθυμῶν. ΚΑ. Ἐκφευδήσειν, κατεκοιμήθη.
556 ΚΙ. Κινυμείων.
558 ΑΨ. Ὀπισθόρμητον. ΚΑ. Ὑπερωΐθην.
559 ΑΝ. Κατόδυ. ΤΕ. Οἴκου. ΑΥ. Ὁ τέχνλος.
560 ΑΣ. Σφονδύλων.

" Φάσθε νύ πυ οἶκόνδε φίλην ἐς πατρίδα γαῖαν
" Ἔρχεσθ'· ἄλλην δ' ἡμιν ὁδὸν τέκμήρατο Κίρκη
" Εἰς Ἀΐδαο δόμους καὶ ἐπαινῆς Περσεφονείης,
" Ψυχῇ χρησομένους Θηβαίου Τειρεσίαο. 565
" Ὡς ἐφάμην· τοῖσιν δὴ κατεκλάσθη φίλον ἦτορ·
" Ἑζόμενοι δὲ κατ' αὖθι γόων, τίλλοντό τε χαίτας.
" Ἀλλ' ὁ γάρ τις πρῆξις ἐγίνετο μυρομένοισιν.
" Ἀλλ' ὅτε δὴ ῥ' ἐπὶ νῆα θοὴν καὶ δῖνα θαλάσσης
" Ἤμεν ἀχνύμενοι, θαλερὸν κατὰ δάκρυ χέοντες, 570
" Τόφρα δ' ἄρ' οἰχομένη Κίρκη παρὰ νηὶ μελαίνῃ
" Ἀρνειὸν κατέδησεν ὄϊν, θηλύν τε μέλαιναν,
" Ῥεῖα παρεξελθοῦσ'· τίς ἂν θεὸν ὸφθαλμοῖσιν ἰδοιτ', ἢ ἔνθ', ἢ ἔνθα κιόντα;

563 ΤΕΚ. Διετημήνατο. μένοις.
567 ΓΟ. Ἐθρήνεν. 571 ΟΙ. Ἀπιλθοῦσα.
568 ΠΡΗ. Ἡ πρᾶξις. ΜΥ. Ὁδοιπό- 573 ΠΑ. Λάθρα ποιήσασα.

ΥΠΟΘΕΣΙΣ

ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΟΔΥΣΣΕΙΑΣ Λ

ΤΟΥ ΟΜΗΡΟΥ

ΡΑΨΩΔΙΑΣ.

Απαγγέλλει, πῶς καὶ Κίρκης ἐντολὰς εἰς ᾅδου κατῆλθεν· καὶ ὡς ἤκουσε Τειρεσίου, καὶ μάντεως, περὶ τῆς ἑαυτοῦ καὶ τῶν ἄλλων σωτηρίας· καὶ ὡς τὰς ἥρωας καὶ τὰς ἡρωίδας εἶδεν ἐν ᾅδου, καὶ τὴν μητέρα, καὶ τοὺς εἰς Ἴλιον συστρατευσαμένους αὐτῷ, καὶ τοὺς ἐν ᾅδου κολαζομένους τινάς.

Λάμβδα δ' ἐν Ἀΐδαο φυχαῖς ἐντύγχαν' Ὀδυσσεύς.

" Αὐτὰρ ἐπεὶ ῥ' ἐπὶ νῆα κατήλθομεν, ἠδὲ θάλασσαν,
" Νῆα μὲν ἂρ πάμπρωτον ἐρύσσαμεν εἰς ἅλα δῖαν·
" Ἐν δ' ἱστὸν τιθέμεσθα καὶ ἱστία νηὶ μελαίνῃ·
" Ἐν δὲ τὰ μῆλα λαβόντες ἐβήσαμεν, ἐν δὴ καὶ αὐτοὶ
" Βαίνομεν ἀχνύμενοι, θαλερὸν κατὰ δάκρυ χέοντες. 5
" Ἡμῖν δ' αὖ κατόπισθε νεὼς κυανοπρῴροιο
" Ἴκμενον οὖρον ἵει πομπήϊον, ἐσθλὸν ἑταῖρον.

3 ΕΝ. Οὐχ ἁπλῶς ἐνεθήκαμεν τῇ νηΐ, ἀλλὰ μετὰ τοῦ σῆσαι τὸ ἱστόν, καὶ ἁπλῶσαι τὰ ἱστία, οἷον ὑφειπείσαμεν.
4 ΕΒ. Εἰσεβάσαμεν.
5 ΒΑΙ. Εἴαμεν, ἐβαίνομεν.
7 ΙΚ. Ἰκμαστάδα, ὑγρόν. ΠΛΗ. Πλησθὲν τὸ ἄρμφον. ΕΤ. Νῦν, τὸν σωτῆρα.

" Κίρκη

" Κίρκη ἐϋπλόκαμος, δεινὴ θεός, αὐδήεσσα.
" Ἡμεῖς δ' ὅπλα ἕκαστα πονησάμενοι κατὰ νῆα,
" Ἤμεθα· τὼ δ' ἄνεμός τε, κυβερνήτης τ' ἴθυνεν.
" Τῆς δὲ παννημερίης τέτατ' ἱστία ποντοπορούσης,
" Δύσετό τ' ἠέλιος, σκιόωντό τε πᾶσαι ἀγυιαί.
" Ἡ δ' ἐς πείραθ' ἵκανε βαθυρρόου Ὠκεανοῖο·
" Ἔνθα δὲ Κιμμερίων ἀνδρῶν δῆμός τε πόλις τε,
" Ἠέρι καὶ νεφέλῃ κεκαλυμμένοι· οὐδέ ποτ' αὐτοὺς
" Ἠέλιος φαέθων ἐπιδέρκεται ἀκτίνεσσιν,
" Οὐδ' ὁπότ' ἂν εἰχηαι πρὸς οὐρανὸν ἀστερόεντα,
" Οὔθ' ὅταν αὖ ἐπὶ γαῖαν ἀπ' οὐρανόθεν πεδοτράπηται·
" Ἀλλ' ἐπὶ νύξ ὀλοὴ τέταπται δειλοῖσι βροτοῖσι.
" Νῆα μὲν ἔνθ' ἐλθόντες ἐκέλσαμεν· ἐκ δὲ τὰ μῆλα
" Εἰλόμεθ'· αὐτοὶ δ' αὖτε παρὰ ῥόον Ὠκεανοῖο
" Ἤιομεν, ὄφρ' ἐς χῶρον ἀφικόμεθ', ὃν Φράσε Κίρκη.
" Ἔνθ' ἱερήια μὲν Περιμήδης, Εὐρύλοχός τε,
" Εἶχον· ἐγὼ δ' ἄορ ὀξὺ ἐρυσάμενος παρὰ μηροῦ,

9 ΠΟ. Ἐνεργήσαντες, ὑπερεπίσαντες.
10 ΑΝ. Ὡς ἂν ἀξιωσάσης ἡ Κίρκης, τὸν ἄνεμον τίθησιν. ΙΘ. Ἐπ' εὐθείας ἦλθεν.
11 ΠΑ. Δι' ὅλης ἡμέρας. ΠΟΝ. Τῷ θαλάσσαν διερχομένης, πλεούσης.
12 ΑΓ. Ἀμφοδα.
14 ΚΙΜ. Ἔθνος ἀξιοικῶν τὸ ὠκεανὸν, οἱ Κιμμέριοι· ἔνιοι δὲ γράφουσι Χειμερίων· οἱ δὲ Κιρτεμίων, ὡς Κράτης. Ἡρόδοτος δὲ ὑπὸ Κιμμερίων φησὶ Σκύθας ἐξελαθῆναι· ἄλλοι δὲ, Κιμμερίους φασὶν ὑπιτίθεσθαι τὰς κατὰ τὸν δῦσιν οἰκοῦντας, καὶ ἀποκειμένους τοῖς κατὰ τὸν ἀρκτῷον τόπους, ἢ νεκροῖς· ἀπὸ δὲ τῶν τοῖς ἡλίοις κεῖσθαι.
16 ΗΕ. Πῶς ἂν ζῶσιν; ἢ ἀπειρίαι μὲ, φαίθων δὲ οὔ. ΕΠ. Ἐφορᾷ, βλέπει.
17 ΣΤΕΙ. Πορεύηται.
18 ΟΥ. Διὰ τύτε δὲ πεδοτράπηται δοκεῖ ἀδύνατα ὁ ποιητὴς, ὅτι ὁ ἥλιος τὸν ἐκεῖσε πορείαν ποιεμένος ἀπὸ δύσεως ἐς ἀνατολὰς, ὅμως ὑπὸ δὲ πάντος ἀνθέλκεται ἐς τὸ ἀναπλέον ἐκ αὐτός. ΠΡΟ. Μεταπλάσσει, ἀποκλίνει.
19 ΝΥΞ. Ζοφώδης ἀήρ. ΤΕ. Ἥπλωται. ΔΕΙ. Δειλαίοις, ἀθλίοις.
23 ΙΕ. Οὐκ ὀρθῶς, ἐπὶ μὲ νεκρῶν, τιμιωτέρων ἐστὶν ἑλομαι· ἐπὶ δὲ θεῶν, ἱερεῖα", ὅτι τὰ θρέμματα, ἱερεῖα καλεῖται.
24 ΕΣ. Ἀκρὶ δὲ, κατέχον.

" Βόθρον

" Βόθρον ὄρυξα, ὅσσον τε πυγόσιον, ἔνθα κ᾽ ἔνθα·
" Ἀμφ᾽ αὐτῷ δὲ χοὰς χέομεν πᾶσιν νεκύεσσιν,
" Πρῶτα μελικρήτῳ, μετέπειτα δὲ ἡδεῖ οἴνῳ,
" Τὸ τρίτον αὖθ᾽ ὕδατι· ἐπὶ δ᾽ ἄλφιτα λευκὰ πάλυνον.
" Πολλὰ δὲ γυιόμην νεκύων ἀμενηνὰ κάρηνα,
" Ἐλθὼν εἰς Ἰθάκην, στεῖραν βοῦν, ἥτις ἀρίστη,
" Ῥέξειν ἐν μεγάροισι, πυρὴν τ᾽ ἐμπλησέμεν ἐσθλῶν·
" Τειρεσίῃ δ᾽ ἀπάνευθεν ὄϊν ἱερεύσεμεν οἴῳ
" Παμμέλαιναν, ὃς μήλοισι μεταπρέπει ἡμετέροισι.
" Τὼς δ᾽ ἐπεὶ εὐχωλῇσι λιτῇσί τε, ἔθνεα νεκρῶν,
" Ἐλλισάμην, τὸ δὲ μῆλα λαβὼν ἀπεδειροτόμησα
" Ἐς βόθρον, ῥέε δ᾽ αἷμα κελαινεφές· αἱ δ᾽ ἀγέροντο
" Ψυχαὶ ὑπὸ ἐξ Ἐρέβεος νεκύων κατατεθνειώτων,
" Νύμφαι τ᾽, ἠίθεοί τε, πολύτλητοί τε γέροντες,
" Παρθενικαί τ᾽ ἀταλαὶ, νεοπενθέα θυμὸν ἔχουσαι·
" Πολλοὶ δ᾽ ὀτάμβοι χαλκήρεσιν ἐγχείῃσιν,
" Ἄνδρες ἀρηῖφατοι, βεβροτωμένα τεύχε᾽ ἔχοντες,
" Οἱ πολλοὶ περὶ βόθρον ἐφοίτων ἄλλοθεν ἄλλη,
" Θεσπεσίῃ ἰαχῇ· ἐμὲ δὲ χλωρὸν δέος ἥρει.
" Δὴ τότ᾽ ἔπειθ᾽ ἑτάροισιν ἐπιτρύνας ἐκέλευσα,

26 ΧΕ. Ἐπιχίομεν.

28 ΠΑ. Ἐφύρων, διΐορεχον, ἢ ἐπίπασον.

29 ΓΟΥ. Πῶς, ἃ μὴ κιθάνονται ὑπὸ γῆ πιεῖν; ἀντὶ τοῦ διατετῶν· ἢ διαθεὶς, ἢ γονυπετῶν; ἐπηχιλιλιμῶν.

34 ΕΥ. Εὐχαῖς. ΑΙ. Λιπαναίαις, ἱκετείαις. ΑΠ. Ἀπικεφάλισιν.

37 ΕΡΕ. Ἀπὸ τῶ σκότους.

38 ΝΥΜ. Ἀθετοῦνται ὅτοι οἱ ἐξ εἰμὶ· ὅτι οὔπω ἀφικόμενοι, καὶ ὅτι ἀδύνατοι φέρειν τὰς ψυχὰς τῶν σωμάτων πληγάς· ἀλλὰ ὑπὸ ἀνακεφαλαίωσιν πεπείρανται τοῦ μὴ παῦται ῥαθύμων. ΗΙ. Ἄχαμοι. ΠΟ. Πολλὰ ὑπομένοντες.

39 ΑΤ. Νέω, ἀπύλαι, αἱ μηδὲν πλῆναι δυνάμεναι. ΝΕ. Ἐν τῇ νεότητι πειθόμενοι.

41 ΒΕ. Δοκοῦντα βιοῤῥοῆσθαι, ὅ ἐστι ῥεμάχθαι.

44 ΔΗ. Αὐτὸς γὰρ, ὡς ἡ Κίρκη ἔφη αὐτῷ, ἐπὶ τοῦ βόθρου μένει· συναύξει δὲ χωρίζει τὰς ἐπείρους, ἵνα μὴ κωτικῶσιν τῶν μαντειῶν.

" Μῆλα,

" Μῆλα, τὰ δὴ κατέκειτ' ἐσφαγμένα νηλεῖ χαλκῷ,
" Δείρανται καζακῆαι, ἐπεύξαοζ δὲ θεοῖσιν,
" Ἰφθίμῳ τ' Ἀΐδῃ καὶ ἐπαινῇ Περσεφονείῃ.
" Αὐτὰρ ἐγὼ ξίφος ὀξὺ ἐρυσσάμενος παρὰ μηρὸς
" Ἥμην, ὐδ' εἴων νεκύων ἀμενηνὰ κάρηνα
" Αἵματος ἆσσον ἴμεν, πρὶν Τειρεσίαο πυθέοζ.
" Πρώτη δὲ ψυχὴ Ἐλπήνορος ἦλθεν ἑταίρου·
" Οὐ γάρ πω ἐτέθαπτο ὑπὸ χθονὸς εὐρυοδείης·
" Σῶμα γὰρ ἐν μεγάρῳ Κίρκης κατελείπομεν ἡμεῖς
" Ἄκλαυζον καὶ ἄθαπτον· ἐπεὶ πόνος ἄλλος ἔπειγε.
" Τὸν μὲν ἐγὼ δάκρυσα ἰδὼν, ἐλέησά τε θυμῷ,
" Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδων·
" Ἐλπῆνορ, πῶς ἦλθες ὑπὸ ζόφον ἠερόεντα;
" Ἔφθης πεζὸς ἐὼν, ἢ ἐγὼ σὺν νηῒ μελαίνῃ.
" Ὣς ἐφάμην· ὁ δέ μ' οἰμώξας ἠμείβετο μύθῳ·
" Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
" Ἀσέ με δαίμονος αἶσα κακὴ, καὶ ἀθέσφατος οἶνος.
" Κίρκης δ' ἐν μεγάρῳ καταλέγμενος οὐκ ἐνόησα
" Ἄψορρον καταβῆναι, ἰὼν ἐς κλίμακα μακρὴν,
" Ἀλλὰ καζαντικρὺ τέγεος πέσον, ἐκ δέ μοι αὐχὴν
" Ἀσραγάλων ἐάγη, ψυχὴ δ' ἄϊδόσδε κατῆλθε.
" Νῦν δέ σε τῶν ὄπιθεν γουνάζομαι ὃ παρεόντων,

49 ΕΙ. Σωιχώρων.
51 ΨΥ. Ἐπὶ ἀπαφῶ· τῷ ἢ τιθέναι, καὶ ὠθὲ ἓ πιεῖν, φθίσθον) αἱ ψυχαὶ.
52 ΕΥ. Μεγάλης, πλαζείας.
57 ΕΛ. Οὐδένα ἐρᾷ τῶν παρὰ τῷ Κύκλωπι, ἢ ἐν Λαιστρυγονίᾳ ἀπολομένων· ὅτοι γὰρ οἱ καὶ ἀθάνατοι, ἀλλ' ὧν ἐταφησαν.
58 ΕΦ. Ἔφησας, ὠφείλεσθαι.
59 ΟΙ. Σπαίξας.
61 ΑΣ. Ἐλάκψων. ΑΘ. Πολύς.
62 ΚΑ. Καθυδήσας.
66 ΤΩΝ. Τῶν καταλελειμμένων οἴκοι, τῶν δ' παρόντων. ΓΟΥ. Λέπει ὁ ὠθὸς, ἵν' ᾖ ὠθὸς τῷ δ' παρόντων γουνάζομαι, ἐκείνου· ὡς ὠθὸς τῷ θεῶν καὶ ὠθὸς Διός.

" Πρός

" Πρός τ' ἀλόχῳ καὶ πατρὸς, ὅ σ' ἔτρεφε τυτθὸν ἐόντα,
" Τηλεμάχῳ θ', ὃν μοῦνον ἐνὶ μεγάροισιν ἔλειπες·
" Οἶδα γὰρ, ὡς ἐνθένδε κιὼν δόμον εἰς Ἀΐδαο,
" Νῆσον ἐς Αἰαίην ὀχήσεις εὐεργέα νῆα·
" Ἔνθα σ' ἔπειτα, ἄναξ, κέλομαι μνήσασθαι ἐμεῖο,
" Μή μ' ἄκλαυτον, ἄθαπτον, ἰὼν ὄπιθεν καταλείπειν,
" Νοσφισθεὶς, μή τοι τι θεῶν μήνιμα γένωμαι·
" Ἀλλά με κακκῆαι σὺν τεύχεσιν, ἄσσα μοι ἐστὶν,
" Σῆμά τέ μοι χεῦαι, πολιῆς ἐπὶ θινὶ θαλάσσης,
" Ἀνδρὸς δυσήνοιο, ἵν' ἐσσομένοισι πυθέσθαι·
" Ταῦτα τέ μοι τελέσαι, καὶ ἐμὴν ἐπὶ τύμβῳ ἐρεῖψαι,
" Τῷ καὶ ζωὸς ἔρεισον, ἐὼν μετ' ἐμοῖς ἑτάροισιν.
" Ὣς ἔφατ'· αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
" Ταῦτά τοι, ὦ δύστηνε, τελεύτησόν τε καὶ ἔρξω.
" Νῶϊ μὲν ὣς ἐπέεσσιν ἀμειβομένω κυνέοισιν
" Ἥμεθ'· ἐγὼ μὲν ἄνευθεν ἐφ' αἵματι φάσγανον ἔσχον,
" Εἴδωλον δ' ἑτέρωθεν ἑταίρων πολλ' ἀγορεῦον·
" Ἦλθε δ' ἐπὶ ψυχὴ μητρὸς καταθνητοῖο,
" Αὐτολύκου θυγάτηρ μεγαλήτορος Ἀντίκλεια,

67 ΑΛ. Οὐ προσίθηκε τῷ μηλίῳ· ἀπὸ γὰρ τοῦ ψυχοῦ αὐτῆς.
68 ΜΟΥ. Μόνον, ἀντὶ τοῦ μονοχοῦν.
69 ΕΝ. Χάρμη τοῦ λαοῦσι ἰφθιμα, καὶ μαθεῖν περὶ τοῦ πλοῦ.
70 ΣΧΗ. Ὀρμήσεις.
73 ΝΟΣ. Χωσαμένους. ΜΗ. Μῆνις, ὀργή.
74 ΚΑΚ. Κατακαῦσαι· ἀντὶ τοῦ κατάκαυστον.
76 ΔΥ. Δυσχεῖς.
77 ΕΡ. Τῷ κάπει.
78 ΕΡ. Ἐκκαπλάτου.
81 ΣΤΥ. Μισητοῖς, φρικτοῖς.
82 ΙΣ. Κατίσχων.
83 ΕΙ. Εἰ μὲν ἀπὸ τοῦ εἰδέναι, ἀφὰ μίαν τὸ ι, χαπεῖον· εἰ δὲ ἀπὸ τοῦ ἴδοις, προσλήψεται τὸ ι. ΑΓ. Διαλιγόμενον.
84 ΚΑ. Τελούτωσης.
85 ΑΝ. Ὁ λίγων ἦν, Ἀντίκλειαν, ἀφὰ τὸ πάθος τοῦ παιδὸς, βρέχω ἑαυτῷ ἐξαναλίσκω τοῦ βίου.

" Τὴν ζωὴν κατέλειπον, ἰὼν εἰς Ἴλιον ἱρήν.
" Τὴν μὲν ἐγὼ δάκρυσι ἰδὼν, ἐλέησά τε θυμῷ·
" Ἀλλ' ὧδ' ὡς ἕϊων προτέρην, πυκινόν περ ἀχεύων,
" Αἵματος ἆσσον ἧμεν, ποὶν Τειρεσίαο πυθέσθαι.
" Ἦλθε δ' ἐπὶ ψυχὴ Θηβαίου Τειρεσίαο, 90
" Χρύσεον σκῆπτρον ἔχων, ἐμὲ δ' ἔγνω καὶ προσέειπεν·
" Τίπτ' αὖτ', ὦ δύσηνε, λιπὼν φάος ἠελίοιο,
" Ἦλυθες, ὄφρα ἴδῃς νέκυας καὶ ἀτερπέα χῶρον;
" Ἀλλ' ἀποχάζεο βόθρου, ἄπαχε δὲ φάσγανον ὀξύ,
" Αἵματος ὄφρα πίω, καί τοι νημερτέα εἴπω. 95
" Ὡς φάτ'· ἐγὼ δ' ἀναχασσάμβνος, ξίφος ἀργυρόηλον
" Κνλεῷ ἐγκατέπηξ'· ὁ δ' ἐπεὶ πίεν αἷμα κελαινὸν,
" Καὶ τότε δή μ' ἐπέεσσι προσηύδα μάντις ἀμύμων·
" Νόστον δίζηαι μελιηδέα, φαίδιμ' Ὀδυσσεῦ·
" Τὸν δέ τοι ἀργαλέον θήσει θεός· ἀΐδηλον οἴω, 100
" Λήσειν Ἐννοσίγαιον, ὅ τοι κότον ἔνθετο θυμῷ,
" Χωόμενος, ὅτι οἱ ὑὸν φίλον ἐξαλάωσας.
" Ἀλλ' ἔτι μέν γε καὶ ὡς, κακά περ πάσχοντες, ἵκεσθε,
" Αἴκ' ἐθέλῃς σὸν θυμὸν ἐρυκακέειν καὶ ἑταίρων,
" Ὁππότε δὴ πρῶτον πελάσῃς εὐεργέα νῆα 105

86 ΖΩ. Ζῶσαν.
88 ΠΡΟ. Πρώτῳ. ΠΥ. Καὶ ὡς πολὺ λαπάρδω.
91 ΕΜ. Οὐκ ἔπος ἀμὶ, ἀλλ' ὅπα σφάκα καμίζω· μὴ τὸ πιεῖν σκ τ' μαντέας γνωρίζῃ αὐτόν· ὅσῳ δ' ἂν πις σκδέχῃ τυφλώσαν τ' Τειρεσίαν, τοσόνδε κάλον τὸ ἔγκαν, ἵνα κὴ τὸ ἰκλεῖπον τ' ὄψιον τῇ τ' σωίσας γνώσῃ πληρῶσαι.
93 ΑΤ. Ἀπερπῆ.
94 ΑΠΟ. Ἀναχόρῃ. ΑΠ. Ἀπόσησον, ἀπέπαυσον.
97 ΚΕ. Μίλαν.
99 ΔΙ. Ἐπιζητῆς.
100 ΘΗ. Ποιήσῃ.
101 ΛΗ. Λαθεῖν.
102 ΟΤΙ. Ὅτι αὐτῷ. ΕΞ. Ἐξετύφλωσας.
103 ΙΚ. Παραγίνεσθε.
104 ΑΙΚ. Ἐὰν δύνῃ.
105 ΠΕ. Προσερμήσεις.

" Θρινακίῃ

" Θρινακίην νῆσον, προφυγὼν ἰοειδέα πόντον
" Βοσκομένας δ' εὗρητε βόας καὶ ἴφια μῆλα
" Ἠελίου, ὃς πάντ' ἐφορᾷ καὶ πάντ' ἐπακούει·
" Τὰς εἰ μέν κ' ἀσινέας ἐάας, νόστον τε μέδηαι,
" Καί κεν ἔτ' εἰς Ἰθάκην, κακά περ πάσχοντες, ἵκοισθε· 110
" Εἰ δέ κε σίνηαι, τότε τοι τεκμαίρομαι ὄλεθρον
" Νηί τε, καὶ ἑτάροις· αὐτὸς δ' εἴπερ κεν ἀλύξῃς,
" Ὀψὲ κακῶς νεῖαι, ὀλέσας ἅπο πάντας ἑταίρους,
" Νηὸς ἐπ' ἀλλοτρίης· δήεις δ' ἐν πήματα οἴκῳ,
" Ἄνδρας ὑπερφιάλους, οἵ τοι βίοτον κατέδουσιν, 115
" Μνώμενοι ἀντιθέην ἄλοχον καὶ ἕδνα διδόντες·
" Ἀλλ' ἦτοι κείνων γε βίας ἀποτίσεαι ἐλθών.
" Αὐτὰρ ἐπεὶ μνησῆρας ἐνὶ μεγάροισι τεοῖσι
" Κτείνῃς, ἠὲ δόλῳ, ἠὲ ἀμφαδὸν ὀξέϊ χαλκῷ,
" Ἔρχεσθαι δὴ ἔπειτα, λαβὼν εὐήρες ἐρετμόν, 120
" Εἰσόκε τὰς ἀφίκηαι, οἳ οὐκ ἴσασι θάλασσαν

106 ΘΡΙ. Τῇ Σικελίᾳ· ἐπεὶ τρία ἔχει ἀκρωτήρια, Πέλωρον, Πάχυνον, Λιλυβαῖον. ΙΟ. Μελανοειδῆ.

107 ΙΦ. Ἰσχυρὰ, μέγαν πλοῦτον ποιοῦντα.

109 ΑΣ. Ἀσινεῖς, ἀδλαβεῖς. ΕΛ. Καπνοειδεῖς. ΜΕ. Φροντίζεις.

111 ΣΙ. Βλάψεις. ΤΕΚ. Τιλιωθῆναι λέγω, ἀντὶ τοῦ τιμωρεῖσθαι.

112 ΑΛ. Ἐκφύγῃς.

113 ΟΨ. Ἐπὶ γὰρ τῷ τῶν βοῶν τολμήματι ἐπλήγη ὑπὸ Διὸς ὁ Καλυψοῦς ἀφιξίου· καὶ πάλιν ναυαγήσας πρὸς τὴν Φαίακας ἀπεσώθη. ΝΕΙ. Ἀπολεῖσαι.

114 ΔΗ. Εὑρήσεις.

115 ΚΑ. Κατεσθίουσι, καταναλίσκουσι.

116 ΜΝΩ. Τῇ γὰρ ἀληθείᾳ ἤδη ὄντα ἐν Ἰθάκῃ ἡ Ὀδυσσεία, ἐξ ἧς ἔσθον ἐπ' αὐτὴν ἀφορμὴν αὐτῇ εἰ μνηστῆρες τὰ ἕδνα· ὥστε ἄξιον μνημονεύειν τοῦ δήεις, ὃ ἐστιν εὑρήσεις.

117 ΑΠ. Τιμωρίαν ἐκ κλοπῆς ἐπαγόμενος.

119 ΚΤΕΙ. Ἀνέλῃς, φονεύσεις. ΔΟ. Ἀπὸ ἧς, ἐξ ὅπως ἂν, ἢ δόλῳ, ἢ φανερῶς, ὁμοίως τῷ, Ἀρτέμιδι ἐκέλευσε, καὶ Ζευξῇ Ἀφροδίτῃ· ἢ γὰρ σύνταξις τὸ ἦε, καὶ ἀπίθανον γὰρ τὸ συνδιάζειν τὸ μάντιν· ἢ φαινέσθαι ἢ, τὰ μὲ σφῶν δόλῳ, ἢ φανερῶς ἐπιθέμενοι.

120 ΕΥ. Καλῶς ἐρετμόμενον.

121 ΤΟΥΣ. Πρὸς τούτους. ΑΦ. Παραγένῃ. ΙΣ. Ἴσα καὶ κἀκεῖνοι γνῶσι τὴν ἧς Ποσειδῶνος δυνάμιν.

" Ἀνέρες, ὅδε θ' ἅλεσι μεμιγμένον εἰδαρ ἔδουσιν,
" Οὐδ' ἄρα τοί γ' ἴστιοι νέας φοινικοπαρήους,
" Οὐδ' εὐήρε' ἐρετμὰ, τά τε πτερὰ νηυσὶ πέλονται.
" Σῆμα δέ τοι ἐρέω μάλ' ἀριφραδές, ὅδε σε λήσει·
" Ὁππότε κεν δή τοι ξυμβλήμενον ἄλλος ὁδίτης
" Φήῃ ἀθηρηλοιγὸν ἔχειν ἀνὰ φαιδίμῳ ὤμῳ,
" Καὶ τότε δὴ γαίῃ πήξας εὐήρες ἐρετμὸν,
" Ῥέξας ἱερα καλὰ Ποσειδάωνι ἄνακτι,
" Ἀρνειὸν, ταῦρόν τε, συῶν τ' ἐπιβήτορα κάπρον,
" Οἶκαδ' ἀποστείχειν, ἔρδειν θ' ἱερὰς ἑκατόμβας
" Ἀθανάτοισι θεοῖσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν,
" Πᾶσι μάλ' ἑξείης· θάνατος δέ τοι ἐξ ἁλὸς αὐτῷ
" Ἀβληχρὸς μάλα τοῖος ἐλεύσεται, ὅς κέ σε πέφνῃ

123 ΦΟ. Ἐρυθρῇ βάμματι κιχρισμένας τὰ πλάγια.

125 ΣΗ. Σύμβολον, σημεῖον. ΑΡ. Ἄναν φανερόν.

126 ΞΥΜ. Σωτυχών. ΟΔ. Ὀδοιπόρος.

127 ΦΗ. Εἶπον, ὑποπλάδιοι. ΑΘ. Τῶν ἀθήρων ὁλοθρευτικὸν ὄργανον· ἀθῆρις γὰρ λέγεται κυρίως τὸ ἀσκαρίζον τὰ ἄκρα· λέγει δὲ τὸ πλοῖον, Ὡς δ' ὅτ' ἀπὸ πλατέος πλοῦσιν, μεγάλῳ κατ' ἀλωῇ, Θρῴσκωσι κύαμοι μελανόχροες, ἢ ἐρέβινθοι. ὁ μέν τοι Σοφοκλῆς, ἀποδέξασθαι τὴν Ἀθήνης κίνησιν ἔτως, Ὦμοις ἀθηρότερον ὄργανον φέρων.

129 ΙΕ. Ἐν τοῖς οἰκείοις κλήσεσι οἱ τιμώμενοι, εἴτ' ἂν ἄνδρωποι, εἴτε καὶ θεοί, ἐκ ἂν ἐπί τινος γένοιτο φιλοτιμίας μείζονες, εἰ μέν τοι ἐν τόποις τισὶ τοῖς πάρα, καθ' οὓς ἐ πολιτεύονται, λάσιον γέρα· ἐνταῦθα δὲ πλέων ἡ χέρσος, ἦχι ἤδη ἀφ' τῶ πυρὰ τοῦ Ὀδυσσέως ἱδρύσεσθαι ἐ θεραπείαν, καὶ ἠπειρώτης ἂν τιμηθείη Ποσειδῶν.

131 ΑΠ. Ἀπίναι. ΕΡ. Πράσσει, θύειν· ἀντὶ δ, θύσειν.

133 ΘΑ. Οἱ νεώτεροι τὰ περὶ Τηλέγονον ἀνέπλασαν, τὴν Κίρκης ἐ Ὀδυσσέως· ὃς δοκεῖ καὶ ζήτησιν δ' παρὸς εἰς Ἰθακὴν ἐλθὼν ἐπ' ἀγνοίας τὴν πατρὸς ἀφαρπάσασθαι πηγάσιον κέντρον. Αἰχύλος δ' ὁ ὑπὸ ψυχαγωγοῖς λέγει,

Ἐρωδιὸς γὰρ ὑψόθεν πετόμενος·
Ὃν ὡς ἔπληξε πηδύος κραιπνοπτεροις
Ἐκ τοῦδ' ἄκανθα πευτὶς βεβηκεν
μασιν.

Σήψει παλαιὸν δίεμον ἐ πειρήνης. ΕΞ. Διπλῆ ἀναγνωσις. καὶ ἕξαλος ὑποπροξυτόνως, ἀντὶ δ, ἕξω ἐ πόρρω τῆς θαλάσσης· ἐ ἐξ ἁλὸς δηρημένως, ἀφ' τὸ τὴν πηγάσιον κέντρον, ᾧ ὁ Τηλέγονος, ἀντὶ αἰχμῆς, ἐχρῆτο.

134 ΑΒ. Ὁ ἀσθενής.

" Γήρᾳ

" Γήρᾳ ὑπὸ λιπαρῷ ἀρημένον· ἀμφὶ δὲ λαοὶ
" Ὄλβιοι ἕαται· τάδε τοι νημερτέα εἴρω.
" Ὣς ἔφατ'· αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
" Τειρεσίη, τὰ μὲν ἄρ πω ἐπέκλωσεν θεὸς αὐτός.
" Ἀλλ' ἄγε μοι τόδε εἰπὲ, καὶ ἀτρεκέως κατάλεξον,
" Μητρὸς τήν δ' ὁρόω ψυχὴν κατατεθνειυίης·
" Ἣ δ' ἀκέουσ' ἧστ' ἀγχοῦ ἀίματος, οὐδὲ ὃν υἱὸν
" Ἔτλη ἐσάντα ἰδεῖν, οὐδὲ προτιμυθήσασθαι.
" Εἰπὲ, ἄναξ, πῶς κέν μ' ἀναγνοίη τοῖον ἐόντα.
" Ὣς ἐφάμην· ὁ δέ μ' αὐτίκ' ἀμειβόμενος προσέειπεν·
" Ῥηϊδίον τοι ἔπος ἐρέω, ᾧ ὅτι φρεσὶ θείῳ·
" Ὁντινα μέν κεν ἐᾷς νεκύων καταθνειώτων
" Αἵματος ἆσσον ἵμεν, ὅδε τοι νημερτὲς ἐνίψει·
" Ὧδέ κ' ὅτιφθονέεις, ὅδε τοι πάλιν εἶσιν ὀπίσω.
" Ὣς φαμένη ψυχὴ μὲν ἔβη δόμον Ἄϊδος εἴσω
" Τειρεσίαο ἄνακτος, ἐπεὶ κατὰ θέσφατ' ἔλεξεν·
" Αὐτὰρ ἐγὼν αὖτ' μένον ἔμπεδον, ὄφρ' ὅτι μήτηρ
" Ἦλυθε, καὶ πίεν αἷμα κελαινεφές· αὐτίκα δ' ἔγνω,
" Καί μ' ὀλοφυρομένη ἔπεα πτερόεντα προσηύδα·
" Τέκνον ἐμὸν, πῶς ἦλθες ὑπὸ ζόφον ἠερόεντα,
" Ζωὸς ἐών; χαλεπὴν δὲ τάδε ζωοῖσιν ὁρᾶσθαι·
" Μέσῳ γὰρ μεγάλοι ποταμοὶ καὶ δεινὰ ῥέεθρα,

135 ΛΙ. Εὐδαίμονι. ΑΡ. Βιοδλημένον.
136 ΟΛ. Εὐδαίμονες. ΕΙ Λίχω.
138 ΕΠ. Ἐπμοίρασαι.
143 ΑΝ. Γνωρίσειεν.
145 ΡΗ. Ῥᾴδιον, ἰυχερὲς. ΘΗ. Ἐμοὶ ἑκὼν.
147 ΕΝ. Ἐνέπῃ.
156 ΜΕΣ. Λάπῃ σὺ. Μέσῳ γὰρ μεγάλοι, ἀθετοῦνται. τὸ γὰρ ἑξῆς, μέσον ὠκεανὸς· χαλεπὸν ἦ, καὶ πεζὸν ἰόντα.

" Ὠκεανὸς

" Ὠκεανὸς μὲν πρῶτα, τ' ἄπῳς ἐτὶ περήσομ,
" Πεζὸν ἐόντ', ἢν μή τις ἔχῃ εὐεργέα νῆα.
" Ἦ νῦν δὴ Τροίηθεν ἀλώμενος ἐνθάδ' ἱκάνεις
" Νηί τε, καὶ ἑτάροισι, πολὺν χρόνον; ὀδέ πω ἦλθες
" Εἰς Ἰθάκλω; ὀδ' εἶδες ἐνὶ μεγάροισι γυναῖκα;
" Ὡς ἔφατ'· αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
" Μῆτερ ἐμὴ, χρειώ με κατήγαγεν εἰς Ἀΐδαο,
" Ψυχῇ χρησόμενον Θηβαίω Τειρεσίαο.
" Οὐ γάρ πω σχεδὸν ἦλθον Ἀχαιΐδος, ὀδέ πω ἁμῆς
" Γῆς ἐπέβλω, ἀλλ' αἰὲν ἔχων ἀλάλημαι ὀϊζύν,
" Ἐξ ὅ τὰ πρώτιθ' ἑπόμην Ἀγαμέμνονι δίῳ
" Ἴλιον εἰς εὔππωλον, ἵνα Τρώεσσι μαχοίμλω.
" Ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
" Τίς νύ σε κὴρ ἐδάμασσε ταναηλεγέος θανάτοιο;
" Ἦ δολιχὴ νοῦσός; ἦ Ἄρτεμις ἰοχέαιρα
" Οἷς ἀγανοῖς βελέεσσιν ἐπιχομένη κατέπεφνεν;
" Εἰπὲ δέ μοι πατρός τε, καὶ ἰέος, ὃν κατέλειπον,
" Ἦ ἔτι παὶ κείνοισιν ἐμὸν γέρας, ἦέ τις ἤδη
" Ἀνδρῶν ἄλλος ἔχει, ἐμὲ δ' οὐκ ἔτι φασὶ νέεσθαι;
" Εἰπὲ δέ μοι μνηστῆς ἀλόχου βουλήν τε, νόον τε,
" Ἦὲ μένει σὺν παιδὶ, καὶ ἔμπεδα πάντα φυλάσσει;
" Ἦ ἤδη μιν ἔγημεν Ἀχαιῶν, ὅστις ἄριστος;
" Ὡς ἐφάμην· ἡ δ' αὐτίκ' ἀμείβετο πότνια μήτηρ·
" Καὶ λίην κείνη γε μένει τετληότι θυμῷ

157 ΩΚ. Καὶ οὐκ ἐπήλυθε, δύσπρα ἢ καὶ τρίτα· ἄπιρ δεῖ καὶ τὸ σιωπώμενον ἐκδέξασθαι ἔπος, οἷον ἵνα μὴ ἄλλου πρόμιον, ἢ ῥῦμα λέγωμεν, αὐτὸν πρῶτον ἀκουσόν.

159 ΑΛ. Πλανώμενος.
168 ΕΥ. Ἱππικήν.
170 ΤΑ. Μακροχειμήτε.
171 ΔΟ. Μακρά.
172 ΑΓ. Ἀγαστός.

" Σοῖσιν

" Σοῖσιν ἐνὶ μεγάροισιν· ὀϊζυραὶ δέ οἱ αἰεὶ
" Φθίνυσιν νύκτες τε, καὶ ἤματα δακρυχεούσῃ.
" Σὸν δ' ἄπω τις ἔχῃ καλὸν γέρας· ἀλλὰ ἕκηλος
" Τηλέμαχος τεμένη νέμεται, καὶ δαῖτας ἐίσας
" Δαίνυται, ἃς ἐπέοικε δικαστόλον ἄνδρ' ἀλεγύνειν·
" Πάντες γὰρ καλέουσι· πατὴρ δ' ἣ σὸς αὐτόθι μίμνῃ
" Ἀγρῷ, οὐδὲ πόλινδε κατέρχεται· οὐδέ οἱ εὐναὶ,
" Δέμνια, καὶ χλαῖναι, καὶ ῥήγεα σιγαλόεντα·
" Ἀλλ' ὅγε χείματα μὲν εὕδῃ, ὅθι δμῶες, ἐνὶ οἴκῳ,
" Ἐν κόνι, ἄγχι πυρὸς, κακὰ δ' ἕρσοὶ εἵματα εἵται·
" Αὐτὰρ ἐπὴν ἔλθῃσι θέρος, τεθαλυῖά τ' ὀπώρη,
" Πάντῃ οἱ κατὰ γουνὸν ἀλωῆς οἰνοπέδοιο
" Φύλλων κεκλιμένων χθαμαλὴ βεβλήαται εὐνὴ
" Ἔνθ' ὅγε κεῖτ' ἀχέων, μέγα δὲ φρεσὶ πένθος ἀέξει,
" Σὸν πότμον γοόων· χαλεπὸν δ' ἐπὶ γῆρας ἱκάνει.
" Οὕτω γὰρ κἀμὲ ἐγὼν ὀλόμην, καὶ πότμον ἐπέσπον·
" Οὔτ' ἔμ' ἐνὶ μεγάροισιν ἐΰσκοπος ἰοχέαιρα
" Οἷς ἀγανοῖς βελέεσσιν ἐποιχομένη κατέπεφνεν·
" Οὔτέ τις ἔν μοι νόσος ἐπήλυθεν, ἥτε μάλιστα

181 ΟΙ. Οὐχ ὑπὸ μνηστήρων ὀχλεμίνη (ἀδὲ πολὺ γὰρ οἱ μνηστῆρες, οἷα μὴ τίσασθαι ἔτη ἐπίασιν) ἀλλά σε ζητέουσι. ΟΙ. Τελαίπωροι.

182 ΦΘΙ. Φθίρονται, φθινύθουσι.

184 ΤΕ. Χωρία.

185 ΔΑΙ. Εὐωχεῖται. ΑΔ. Κατιθύει.

188 ΡΗ. Βαπτὰ ἀδελφάμβια. ΣΙ. Ποικίλα.

189 ΧΕΙ. Ἐν τῷ χειμῶνι. ΕΥ. ΚΑθηύδῃ.

190 ΚΟ. Ἐν τῇ γῇ. ΚΑ. Λυπρά.

ΗΣ. Ἐνδέδυται.

192 ΓΟΥ. Γόνιμον τόπον.

193 ΚΕ. Κικλασθυμίνων, πεπλακήτων. ΧΘΑ. Οὐχ αἱ ὠδὶς τῇ γῇ, ἀλλ' ἐν τῇ γῇ. ἡ πεπεισμαί. ΒΕ. Βέβληται, κέκυται.

194 ΑΕ. Αὔξῃ.

195 ΓΟ. Θρίων.

196 ΟΥ. Οὐχ ὡς οἱ νεώτεροι, ὅτι ἑαυτὸν ἀνήρτησεν, Ναυπλίῳ ψεύδως μηνύσαντος Θάνατον Ὀδυσσέως. ΟΛ. Ἀπολόμην, ἀπέθανον.

" Τηκεδόνι

" Τηκεδόνι συνερῇ μελέων ἐξείλετο θυμόν·
" Ἀλλά με σός τε πόθος, σά τε μήδεα, φαίδιμ' Ὀδυσσεῦ,
" Σή τ' ἀγανοφροσύνη μελιηδέα θυμὸν ἀπηύρα.
" Ὣς ἔφατ'· αὐτὰρ ἔγωγ' ἔθελον φρεσὶ μερμηρίξας
" Μητρὸς ἐμῆς ψυχὴν ἐλέειν κατατεθνειώσης·
" Τρὶς μὲν ἐφορμήθην, ἐλέειν τέ με θυμὸς ἄνωγε,
" Τρὶς δέ μοι ἐκ χειρῶν, σκιῇ ἐϊκελον, ἢ καὶ ὀνείρῳ,
" Ἔπτατ'· ἐμοὶ δ' ἄχος ὀξὺ γλυκέσκετο κηρόθι μᾶλλον·
" Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδων·
" Μῆτερ ἐμή, τί νύ μ' ὀ μίμνεις ἐλέειν μεμαῶτα,
" Ὄφρα καὶ εἰν ἀΐδαο, φίλας περὶ χεῖρε βαλόντε,
" Ἀμφοτέρω κρυεροῖο τεταρπώμεθα γόοιο;
" Ἦ τί μοι εἴδωλον τόδ' ἀγαυὴ Περσεφόνεια
" Ὤτρυν', ὄφρ' ἔτι μᾶλλον ὀδυρόμενος στενάχίζω;
" Ὣς ἐφάμην· ἡ δ' αὐτίκ' ἀμείβετο πότνια μήτηρ·
" Ὤ μοι τέκνον ἐμὸν, περὶ πάντων κάμμορε φωτῶν,
" Οὔτι σε Περσεφόνεια, Διὸς θυγάτηρ, ἀπαφίσκει,
" Ἀλλ' αὕτη δίκη ἐστὶ βροτῶν, ὅτε κέν τε θάνωσιν.
" Οὐ γὰρ ἔτι σάρκας τε καὶ ὀστέα ἶνες ἔχουσιν,
" Ἀλλὰ τὰ μέν τε πυρὸς κρατερὸν μένος αἰθομένοιο
" Δαμνᾷ, ἐπεί κε πρῶτα λίπῃ λευκὸν ὀστέα θυμὸς,

202 ΣΗ. Εὐχόμενος τῷ ἀγχίνῳ ἐπιτάττειν, ὡς αἰτίαν ἐχόντων τῶν ἑαυτὸν ἐξαναγόντων ἢ βίᾳ. ΑΓ. Περιστᾶτε, φρενῶν ἀθυμίαν.
204 ΕΛ. Περιπλύξασθαι.
205 ΕΦ. Προθυμήθην.
207 ΓΕ. Προσεγίνετο. ΚΗ. Ἐν κῆρι, ἐν τῇ ψυχῇ.
210 ΑΙ. Ἐν ᾅδῃ.
211 ΚΡΥ. Ψύχας καὶ εἴδωλα ποιητικῶς.
ΤΕ. Κορισθᾶμεν.
212 ΕΙ. Τῷ ἀεὶ τὸ ἰδιοπαθὲς μόνον εἰκόνα, ἃ μέν τοι καὶ ἀεὶ ἄλλῳ αἰσθησιν. ΑΓ. Λαμπρά.
215 ΚΑΜ. Δυσχέστατε.
216 ΑΠ. Ἀπατᾷ.
217 ΔΙ. Νόμος.
218 ΙΝ. Τὰ νεῦρα. ΕΧ. Σαπίζεται.
220 ΔΑΜ. Φθείρει. ΛΙ. Καπνὸς πάντα.

" Ψυχὴ

" Ψυχὴ δ', ἠΰτ' ὄνειρος, ἀποπταμένη πεπότητο.
" Ἀλλὰ φόωσδε τάχιστα λιλαίεο· ταῦτα ἢ πάντα
" Ἴαθ', ἵνα καὶ μετόπισθε τεῇ ἐπιδήθα γυναικί.
" Νῶϊ μὲν ὡς ἐπέοικεν ἀμειβόμεθ'· αἱ δὲ γυναῖκες
" Ἦλυθον, (ὤτρυνεν γὰρ ἀγαυὴ Περσεφόνεια,)
" Ὅσσαι δρῖσήων ἄλοχοι ἔσαν, ἠδὲ θύγατρες.
" Αἱ δ' ἀμφ' αἷμα κελαινὸν ἀολλέες ἠγερέθοντο.
" Αὐτὰρ ἐγὼ βάλλόμην, ὅπως ἐρέοιμι ἑκάστην·
" Ἥδε δέ μοι κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή,
" Σπασσάμενος ταχέϊκες ἄορ παχέος περὶ μηροῦ,
" Οὐκ ἔων πιέειν ἅμα πάσας αἷμα κελαινόν.
" Αἱ δὲ, προμνηστῖναι ἐπήϊσαν· ἡ δὲ ἑκάστη
" Ὃν γόνον ἐξαγόρευεν· ἐγὼ δ' ἐρέεινον ἁπάσας.
" Ἔνθ' ἦτοι πρώτιστα Τυρὼ ἴδον εὐπατέρειαν,
" Ἣ φάτο Σαλμωνῆος ἀμύμονος ἔκγονος εἶναι,
" Φῆ δὲ Κρηθῆος γυνὴ ἔμμεναι Αἰολίδαο.
" Ἣ πόσαμὸν ἠράσσατ' Ἐνιπῆος θείοιο,
" Ὃς πολὺ κάλλιστος ποταμῶν ἐπὶ γαῖαν ἵησι·
" Καί ῥ' ἐπ' Ἐνιπῆος πωλέσκετο καλὰ ῥέεθρα.

221 ΠΕ. Ἐπέπτατο.
222 ΑΙ. Προθυμοῦ, ἐπίγυ.
223 ΙΣ. Ἐπίσπου, ἴσασθι. ΤΕ. Τῇ σῇ.
228 ΕΡ. Ἐρωτήσω.
232 ΠΡΟΜ. Ἦτοι ἐπὶ μίαν ἐξῆς, ἢ ἱστάμηλοι· ἢ ἐπὶ σίχας· καὶ ἵσι καὶ τὸ ἔπυμον πεφυμισῖναι, ἀπὸ δ' πρεσμίνεσι τὼ ἱτέαν.
233 ΕΞ. Φαεινῶς ἤλιχεν. ΕΡ. Ἠρώτων.
234 ΤΥ. Σαλμωνίως θυγατέρα. ΕΥ. Ἐν ἤθη εἶπεν· δυσεπῶς γὰρ ἦν ὁ Σαλμωνεὺς, ἀνηρρειτῶν τῷ Διΐ, καὶ ἀνηκεστάτων· διὸ καὶ κίρκοσιν ἐφείπετο· ἐρωτικὸς ὢν κίχρηπτο. ΕΥ. Καλὸν πατέρα ἴχνεσιν, εὐγενῆ.
235 ΣΑΛ. Σαλμωνίδ. ΕΚ. Θυγάτηρ.
237 ΕΝ. Ἐνιπεὺς, Ἠλιὰς ποταμὸς Θεσσαλίας· πῶς ἂν οὖ Ἰλιάδι ὁ Ἀξιός; ἢ ἐπεὶ μὴ Ἀξίη τὸ ὕδωρ, ἐπεὶ Ἐνιπίης τὸ σῶμα· οὕτω καὶ ἑρμῆς.
239 ΠΩ. Ἀνιστίφιτο.

" Τῷ δ' ἄρα εἰσάμβως γαιήοχος Ἐννοσίγαιος,
" Ἐν πεζοχοῆς ποταμοῦ πυρελέξατο δινήεντος·
" Πορφύρεον δ' ἄρα κῦμα ποτὶ ῥόον, ὄρεϊ ἶσον,
" Κυρτωθὲν, κρύψεν τε θεὸν, θνητῷ τε γυναῖκα·
" Λῦσε δὲ παρθενίῳ ζώνῃ, κατὰ δ' ὕπνον ἔχυσεν.
" Αὐτὰρ ἐπεί ῥ' ἐτέλεσε θεὸς φιλοτήσια ἔργα,
" Ἓν τ' ἄρα οἱ φῦ χειρὶ, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε·
" Χαῖρε, γύναι, φιλότητι· ποτιπλομένῳ δ' ἐνιαυτῷ,
" Τέξεις ἀγλαὰ τέκνα· ἐπεὶ οὐκ ἀποφώλιοι εὐναὶ
" Ἀθανάτων· σὺ δὲ τὰς κομέειν, ἀτιταλλέμεναί τε.
" Νῦν δ' ἔρχευ ποὸς δῶμα, κὴ ἴσχεο, μηδ' ὀνομήνῃς·
" Αὐτὰρ ἐγώ τοι εἰμὶ Ποσειδάων ἐνοσίχθων.
" Ὡς εἰπὼν, ὑπὸ πόντον ἐδύσατο κυμαίνοντα.
" Ἡ δ' ὑποκυσαμένη, Πελίῃ τέκε κὴ Νηλῆα·
" Τὼ κρατερὼ θεράποντε Διὸς μεγάλοιο γενέσθην
" Ἀμφοτέρω· Πελίης μὲν ἐν εὐρυχόρῳ Ἰαολκῷ
" Ναῖε πολύρρηνος· ὁ δ' ἄρ' ἐν Πύλῳ ἠμαθόεντι.
" Τὰς δ' ἑτέρας Κρηθῆι τέκεν βασίλεια γυναικῶν,
" Αἴσονά τ', ἠδὲ Φέρητ', Ἀμυθάονά θ' ἱπποχάρμην.
" Τὴν δὲ μετ', Ἀντιόπην ἴδον, Ἀσωποῖο θύγατρα,

241 ΠΡΟ. Ἐπαφροδίτως ὁμοῦ καὶ φιλονείκως, ἐν αὐτῷ μίσῳ τῷ ποταμῷ, ᾧ δὴ ἡ Τυρὼ ἤρα, τῷ Ποσειδῶνι κοινωνῆσαι θελῆσαι, ὥσπερ ἐπιχειλῶντα. Περοχοῆσι δ', τοῖς εἰς θάλασσαν τὸ ποταμῶν στόμασιν.
242 ΠΟΡ. Μίλαν. ΟΥ. Τῷ ὄρει.
244 ΑΥ. Ἀντὶ τοῦ, διαπερθίνουσιν.
245 ΦΙ. Ἑρωτικῶ· τυτίσι, τῷ μίξιν.
247 ΠΕ. Περιεχομένην.
248 ΑΠ. Ἀδόκιμοι, ἄγονοι, ἄπαιδες, ἄκαρποι.
249 ΚΟ. Ἐπιμελείας ἀξιῶν. ΑΤ. Ἐκ νηπίων ἀνατρέφειν.
250 ΙΣ. Ἡσύχαζε. ΟΝ. Ἐξείπῃς.
253 ΥΠ. Ἔγκυος γινομένη.
254 ΘΕ. Βασιλεῖς· κὴ γὰρ οἱ πολιμικοὶ, θεραπόντες Ἄρεως.
255 ΕΥ. Πλατυχώρῳ, μεγάλῃ. ΙΑ. Ἰωλκῷ. Ἰωλκὸς, πόλις Θετταλίας.
257 ΠΟ. Πολλὰ πρόβατα ἔχων.
258 ΠΡ. Ἤτοι χαίροντα ἵπποις· ἢ ἐφ' ἵπποις μαχόμενον.

" Ἡ

" Ἦ δὴ καὶ Διὸς εὔχετ' ἐν ἀγκοίνῃσιν ἰαῦσαι,
" Καί ῥ' ἔτεκεν δύο παῖδ', Ἀμφίονά τε, Ζήθόν τε,
" Οἵ πρῶτοι Θήβης ἔδος ἔκτισαν ἑπταπύλοιο,
" Πύργωσάν τ' ἐπεὶ ἤ μὲν ἀπύργωτόν γ' ἐδύναντο
" Ναιέμεν εὐρύχορον Θήβην, κρατερώ περ ἐόντε.
" Τὴν δὲ μέτ', Ἀλκμήνην ἴδον, Ἀμφιτρύωνος ἄκοιτιν,
" Ἣ ῥ' Ἡρακλῆα θρασυμέμονα, θυμολέοντα,
" Γείνατ', ἐν ἀγκοίνῃσι Διὸς μεγάλοιο μιγεῖσα.
" Καὶ Μεγάρην, Κρείοντος ὑπερθύμοιο θύγατρα,
" Τὴν ἔχεν Ἀμφιτρύωνος ὑὸς, μῶλός αἰὲν ἀτειρής.
" Μητέρα τ' Οἰδιπόδαο ἴδον, καλὴν Ἐπικάστην,

260 ΕΥ. Ἕλιχιν, σκαιχᾶτο. ΙΑΥ. Καὶ ἰνδῆσιν.

262 ΠΡΩ. Μετὰ γὰ τέτυς, Καὶ μ@.

263 ΠΥΡ. Καὶ ἐτείχισαν. ΕΠ. Διὰ τὰς Φλίγυας· μᾶ ἢ τὸν πλέτωνα αὐτῶν, Εὐρύμαχος ἠρήμωσε τὰς Θήβας, ὡς φησὶ Φερεκύδης ἐν τῇ ἑνδεκάτῃ.

264 ΝΑΙ. Οἰκεῖν.

265 ΑΛΚ. Τηλεβόαι στρατεύσαντες, κτείνωσι τὸν Ἠλεκτρύωνα παῖδα τῆς θυγατρὸς Ἀλκμήνης καὶ θρεμμάτων ἀγωνιζόμενον· καὶ Ἀμφιτρύων ἀποκλείνας ἀκουσίως Ἠλεκτρύωνα, φεύγει εἰς Θήβας· Ἀλκμήνη ἢ ἡ Ἠλεκτρύωνος, ὃν ἐβούλετο γαμηθῆναι, πρὶν τίσασθαι τοὺς Τηλεβόας, ὑπισχνεῖται ἢ τῶτο Ἀμφιτρύων, καὶ αὐτῷ εἰς Θήβας μεταγαγὼν, περεύσας ἐπὶ Τηλεβόας. ἐν πάσῃ Ζεὺς τῇ νυκτὶ ἀφικνεῖται ἐπὶ τῷ Ἀμφιτρύωνος οἰκίαν, ἔχων κατηχήσιν ὁμοίως Ἀμφιτρύωνι. ἡ ἢ Ἀλκμήνη δοκᾶσα τὸν ἑαυτῆς παῖδα ἦναι, πωθάνῃ τὸν τῶν Τηλεβόων, εἰ κατέλειπεν αὐτός. ὁ ἢ Ζεὺς, λέγων αὐτῇ πάντα, ὅσα ἐγένετο, δίδωσι καὶ τὸ κατηχήσιον, φάμενος χρῆσθαι εἰς λαφύραν παρὰ τῶν τηλεβοῶν· ἡ ἢ ἀσμένως ἀπολήψεσθαι. ἐπὶ πάσῃ σωθεισῶν Ζεὺς ἀπέρχεται, καὶ τῇ αὐτῇ παραγενόμενος νυκτὶ Ἀμφιτρύων, μίσγεται· καὶ γίνεται Ἀλκμήνη, ἐκ μὲν Διὸς, Ἡρακλέα· ἐκ ἢ Ἀμφιτρύωνος, Ἰφικλέα· ἡ ἱστορία παρὰ Φερεκύδῃ.

266 ΘΥ. Λεοντόψυχον.

268 ΚΡΕΙ. Κρέοντος· ὄνομα ἢ κύριον, ὁ Κρέων. ΜΕΓ. Θυγάτηρ Κρέοντος, τοῦ Θηβῶν βασιλέως γημαμένη Ἡρακλεῖ, παῖδας ἴσχε Θηριόμαχον καὶ Κρεοντιάδην· βαδίζοντος ἢ αὐτὸ εἰς ᾅδου, ἐπὶ τὸ τῶ κυνὸς ἄθλον, Λύκος ὁ Θηβῶν βασιλεὺς πείθει Ἥρας, καθαιρεθῆναι τὸν Ἡρακλέους παῖδας· μανεὶς ἢ ὑφὸ τῆς Ἥρας κλείνει τὸς ἰδίους. ἐμιμνε ἢ καὶ τὸ ἀδελφὸν Ἰφικλέα, εἰ μὴ ἔφθασεν Ἀθηνᾶ κωλύσασα. ἡ ἢ ἱστορία παρὰ Ἀσκληπιάδῃ. ΜΕ. Ὀργῆς ἀφορήτε μοιρᾶς.

270 ΟΙ. Λαΐου, ὁ Οἰδίποδος πατὴρ, παρὰ Φοίβε μαντείαν λαβὼν, ὅτι τικτόμενος παῖς ἀπ' αὐτῦ, ἀναιρεῖ αὐτὸν, Ἐπικάστην γήμας γυναῖκα Οἰδίποδα, καὶ

" Ἦ μέγα ἔργον ἔρεξεν ἀισχρείῃσι νόοισι,
" Γημαμένη ᾧ υἷϊ· ὁ δ' ὃν πατέρ' ἐξεναρίξας
" Γῆμεν· ἄφαρ δ' ἀνάπυστα θεοὶ θέσαν ἀνθρώποισιν.
" Ἀλλ' ὁ μὲν ἐν Θήβῃ πολυπράτῳ ἄλγεα πάσχων,
" Καδμείων ἥνασσε, θεῶν ὀλοὰς διὰ βουλάς·
" Ἡ δ' ἔβη εἰς Ἀΐδαο πυλάρταο κρατεροῖο,
" Ἀψαμένη βρόχον αἰπὺν ἀφ' ὑψηλοῖο μελάθρου,
" Ὤ, ἄχεϊ σχομένη· τῷ δ' ἄλγεα κάλλιπ' ὀπίσω
" Πολλὰ μάλ', ὅσα τε μητρὸς Ἐρινύες ἐκτελέουσι.
" Καὶ Χλῶριν εἶδον περικαλλέα, τὴν ποτε Νηλεὺς

τῦτον ἐκτίθησι· Σικυώνιοι δ' ἐκποφορεῖοι ἀναλαβόντες ἔτερον αὐτόν. ἡλικίας δ' ἠδόμβῳ ὁ Οἰδίπους, ἦλθεν εἰς Θήβας, ἐπιζητῶν τὰς γονέας· ἀποκείνας δ' ἀγνοίας τὴν πατέρα, καμοῦσαν αὖθις γάμου, οὐκ εἰδὼς, τὴν μητέρα, ἐπλυσιμβῳ· τὸ δ' Σφιγγὸς αἴνιγμα, τὸ λίγον, τί δίπους, τί τρίπους, τί τετράπους; ἢ λίγομεν, ὅτι τὸ δίπους ἐστὶν ὁ ἄνθρωπος, τὸ τρίπους γέρων βαστάζων βακτηρίαν, καὶ τὸ τετράπους, τὸ νήπιον τὸ συρόμβιον. γόνος δ' ἦν τέτων Ἐτεοκλῆς καὶ Πολυνείκης, καὶ θυγατέρες, Ἀντιγόνη καὶ Ἰσμήνη· ὕστερον δ' ἡ Ἰοκάστη ἐπιγνῦσα, ὅτι τῷ παιδὶ παρεμίγη, ἑαυτὴν ἀνήρτησεν. ὁ δ' Οἰδίπους σκηπτὸν ὑπὸ Κρέοντος, ἦλθεν εἰς τὴν Ἀτθίδα, καὶ ἵκετο Ἱππίαν Κολωνὸν καλάμβιον, καὶ ἱκέτευεν ἐν τῷ ἱερῷ τῶν θεῶν Δήμητρος, καὶ πολιάχα Ἀθηνᾶς ἐν Διὸς· ἔπειτα δ' ἀγόμβιος ὑπὸ Κρέοντος ἔχε βοηθῦντα Θησέα. Τιλοτῶν δ' ὁ Οἰδίπους διὰ γῆρας, παρεκάλιπε τὸ Θησέα μηδενὶ τῶν Θηβαίων δῖξαι τὸ τάφον· ἐλιλήσει γὰρ αὐτὸν καὶ νικηρὸν αἰκίσασθαι· ἡ ἱστορία παρὰ Ἀνδροτίωνι. ΕΠ. Παρὰ τοῖς τραγικοῖς, Ἰοκάστῳ.

271 ΝΟ. Τὸ νῦ.

272 ΕΞ. Ἀνιλῶν, φονεύσας.

273 ΑΝ. Ἀνὰ τίμα πᾶσι λέγειν, καὶ σωφρονεῖσθαι· ἢ φαυερῷ.

274 ΠΟ. Πολλὰς ἀρὰς καὶ βλασφήμους ὑπὸ τῶν γονέων, ἃ γὰρ ἐρεσκείῃ· ὅπως ἂν ἡ τῷ ὑποκειμένῳ ἀκόλυθον.

275 ΘΕ. Τὸ ἐξῆς, ἄλγεα πάσχων θεῶν ὀλοὰς διὰ βουλὰς, Καδμείων ἤνασσεν· οὐχί, θεῶν ὀλοὰς διὰ βουλὰς ἤνασεν.

276 ΠΥ. Τὰς τῶν πύλας ἰσχυρῶς ἐπαρτῶντος ἐ συγκλείοντος.

277 ΑΨ. Ἐκθήσεται, ἀνάψασα. ΑΙ. Ὑψηλὸν, πρὸς τὴν γλῶ ἀφιστήκητα ΜΕ. Νεῶ, δεκῆ.

278 Ω. Νικηθῆσα ὑπὸ τ' ἰδίας λύπης. ΣΧ. Κατοχηθῆσα.

280 ΧΛΩ. Νηλεὺς, ὁ Ποσειδῶνος καὶ Τυρῶς παῖς, ἐξελαθεὶς ὑπὸ Πιλίν, ᾧ ἀδελφῷ, τ' Ἰωλκῶ, ἀφίκετο εἰς Μεσσήνην τ' Πελοποννήσε· καὶ λαοῦν παρ' ἰσχυρείαν, τὴν Πύλον κτίζει· ἐ γαμεῖ Χλῶριν, τὴν Ἀμφίονος, ᾧ Ἴασε καὶ Φερητφόνης, τῆς Μίνυ θυγατέρος· βασιλεύει τε ἐ μόνον τ' Πυλίων, ἀλλὰ καὶ τ' ἐν Ὀρχομβῷ, καὶ γίνεται εὐδαιμονῶν. ἡ ἱστορία παρὰ Φερεκύδῃ.

" Γῆμεν,

" Γῆμεν, ἓὸν Ἀλὸ κάλλος, ἐπεὶ πρὸ μυρία ἔδνα,
" Ὁπλοτάτῳ κούρην Ἀμφίονος Ἰασίδαο·
" Ὃς ποτ' ἐν Ὀρχομενῷ Μινυηΐῳ ἶφι ἄνασσεν,
" Ἠδὲ Πύλῳ βασίλευε· τέκεν δέ οἱ ἀγλαὰ τέκνα,
" Νέστορά τε, Χρομίον τε, Περικλύμενόν τ' ἀγέρωχον. 285
" Τοῖσι δ' ἔπ' ἰφθίμην Πηρὼ τέκε, θαῦμα βροτοῖσι,

282 ΟΠ. Νειοτάτῳ. ΑΜ. Ἔπρεσε δὲ ὁ Ἀμφίων· Ἀρχαῖος, ὁ Διός.

283 ΟΡ. Ὀρχομὸς, πόλις Βοιωτίας.

285 ΝΕ. Πῶς ἂν οὖν Ἰλιάδι, Δώδεκα γὰρ Νηλῆος ἀμύμονες υἱέες ἦμεν; ἐξ ἄλλων καὶ ἄλλων· οὐκ Χλωρίδος ἦ πρεῖς· ἃ τῷ κατ' ἰξοχὴν τῶν τελῶν ἐμνήσθη· Χρομίῳ μὲ, ὡς πεισοῦπάτῳ· Περικλυμένῳ ἦ, ὡς ἀνδρειοτάτῳ· Νέστορι ἦ, ὡς σωφρονεστάτῳ. ΠΕ. Ἡσίοδος δὲ Περικλύμβοιον ἀπαγέσθαι δῶρα ἀληθείας παρὰ Ποσειδῶνος, ὥστε ἀμείβεσθαι ἑαυτὸν εἰς οἷα ζῶα, ἢ ἄνδρα, ἢ θῆλυ τι κἀκεῖνα. ΑΓ. Νῦν, τὸ ἄγαν ῥᾳδίως μεταφερόμενόν τι καὶ μεταχειρόμενον εἰς ὃ ἂν βούλοιτο.

286 ΠΗΡ. Νηλεὺς, ὁ Ποσειδῶνος, ἴσχων θυγατέρα, Πηρὼ τοὔνομα, κάλλει ὑπερτερεστάτῳ, οὐδενὶ πώποτε ἐξιδίδου πρὸς γάμον, εἰ μὴ πρότερον ἐκ Φυλάκης τῆς τῆς μητρὸς Τυρῦς ἐλάσειεν τὶς βοῦς παρ' Ἰφίκλου· πάντων δὲ ἀπρεμιόντων, Βίας, ὁ Ταλαοῦ, μόνος ὑπεχείρει δρᾶσειν τοῦτο, καὶ πείθει τὸν ἀδελφὸν Μελάμποδα ἰέναι τὸ ἔργον· ὁ δὲ καὶ πρὸ ἀδοῦς, ἅτε δὴ μάντις, ὅπ ἀλώσιτην σφισιν, εἰς τὸν Ὄθρυν ἀφικνεῖται ἐπὶ τὰς βοῦς· οἱ δὲ φύλακες σφᾶς καὶ οἱ βουκόλοι κλέπτοντες αὐτὸν λαμβάνουσι καὶ παραδιδόασιν Ἰφίκλῳ· καὶ δηθὲς ἐφυλάσσετο, περιζωγμένων αὐτῷ χερσὶν δύο, ἀνδρὸς καὶ γυναικός· καὶ ὁ μὲν ἀνὴρ αὐτὸν ἐπισκώπτων ὑπερέπτυεν, ἡ δὲ γυνὴ φαυλότερον. ἐπεὶ δὲ ὁ σφισιν ὀλίγον ὡς τὸ πλεῖστον ἐδεήθη, Μελάμπους ἀκριβῶς ὑπέρθυ τινῶν σκωλήκων ἀφελιγμένων, ὅτι καταδιορώρυκεν τὸν δοκόν· καὶ τοῦτο ἀκούσας καλεῖ τὸς ἀφικνουμένους, ὃ κιλιών, αὐτὸν σαφέρειν τὸ κλίνης, λαμπρὸν ἁρμὸς τὸν μὲ γυναῖκα πρὸς ποδῶν, τὸ δὲ ἄνδρα ὡς κεφαλῆς· οἱ δὲ αὐτὸν ἀνακλαδόντες σαφέρουσιν· ὁ δὲ ἀκούσας καὶ ἐπιπλήξας τῇ γυναικὶ καὶ κτείνῃ αὐτῷ· ὁ δὲ ἀνὴρ ἐξαγγείλῃ τῷ Φυλάκῃ, ὁ δὲ Φύλακος Ἰφίκλῳ, τὰ γεγονότα. οἱ δὲ ἐλθόντες παρὰ τὸ Μελάμποδα, ἐρωτῶσιν αὐτὸν τίς ἐστι; ὁ δὲ ἔφη μάντις εἶναι. οἱ δὲ αὐτῷ τὰς βοῦς ὑποσχόντες δώσειν, ἐὰν μηχανήσηται ἐὰν μηχανήσηται παίδων γενέσιος Ἰφίκλῳ, καὶ πεύσεται ταῦτα. ὁ δὲ Μελάμπους βοῦν ἱερεύσας τῷ Διὶ, ἀμφιεῖ μέρεσι πᾶσι τοῖς ὄρνισιν· οἱ δὲ ἦλθον πάντες, πλὴν ἑνὸς αἰγυπιοῦ. ὁ δὲ Μελάμπους ἐρωτᾷ πάντας τοὺς ὄρνιθας, εἴπ οἶδε μηχανὴν, πῶς ἂν Ἰφίκλῳ γένοιντο παῖδες· ἀπερύετις δὲ ἐκεῖνοι, κομίζουσι τὸ αἰγυπιόν. ἔτος δὲ τῷ αἰτίῳ τὸ ἀπαιδίας ἀπορᾶς ἰδοῦσας ὕρυε· διὸ καὶ τὸ Φύλακος μὴ μαχαίρας τὸ Ἰφίκλου ἔτι νεογνὸν ὄντα, ἀλλὰ τὸ ἰδεῖν αὐτὸν ἄτοπόν τι πεισόντα, ἔπεσε τὸ Φύλακος μὴ κωλαλαμῶσαι, πῆξαι τῷ μάχαιραν εἴς τινα ἄχερδον, καὶ ἀφεῖναι αὐτῷ τὸ φλοιόν· τὸ δὲ Ἰφίκλου ἀλὸ τὸ δίο μηκέτι παῖδας ποιῆσαι. ἐπιλείπουσιν δὲ ὁ αἰγυπιὸς τὴν μάχαιραν τὴν

" Τὴν πάντες μνώοντο ϖᾶσιν ἐπίτομον. ἀδέ τι Νηλεὺς
" Τῷ ἐδίδου, ὃς μὴ ἕλικας βόας εὐρυμετώπους
" Ἐκ Φυλάκης ἐλάσειε βίης Ἰφικληείης
" Ἀργαλέας· τὰς δ' οἷος ὑπέσχετο μάντις ἀμύμων
" Ἐξελάαν· χαλεπὴ ἦ θεὸς κατὰ μοῖρα τέθηπε,
" Δεσμοί τ' ἀργαλέοι, καὶ βουκόλοι ἀγροιῶται.
" Ἀλλ' ὅτε δὴ μῆνές τε καὶ ἡμέραι ἐξετελεῦντο,
" Ἀψ ϖερτελλομένου ἔτεος, καὶ ἐπήλυθον ὧραι,
" Καὶ τότε δή μιν ἔλυσε βίη Ἰφικληείη,

ἐν τῷ ἀχέρδῳ κομίζειν, ἓ ἀποσμήξαντα τὸ ἰὸν δίδοναι ἀπ' αὐτῆς πιεῖν· ἐν οἴνῳ δίκα ἡμέρας Ἰφικλῆι, χρώσῃ δὲ αὐτὸν παῖδας οὐ τότε. ποιήσας ὁ Ἰφικλῆς τοῦτο, τῷ χρόνῳ ἀναμίμνησκει, καὶ ἴσχει Ποδάρκῃ παῖδα· καὶ δίδωσι τὰς βοῦς τῷ Μελάμποδι· ἃς λαοῦν εἰς Πύλον, δίδωσι Νηλεῖ τὰ ἴδια τῆ Περῶς, καὶ λαμβάνει αὐτῷ τῷ ἀδελφῷ Βίαντι ϖρὸς γάμον, ἓ αὐτῷ γίνονται παῖδες, Περιάλκης, καὶ Ἄρητος, καὶ Ἀλφεσίοια. ἡ δ' ἱστορία παρὰ Φερεκύδῃ ἐν τῇ ἑβδόμῃ.

287 ΜΝΩ. Ἐμνηστεύοντο. ΠΕ. Οἱ ϖροικῶντες.

288 ΕΥ. Πλακουντάπους.

289 ΦΥ. Τυρὸν ἦλθε παρὰ Δηϊονέα τὸν Θεῖον· ὁ δ' καθαχὼν αὐτῷ, εἰς Θεσσαλίαν δίδωσι Κρηθεῖ τῷ ἀδελφῷ, ἤδη ἐκ Ποσειδῶνος ἐγκυμονοῦσαν Νηλέα καὶ Πελίαν. ὁ τοίνυν Νηλεὺς Ἰφίκλου τὸν Φυλάκης τῶν Δηϊονέως, ἀπῄτει τὰ τῆ μητρός· καὶ ὃς οὐκ ἀπεδίδου. Μελάμπους δέ, ὁ Ἀμυθάονος, ὑπὸ δρυμῶντων τὰ ὦτα κομισθεὶς, ὡς καὶ τὰ ἀλόγων ὑπακούειν ζώων, τὰς Ἰφίκλου βοῦς ἀπελαύνει· ἐπειρᾶτο, ὑπὲρ δὲ γάμου Περοῦς, τοῦ Νηλέως, Βίαντος, τὸν ἀδελφὸν αὐτοῦ· συλληφθεὶς δὲ καὶ εἰς εἱρκτὴν ἐμβληθεὶς, κατακύσας τὸ ἀλλοιρομένων σκωλήκων, ὀλίζον ἐπ' ἀπίχθας τὸ δικοῦ, ἐπίλυσιν ἐκτιμώσηναι. ἓ δὲ οἰκήματος κατιεχθέντος, μαθὼν ὁ Ἰφίκλος, ὑπονοεῖται τὸν Μελάμποδα τὰς βοῦς, ἕνα τῆς ἀπωλείας αὐτὸν ἀλῷ τὸ τέχνης παύσειεν· ὁ δὲ Μελάμπους παρ' αἰγυπιῶν μαθὼν τοῦ αἴτιον, καὶ ἀναζητήσας ἐκεῖνον τὸν μάχαιραν ἀκόνῃ φλοιοῦ κεκαλυμμένην, ἣν ὑπέστρεψε Φυλάκης τῷ Ἰφίκλῳ ἐπὶ τῷ ἀχρῶν ἐκτέμνοντα τὰ πτερώποδα, θύσας τε βοῦς, μηνύσειν ὑπὲρ τῆς τῶ πτερώποδων ὑγιείας, τὸν Ἰφίκλου ἀπιφήνατο παῖδα Περίσιλάν καὶ Ποδάρκην. ΦΥ. Πόλεως Θεσσαλίας. ΕΛ. Ἀπιλάσειν. ΒΙ. Περιφρασικῶς, ἓ Ἰφίκλῳ.

290 ΑΡ. Χαλεπὰς, δυσκόλως· ἀπὸ ἓ ϖεσέχοντο δὲ καὶ ἔξωθεν πτάγμασθε, αὐτὸ τὸ ϖεσεχόμενον ἐπονόμασεν. Ἀργαλίαι γὰρ, οὐκ αὐταὶ αἱ βόες, ἀλλ' αἱ ϖερὶ αὐτὰς ϖραγματεῖαι ἓ ϖονδαί.

291 ΕΞ. Ἀπελαύνειν. ΧΑ. Δύσκολος, κακή.

292 ΑΓ. Ἀχρόνοι.

293 ΕΞ. Ἐπλείσθησαν.

294 ΠΕ. Εἰς τὰπίσω ἓ ἴτυς ϖεσιόντος.

" Θέσφατα

" Θέσφαθ' πάντ' εἰπόντα· Διὸς δ' ἐτελείετο βουλή.
" Καὶ Λήδην εἶδον, τὴν Τυνδάρεω παράκοιτιν,
" Ἣ ῥ' ὑπὸ Τυνδάρεῳ κρατερόφρονι γείνατο παῖδε,
" Κάστορά θ' ἱππόδαμον, καὶ πὺξ ἀγαθὸν Πολυδεύκεα·
" Τὼς ἄμφω ζωὼς κατέχει φυσίζοος αἶα·
" Οἳ καὶ νέρθεν γῆς τιμὴν πρὸς Ζηνὸς ἔχοντες,
" Ἄλλοτε μὲν ζώουσ' ἑτερήμεροι, ἄλλοτε δ' αὖτε
" Τεθνᾶσιν, τιμὴν δὲ λελόγχασ', ἶσα θεοῖσι.
" Τὴν δὲ μέτ', Ἰφιμέδειαν, Ἀλωῆος παράκοιτιν,
" Εἶσιδον, ἣ δὴ φάσκε Ποσειδάωνι μιγῆναι·
" Καί ῥ' ἔτεκεν δύο παῖδε, (μινυωθαδίω δὲ γυνέσθην,)
" Ὦτόν τ' ἀντίθεον, τηλεκλειτόν τ' Ἐφιάλτην.
" Οὓς δὴ μηκίστους θρέψε ζείδωρος Ἄρουρα,
" Καὶ πολὺ καλλίστους, μετά γε κλυτὸν Ὠρίωνα·
" Ἐννέωροι γὰρ τοί γε, καὶ ἐννεαπήχεες ἦσαν
" Εὖρος, ἀτὰρ μῆκός γε γυνέσθην ἐννέόργυοι.

296 ΔΙ. Τὸ πεπεωμένον ἀλάμεθα τέλεθ'.

297 ΛΗ. Ζεὺς, Λήθας ἐραθεὰς, τῇ Θείδι παιδὸς, ἃς κύνεσ' ἑαυτὸν μετίσκεσθαι, ἐξ Ἀλφειὸς ἐμίγη αὐτῇ. μετὰ χρόνον δὲ σκάπτουσα πεδίον ὠδῖνας ἀπτίβολλεν ἐς λάρνακα, ὅθεν σωθεῖσα τὰς τε Διοσκόρους καὶ τὴν Ἑλένην γουσθαι· χρόνῳ μὲν Διὸς, ἐπίκλησιν δὲ Τυνδάρεω. ἡ δ' ἱστορία παρὰ τοῖς νεωτέροις.

299 ΚΑ. Τούτων, ὁ μὲν Πολυδεύκης ἀπὸ μὲν θεᾶς ἀθανασίαν ἱστορεῖται γυνέσθαι, ὁ δὲ Κάστωρ, ἀπὸ Τυνδάρεω.

300 ΦΥ. Πρὸς τὸ ζῆν φύσιν. ΖΩ. Ἀναριθμήτῳ. Κάστορος ὑπὸ Μελεάγρου, ἢ Πολυκεύκους, Πολυδεύκης ἄφθαρτος ὤν, ἀφ' τὸ οὐ Διὸς γεγονέναι, παρεκάλεσε τὸν πατέρα, ὅπως ἐπιτρέψῃ αὐτῷ κάμνοντα πρὸς τὸν ἀδελφὸν τὸν ἀφθαρσίαν, ὥστε παρ' ἡμέραν ἀμφοτέρους, ὁτὲ μὲν ἐν Ὀλύμπῳ ἀφικνεῖσθαι, ὁτὲ δὲ ἐν Ἀϊδωνέως.

302 ΕΤ. Παρ' ἡμέραν ἀμφότεροι, ἢ μίαν παρὰ μίαν ἡμέραν ζῶντες.

303 ΤΕΘ. Τιλοῦσθαι. ΑΕ. Ἔχειν, κεκλήρωντας.

304 ΙΦ. Τὴν δὲ Τρίοπος.

306 ΜΙ. Ὀλιγοχρόνιοι.

308 ΜΗ. Τί ἂν ὁ Τιτυὸς ἐπ' οὐδὲν κεῖτο πέλεθρα; γηθοῦς οὐκοῦν· τούτους δ' ἀντιξιοῖ ἀνθρώπους.

310 ΕΝ. Ἐννεαπήχεις.

311 ΕΥ. Πλάτος. ΜΗ. Διαμέτρου ἡ ἀκρόθωρα· ἀνάλογον δὲ σῶμα, οὗ τὸ πλάτος, τρίτον ἐστὶ τοῦ μήκους. ΕΝ. Ἐννέα ὀργυιῶν. Ὀργυιὰ δέ ἐστιν, ἡ τῶν χειρῶν ἔκτασις.

" Οἵ

" Οἵ ῥα ϗ ἀθανάτοισιν ἀπειλήτῳ, ἐν Ὀλύμπῳ
" φυλόπιδα ϛήσειν πολυάϊχος πολέμοιο·
" Ὅσαν ἐπ' Οὐλύμπῳ μέμασαν θέμεν, αὐτὰρ ἐπ' Ὄσσῃ
" Πήλιον εἰνοσίφυλλον, ἵν' ἀρανὸς ἀμβατὸς εἴη. 315
" Καί νύ κεν ἐξετέλεσσαν, εἰ ἥβης μέτρον ἵκανον·
" Ἀλλ' ὄλεσεν Διὸς υἱός, ὃν ἠύκομος τέκε Λητὼ,
" Ἀμφοτέρω· πρὶν σφῶϊν ὑπὸ κροτάφοισιν ἰούλους,
" Ἀνθῆσαϛ, πυκάσσϛ τε γένυσι εὐανθέϊ λάχνῃ.
" Φαίδρην τε, Πρόκριν τε ἴδον, καλήν τ' Ἀριάδνην, 320

312 ΑΠ. Διοϊδαώτο.

313 ΦΥ. Μάχλω. ΠΟ. Πολλὰς ἁρμὰς ϗ κινήσεις ἔχοντα.

314 ΟΣ. Ἵν' ἐξ ἴσα μεγέθας πολεμῶσιν· ἀθετῶν ϗ, ὡς ἀδύνατον· ἀλλὰ μίμασθαι, φησὶν, οὐκ ἔπραξαν δέ. ΟΣ. Ὅσσα, ὄρος Θεσσαλίας. ΟΛ. Ὄλυμπος, ὄρος Μακεδονίας. ΘΕ. Ἐπιθεῖναι.

315 ΠΗ. Ὄρος Θεσσαλίας. ΑΜ. Εὐεπίβατος.

316 ΕΞ. Ἐπλέωσαν, ἐπλήρωσαν. ΗΒ. Ἀντὶ ϝ, νεανίαι ἐγένοντο.

317 ΥΙ. Οἱ νεώτεροι φασὶ, τὸν Ἄρτεμιν ἕλαφον ἐάσαι δ' αὐτῶν, τὸν ϗ εἰς τὸν ἕλαφον ἀφίντας, ἀκόντας ἀφικέσθαι.

318 ΙΟΥ. Τὰς ϗ τ' ϛόμα πώπτας τρέχας, ἰούλους λέγει. Ἀφὸ τὸ τὰς ἥδη πώπτας ἔχοντας ἀρχὴν εἶναι ἐπὶ τὸ ὅλον, οὕτω τὸ τέλειον λέγει.

319 ΠΥ. Καλύψαι. ΕΥ. Εὐφυεῖ. ΑΑΧ. Τελχῶσί.

320 ΦΑΙ. Φαίδρα, Μίνωος θυγάτηρ, γυνὴ Θησέως. Θησεὺς, ὁ Αἰγέως, ἔχων παῖδα Ἱππόλυτον ἐξ Ἀμαζόνος Ἀντιόπης, ἔγημε Φαίδρην, τὴν Μίνωος θυγατέρα, τὴν τ' Κρητῶν βασιλέως· ὑλαοῦμβος ϗ μητρυιᾶς ἐπιθυμῶν, πέμπει ἐξ Ἀθηνῶν τὸν υἱὸν Ἱππόλυτον, Τροιζηνίων ἄρχειν· ἦν γὰρ αὐτῷ Ἀφὸ τῶν Πιτθέως Αἴθρας μητρὸς τῆς ἀρχὴ θεῖον. Φαίδρα ϗ, ἐρωτικῶς Ἀφιγθεῖσα τῷ Ἱππολύτῳ, σφοδρῶς ἐπ' αὐτῷ τικτομένη, τὸ μὲ πρῶτον ἱερὸν Ἀφροδίτης ὑπὸ Ἀθήνας ἱδρύσατο, τὸ τῶν Ἱππολύτειον καλούμενον· εἰς Τροιζῆνα ϗ ὕστερον παραγενομένη, διετέλει πίθειν τὸν νεανίσκον, ὅπως αὐτῇ μιγείη· χαλεπῶς δ' ταῦτα ἀποδεξαμένου τὸ λόγῳ, λίαν φοβηθεῖσα αὐτῶν ἀπηρίψατο τὴν αἰτίαν, καὶ ὡς Θησέα Ἀφικόμενον, ὡς Ἱππολύτῳ πειρῶντο αὐτὴν. ὁ δὲ τεθνᾶν, ὡς φασὶ, αὐτῷ περὶ τὸν Ποσειδῶνος εὐχῶν εἶναι ὡμολόγησεν, ὅ, τι ἂν εὔξηται σωτηρίαν, πιστεύσας τῇ Φαίδρᾳ, μίαν τούτων ἠτήσατο, τὸν δὲ παῖδα ὀλέθριον. ἐκεῖνον μὲν ὡμολόγησε τὸ ἅρμα γυμνάζοντα, παραφανέντα ἐξαίφνης ἀπὸ τῆς θαλάσσης ταῦρον, ὃν παραχθέντων τῶν ἵππων, ἐληθόμενον ἀπηνεῖν τὴν Φαίδραν ϗ, φανερὰς γενομένης τὰς Ἀφροδίτης, ἀπέγξασθαι. ἡ ἱστορία παρὰ Ἀσκληπιάδῃ. ΠΡΟ. Πρόκρις, Ἐρεχθέως θυγάτηρ, Κέφαλον τὸν ἰωνῆς ἄνδρα σωφρόνως ἐπὶ θήραν ἐξιόντα ἐτέρᾳ λαθραίως, Ἀφὸ ζηλοτυπίας· ὁ ϗ Κέφαλος νομίσας εἶναι θηρίον ἀπὸ τῆς ὕλης κύνα, ἔβαλεν αὐτὴν Πρόκριν κατακτείνας. ΠΡΟ. Κέφαλος, ὁ Δηϊονέως, γήμας Πρόκριν, τὴν Ἐρεχθέως, ὑπὸ τῆ Θορικίων κρήνῃ. Φίλων δὲ τ γυναικὸς ἀπατηθεῖσα.

" Κρήτῃ Μίνωος ὀλοόφρονες, ἣν ποθὲ Θησεὺς,
" Ἐκ Κρήτης ἐς γυνὸν Ἀθηναίων ἱεράων,
" Ἦγε μὲν, οὐδ' ἀπόνητο· πάρες δὲ μιν Ἄρτεμις ἔκτα
" Δίῃ ἐν ἀμφιρύτῃ, Διονύσου μαρτυρίῃσι.

λιπαρᾶσθαι, λίπετο εἰς ἀπεδημίαν ἀπίνας ἐπὶ ἴτη ὀκτὼ, καὶ ἔλιπεν αὐτῷ ἴπ νύμφῳ ὕπνον· ἔπειτα καταπτήσας, καὶ ἀλλοειδὴ ἑαυτὸν ποιήσας, ἔρχετο εἰς τὼ οἰκίαν, ἔχων κόσμον· καὶ πείθει τὼ Πρόκριν δέξασθαι τᾶτο, καὶ συμμιγῆναι αὐτῷ. ἡ δὲ Πρόκρις ἐποφθαλμίσασα τὸ κόσμον, καὶ τὸ Κέφαλον ὁρῶσα κατὰ κολὸν, συγκοιμᾶται αὐτῷ. ὁ δὲ φήνας δὲ ἑαυτὸν ὁ Κέφαλος, αἰτᾶται τὼ Πρόκριν· ἃ μὲν ἀλλὰ κατελλαγὶς ἐξέρχεται ἐπὶ θήραν. πυκνῶς δὲ αὐτὸν τᾶτο ἀρῶντο, ἐκπάλισεν ἡ Πρόκρις, ὑπ μίσητας γυναικὶ ἐτέρᾳ· ἀφικαλεσαμένη δὲ τὸ οἰκετῶν ἔλεγεν, εἰ συνοίδειν· ὁ δὲ θεράπων ἔφη, τὸ Κέφαλον ἰδὼν ἐπὶ πιος ὄρος κορυφῶ, καὶ λίγειν συχνὼς, ὦ Νεφέλη, πορεύου· ἓ τᾶτο μόνον σωνοίδειν. ἡ δ' Πρόκρις ἀκούσασα, ἐρχέλας εἰς παύτλω τῶν κορυφῶν, καὶ κατακρυπτόμενη, καὶ τὸ αὐτὸ λίγοντος αὐτοῦ συνομίνη, ἀφορίχη πρὸς αὐτόν. ὁ δ' Κέφαλος ἰδὼν αὐτῶν αἰφνιδίως, ἐξω ἑαυτοῦ γίνεται· καὶ ὥσπερ ἄχε, βάλλ μὴ χέρα ἀκοντίῳ τὼ Πρόκριν, καὶ κτείνῃ. μεταπεμψάμενος δὲ τὸν Ἐρεχθέα, φαίνεται πολυτελῶς αὐτῷ. ἡ δὲ ἱστορία παρὰ Φερεκύδῃ.

321 ΚΟΥ. Θυγατέρα.

323 ΗΓ. Ἔφερε. ΑΠ. Ὅπερ ἔφερεν. ΕΣ. Νεῶ, ἀντὶ τᾶ ἀνεῖλεν· γράφει καὶ ἕκτα.

324 ΔΙ. Δῖα, νῆσος πρὸς τῇ Κρήτῃ, ἥτις νῦν Νάξος καλεῖται· ἱερὰ δὲ αὐτὴ τᾶ Διονύσου. ΔΙΟ. Ἐπὶ κατιμαρτυρεῖται αὐτῆς ἀτίσασα, μιγεῖσά τε τῷ τιμίῳ αὐτῆ τῷ Θησεῖ· οἱ δὲ νεώτεροι φασὶ καταλειφθεῖσαν αὐτὴν ὑπὸ Θησέως, ἁρπαγῆναι ὑπὸ τᾶ Διονύσου.

" Μαῖράν τε, Κλυμήνην τε ἴδον, συγερήν τ' Ἐριφύλην,
" Ἣ χρυσὸν φίλῳ ἀνδρὸς ἐδέξατο τιμήεντα.
" Πάσας δ' οὐκ ἂν ἐγὼ μυθήσομαι ὐδ' ὀνομήνω,
" Οσσας ἠρώων ἀλόχους ἴδον, ἠδὲ θυγατρας·
" Πρὶν γάρ κεν νὺξ φθεῖτ' ἄμβροτος· ἀλλὰ χ ὥρη
" Εὕδειν, ἢ ἐπὶ νῆα θοὴν ἐλθόντ' ἐς ἑταίρους,
" Ἢ αὐτοῦ· πομπὴ δ' ὑμῖν τε μελήσει.
Ὣς ἔφατ'· οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ·

325 ΜΑΙ. Μαῖρα, Προίτου καὶ Ἀντείας θυγάτης, ἐπλεύτησε δὲ παρθένος. Ἄλλως. Μαῖρα, ἡ Προίτου, καὶ Θερσάνδρου, θυγάτης, καὶ Ἀντείας, τῆς Ἀμφιαναξῶος, ἐγένετο κάλλει ἀμπρεπεστάτη· ἡσμίνη δὲ τοῦ πλείονος τῶν παρθενίων, εἶπετο τῇ Ἀρτέμιδι ἐπὶ τὰ κυνηγέσια. ταύτης ἐραθεὶς Ζεὺς, ἀφικνεῖται ὡς αὐτὴν, καὶ λανθάνων Ἀμφιθέαν. ἡ δὲ ἔγκυος γενομένη τίκτει Λοκρὸν τὸ ὄνομα παῖδα, ὃς Θόαν μετ' Ἀμφίονος καὶ Ζήθου οἰκίζει. τὴν δὲ Μαῖραν λέγεται τοξεύθῆναι ὑπὸ Ἀρτέμιδος, ἀφ' τὸ μηκέτι παραγένεσθαι εἰς τὰ κυνηγέσια. ἡ δὲ ἱστορία παρὰ Φερεκύδῃ. ΚΛΥ. Κλυμένη Μινύου, τοῦ Ποσειδῶνος, ἢ ὡς ἔνιοι, Ἴφιος, ἢ Εὐρυανάσσης, τῆς Ὑπερφάντου, γαμηθεῖσα Φυλάκῳ, τῷ Δηϊονέως, Ἰφίκλου τέκνῳ πόδωκη παῖδα· τέτου λέγεται ἀφ' τοῦ τῶν ποδῶν ἀρετοῦ συναμιλλᾶσθαι τοῖς ἀνέμοις, ἐπί τε τῆς ἀσαχύου διέρχεσθαι, καὶ ἀφ' ἧς πέτρας τὴν κεφαλὴν μὴ σφάλλεσθαι τὰς ἀθέρας. ἔνιοι δὲ αὐτοῦ τοῦ Κλυμένου συναμηθῆναι φασὶν Ἡλίῳ· ἐξ ἧς Φαέθων ἐγένετο παῖς. ἡ δὲ ἱστορία παρὰ Ἡσιόδῳ. ΕΡ. Ἴφιος θυγατέρα, μισητὴν δέ, ἀφ' τὸ λαοῦν, παρὰ Πολυνείκους, ἢ Ἄδραστου, χρυσοῦν ὅρμον, καὶ συσθεδωκέναι Ἀμφιάραον, τὸν ἀνδρα αὐτῆς, μὴ βουλόμενον στρατεύεσθαι ἐπὶ Θήβας, ἀδότα, ὡς μάντιν, τὸ ἀποθανεῖσθαι.

326 Η. Ἀμφιάραος, ὁ Οἰκλέος, γήμας Ἐριφύλην, τὴν Ταλαοῦ, καὶ διοιχθεὶς ὑπὸ τινων σὺς Ἄδραστον, καὶ πάλιν ἀφανισθείς, ὁρκώμοσε ὁμολογήσειν, ὑπὲρ ὧν ἂν ἀφέρῃ) σὺς ἀλλήλους αὐτός τε καὶ Ἄδραστος, ἐπιτρέψειν Ἐριφύλῃ κρίνειν, καὶ πάθοσθαι αὐτῇ. μὴ δὲ ταῦτα γινομένης τῆς ἐπὶ Θήβας στρατείας, ὁ μὲν Ἀμφιάραος ἀπέτρεπε τοὺς Ἀργείους, καὶ τὸ ἐσόμενον ὀλέθρου σφίσι μαντεύετο· λαβοῦσα δὲ ἡ Ἐριφύλη τὸν ὅρμον παρὰ τῆς Πολυνείκους, τοῦ τοῦ Ἀρμονίας, σφίζεται τοῖς σὺν Ἄδραστον βιαζομένοις. τὸν Ἀμφιάραον οὖν ἰδόντα τὴν τῶν δώρων ὑποδοχὴν, καὶ πεπὶ τὴν Ἐριφύλην αἰτιασάμενον, αὐτὸν μὲν ἐξορμῆσαι σὺς τὴν στρατείαν, Ἀλκμαίωνι δὲ σφετάξαι, μὴ σφέτερον μὴ τὸν Ἐπιγόνων ἐπὶ Θήβας πορεύσασθαι, πρὶν ἀποκτεῖναι τὴν μητέρα· ταῦτα δὲ πάντα δρᾶσαι λέγε) τὸν Ἀλκμαίωνα, καὶ ἀφ' τὴν μητροκτονίαν μανῆναι· τὸν δὲ θεὸν ὑπολῦσαι τὸ νόσημα αὐτὸν ἀφ' τοῦ, ὅσιον ἐπαμύνοντα τῷ πατρὶ, τὴν μητέρα κατακτᾶναι. ἡ ἱστορία παρὰ Ἀσκληπιάδῃ. ΦΙ. Προσφιλῆς. ΑΝ. Ἀντὶ δὲ, καὶ ἀνδρὸς. ΕΔ. Ἡσσατο, νόμισεν. ΤΙ. Ἐτιμότερον.

329 ΦΘΕΙ. Ἐπλίπου. ΑΜ. Θείκε.

Κληθμῷ

Κληθμῷ δ' ἔχοντο κατὰ μέγαρα σκιόεντα.
Τοῖσιν δ' Ἀρήτη λευκώλενος ἦρχετο μύθων·
" Φαίηκες, πῶς ὔμμιν ἀνὴρ ὅγε φαίνεται εἶναι,
" Εἶδός τε, μέγεθός τε, ἰδὲ φρένας ἔνδον ἐΐσας;
" Ξεῖνος δ' αὖτ' ἐμός ἐστιν· ἕκαστος δ' ἔμμορε τιμῆς.
" Τῷ μὴ ἐπειγόμενοι ἀποπέμπετε, μηδὲ τὰ δῶρα
" Οὕτω χρηίζοντι κολύετε· πολλὰ γὰρ ὔμμιν
" Κτήματ' ἐνὶ μεγάροισι, θεῶν ἰότητι, κέονται.
Τοῖσι δὲ καὶ μετέειπε γέρων, ἥρως Ἐχένηος,
Ὃς δὴ Φαιήκων ἀνδρῶν πρεσβύτερος ἦεν·
" Ὦ φίλοι, ἃ μὰν ὔμμιν ἀπὸ σκοπὸς ἠδ' ἀπὸ δόξης
" Μυθεῖται βασίλεια φίλων· ἀλλὰ πίθεσθε·
" Ἀλκινόου δ' ἐκ τῶδ' ἔπεται ἔργον τε, ἔπος τε.
Τὸν δ' αὖτ' Ἀλκίνοος ἀπαμείβετο, φώνησέν τε·
" Τῶτο μὲν ὕτω δὴ ἔσται ἔπος, αἴκεν ἔγωγε
" Ζωὸς Φαιήκεσσι φιληρέτμοισιν ἀνάσσω.
" Ξεῖνος δὲ τλήτω, μάλα περ νόσου ἀχθόμενος,
" Ἔμπης ἂν ὀπιμεῖναι ἐς αὔριον, εἰσόκε πᾶσαν
" Δωτίνην τελέσω· πομπὴ δ' ἀνδρεσσι μελήσει

333 ΚΗ. Τῇ μὲν ἡδονῇς καὶ τέρψιθυμίαν. ΕΣΧ. Καταχάρησαν.
334 ΗΡ. Προκατήρχετο.
335 ΦΑΙ. Δοκεῖ.
336 ΕΙ. Τὰς ἀναλογίας τῷ σώματι, καὶ ὀρθὰς καὶ δικαίας.
337 ΞΕΙ. Διὰ δύο φησὶν ἡ Ἀρήτη ἄξιον εἶναι μὴ μικρολογεῖσθαι, ὅτι δὴ ὁ αὐτῆς ἐστι ξένος, αὐτὴ γὰρ πρώτη πεπυνθάνθαι καὶ ὅτι ἱκέτης αὐτῶν ὑπάρχει. ΕΜ. Οἷον μοῖραν ἴσχει ὁ ὑσίκιος, ὥστε καὶ τιμῆς τυγχάνειν.
339 ΧΡΗ. Διομίνῳ. ΚΟ. Ἐλαττοῦτι, ἐμποδίζοντι.
340 ΙΟ. Βουλόμενοι. ΚΕ. Ἀπόκειται.
343 ΣΚΟ. Ἀποθεν δ' σκοπῦ, ἀπὸ εἰκασμοῦ· ἄρτιος ἢ ἀπὸ τοξοτῶν. ΔΟΞ. Ἀποθεν ἧς ἔχομεν περὶ τὰς ξένους ἀγαθότητος.
344 ΜΥ. Λίχνοι.
345 ΑΛ. Οἷον, ἐν Ἀλκινόῳ ἐστὶ τὸ τελείως ἀπαλλαχθῆναι. ΕΧ. Ἥρτηται.
347 ΕΣΤ. Γενήσεται.
349 ΤΛΗ. Καρτερησάτω.

" Πᾶσι, μάλιστα δ' ἐμοί· ἔ γὰ κράτος ἔς γ' ἐνὶ δήμῳ,
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
" Ἀλκίνοε κρεῖον, πάντων ἀριδείκετε λαῶν,
" Εἴ με κὴ εἰς ἐνιαυτὸν ἀνώγοιτ' αὐτόθι μίμνειν,
" Πομπήν τ' ὀτρύνοιε, κὴ ἀγλαὰ δῶρα διδοῖτε,
" Καί κε τὸ βουλοίμην, καί κεν πολὺ κέρδιον εἴη,
" Πλειστέρῃ σὺν χειρὶ φίλην ἐς πατρίδ' ἱκέσθαι·
" Καί κ' αἰδοιότερος κὴ φίλτερος ἀνδράσιν εἴην
" Πᾶσιν, ὅσοι μ' Ἰθάκηνδε ἰδοίατο νοστήσαντα.
Τὸν δ' αὖτ' Ἀλκίνοος ἀπαμείβετο, φώνησέν τε·
" Ὦ Ὀδυσεῦ, τὸ μὲν ὅτι σ' εἰσόμεθ' εἰσορόωντες,
" Ἠπεροπῆά τ' ἔμεν κὴ ἐπίκλοπον, οἷά τε πολλοὺς
" Βόσκῃ γαῖα μέλαινα πολυπλάγκτους ἀνθρώπους,
" Ψεύδεά τ' ἀρτύνοντας, ὅθεν κέ τις οὐδὲ ἴδοιτο·
" Σοὶ δ' ἔνι μὲν μορφὴ ἐπέων, ἔνι δὲ φρένες ἐσθλαί·
" Μῦθον δ', ὡς ὅ, τ' ἀοιδὸς, ὑπισκαμβῶς κατέλεξας,
" Πάντων τ' Ἀργείων, σέο τ' αὐτοῦ, κήδεα λυγρά.
" Ἀλλ' ἄγε μοι τόδε εἰπὲ, κὴ ἀτρεκέως κατάλεξον,
" Εἴ τινας ἀντιθέων ἑτάρων ἴδες, οἵ τοι ἅμ' αὐτῷ
" Ἴλιον εἰς ἅμ' ἕποντο, κὴ αὐτοῦ πότμον ἐπέσπον.

355 ΕΙ. Χαριέντως τὸ λίγειν, ἑτοίμως ἔχειν κὴ πάντα ἐνιαυτὸν ἐπιμένειν αὐτόθι, ἕ διδομένων αἰὲὶ πλειοναζόντων. ΑΝ. Κελεύοιτε.

356 ΟΤ. Ἐπίζητε, παρασκευάζοιτε.

358 ΠΛΕΙ. Σοὶ πλείοσι κτήμασιν· ἢ μᾶλλον, ἕ διδομένων πληοκμένῃ.

359 ΑΙ. Αἰδὼς ἄξιος· ὑπεῦθεν Ἡσίοδος, πλοῦτῳ σὶ δρίτῃ κὴ κῦδος ὀπηδεῖ· ἀλλὰ κὴ Ὅμηρος, βασιλῆος ὑπὸκ αἰδοίοιο.

362 ΤΟ. Τὸ μ', ἠπεροπῆά τ' ἔμμεναι κὴ ἐπίκλοπον, οὕτι σ' εἰσόμεθ'.

363 ΗΠ. Ἀπατεῶνα, φήσι. ΕΠ. Παραλογισικόν· κὴ γὰ ὁ κλέπτης παραλογιζόμενος κλέπτ. σημαίνῃ δὲ καὶ τ ἐπιθυμητικόν· κὴ γὰ ὁ κλέπτης ἐπιθυμία ἕ ἀλλοτρίων τοῦτο ποιεῖ.

364 ΒΟ. Τρέφι. ΠΟ. Πολυειδῆς.

365 ΑΡ. Πλαστοὺς, παρασκευάζοντας. ΟΘ. Ὅθεν οὐδὲ ἰδοίατο τὶς, ὑπὸ ψεύδεσ).

366 ΜΟΡ. Εὐτυχία.

" Νῦν

" Νὺξ δ' ἤδη μάλα μακρὴ, ἀθέσφατος· ἀδέ πω ὥρη
" Εὕδειν ἐν μεγάρῳ· σὺ δέ μοι λέγε θέσκελα ἔργα.
" Καί κεν ἐς ἠῶ δῖαν ἀνασχοίμην, ὅτε μοι σὺ
" Τλαίης ἐν μεγάρῳ τὰ σὰ κήδεα μυθήσασθαι.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
" Ἀλκίνοε κρεῖον, πάντων ἐξοχώτατε λαῶν,
" Ὥρη μὲν πολέων μύθων, ὥρη καὶ ὕπνου.
" Εἰ δ' ἔτ' ἀκουέμμαί γε λιλαίεαι, οὐκ ἂν ἔγωγε
" Τύτων σοι φθονέοιμι καὶ οἰκτρότερ' ἄλλ' ἀγορεῦσαι
" Κήδε' ἐμῶν ἑτάρων, οἳ δὴ μετόπισθεν ὄλοντο·
" Οἳ Τρώων μὲν ὑποξέφυγον γόνοιο σαν αὖτην,
" Ἐν νόστῳ δ' ἀπόλοντο, κακῆς ἰότητι γυναικός.
" Αὐτὰρ ἐπεὶ ψυχὰς μὲν ἀπεσκέδασ' ἄλλυδις ἄλλη
" Ἀγνὴ Περσεφόνεια γυναικῶν θηλυτεράων,
" Ἦλθε δ' ἐπὶ ψυχὴ Ἀγαμέμνονος Ἀτρεΐδαο,
" Ἀχνυμένη· περὶ δ' ἄλλαι ἀγηγέραθ', ὅσαι ἅμ' αὐτῷ
" Οἴκῳ ἐν Αἰγίσθοιο θάνον καὶ πότμον ἐπέσσαν.
" Ἔγνω δ' αἶψ' ἐμὲ κεῖνος, ἐπεὶ πίεν αἷμα κελαινόν·
" Κλαῖε δ' ὄγε λιγέως, θαλερὸν κατὰ δάκρυον ἐβάων,
" Πιτνὰς εἰς ἐμὲ χεῖρας, ὀρέξασθ μενεαίνων.
" Ἀλλ' οὐ γάρ οἱ ἔτ' ἦν ἰς ἔμπεδος, οὐδέ τι κίκυς,

372 ΑΘ. Ἀμείρητο, πολλή.
379 ΑΚ. Ἀκριᾶσθαι.
380 ΟΙΚ. Ἐλεεινοτέρα.
382 ΣΤΟ. Σπασμῶν αἰπὺν.
383 ΓΥ. Ἑλένης, ἣ Κλυταιμνήστρας, ἣ κακωθείσης Κασσάνδρας, ἣν Δηΐφοβος ἔσχεν ὁ Λοκρὸς Αἴας ἐν τῷ τιμίῳ τῆς Ἀθηνᾶς, δυσμένη κατέστησε τοῖς Ἕλλησι τὴν Ἀθηνᾶν.
384 ΑΠ. Πόρρω ἐσκόπησεν.
387 ΑΧ. Λιλυπημένη. ΑΓ. Σωφρονισμένας ἦσαν.
390 ΕΙ. Χέων, χεῖζων.
391 ΠΙΤ. Ἐκλάων. ΟΡ. Ἐπιλαβέσθαι.
392 ΚΙ. Ἡ μὴ δυνάμεως κίνησις.

" Οἵη

" Οἵη περ πάρος ἔσκεν ἐνὶ γναμπτοῖσι μέλεσσι.
" Τὸν μὲν ἐγὼ δάκρυσά τ' ἰδὼν, ἐλέησά τε θυμῷ,
" Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδων·
" Ἀτρεΐδη κύδιστε, ἄναξ ἀνδρῶν, Ἀγάμεμνον,
" Τίς νύ σε κὴρ ἐδάμασσε πανημερίοις θανάτοιο;
" Ἦέ σέ γ' ἐν νήεσσι Ποσειδάων ἐδάμασσεν,
" Ὄρσας ἀργαλέων ἀνέμων ἀμέγαρτον ἀϋτμήν;
" Ἦέ σ' ἀνάρσιοι ἄνδρες ἐδηλήσαντ' ἐπὶ χέρσῳ,
" Βῶς πρὸ ταμνόμενον, ἠδ' οἰῶν πώεα καλὰ,
" Ἦέ περὶ πόλιος μαχεόμενον, ἠὲ γυναικῶν;
" Ὡς ἐφάμην· ὁ δέ μ' αὐτίκ' ἀμειβόμενος προσέειπε·
" Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
" Οὔτ' ἐμέ γ' ἐν νήεσσι Ποσειδάων ἐδάμασσεν,
" Ὄρσας ἀργαλέων ἀνέμων ἀμέγαρτον ἀϋτμήν,
" Οὔτε μ' ἀνάρσιοι ἄνδρες ἐδηλήσαντ' ἐπὶ χέρσῳ·
" Ἀλλά μοι Αἴγισθος τεύξας θανάτόν τε, μόρον τε,
" Ἔκτα, σὺν ἀλομένῃ ἀλόχῳ, οἰκόνδε καλέσσας,
" Δειπνίσσας, ὥς τίς τε κατέκτανε βοῦν ἐπὶ φάτνῃ.
" Ὡς θάνον οἰκτίστῳ θανάτῳ· περὶ δ' ἄλλοι ἑταῖροι
" Νωλεμέως κτείνοντο, σύες ὡς ἀργιόδοντες,
" Οἵ ῥά τ' ἐν ἀφνειοῦ ἀνδρὸς μέγα δυναμένοιο
" Ἢ γάμῳ, ἢ ἐράνῳ, ἢ εἰλαπίνῃ τεθαλυίῃ.
" Ἤδη μὲν πολέων ἀνδρῶν φόνῳ ἀντεβόλησας

393 ΓΝΑΜ. Κάμπλισθαι δωκαμίνοις.
399 ΟΡ. Ἐκίρας, κινήσας. ΑΜ. Πολλήν. ΑΥ. Πνοήν.
401 ΒΟ. Ἐπειδὴ αὐτὸς ἐλθὼν εἰς Κίκωνας, καὶ ἁρπαγῆς ἐκεῖ ἐπιχειρήσας, σὺν τῷ ἀπήλαξεν, εἰκότως τὰ ὅμοια ὑποπτεύῃ πεπονθέναι τὸν Ἀγαμέμνονα. ΠΕ. Περιελαύνοντα.
408 ΤΕΥ. Κατασκυάσας.
411 ΟΙΚ. Ἀνηλιεῖ, κακῷ.
412 ΚΤΕΙ. Ἐφονεύοντο.
414 ΕΡ. Ἔραται λέγεται, τὸ εἰς συμβολὴν χωρῆσον δεῖπνον.

" Μυρίῳ

" Μνηὰξ κτεινομένων, ϗ ἐνὶ κρατερῇ ὑσμίνῃ·
" Ἀλλά κε κεῖνα μάλιστα ἰδὼν ὀλοφύρατο θυμῷ,
" Ὡς ἀμφὶ κρητῆρα, τραπέζας τε πληθούσας,
" Κείμεθ' ἐνὶ μεγάρῳ· δάπεδον δ' ἅπαν αἵματι θῦεν.
" Οἰκτροπάτλω δ' ἤκουσα ὄπα Πριάμοιο θυγατρὸς,
" Καασάνδρης, τὴν κτεῖνε Κλυταιμνήστρη δολόμητις
" Ἀμφ' ἐμοί· αὐτὰρ ἐγὼ ποτὶ γαίῃ χεῖρας ἀείρων,
" Βάλλον ὀποθνήσκων περὶ φασγάνῳ· ἡ δὲ κυνῶπις
" Νοσφίσατ', οὐδέ μοι ἔτλη, ἰόντι περ εἰς Ἀΐδαο,
" Χερσὶ κατ' ὀφθαλμοὺς ἐλέειν, σύν τε στόμ' ἐρεῖσαι.
" Ὡς οὐκ αἰνότερον ϗ κύντερον ἄλλο γυναικὸς,
" Ἥ τις δὴ τοιαῦτα μετὰ φρεσὶν ἔργα βάληται·
" Οἷον δὴ καὶ κείνη ἐμήσατο ἔργον ἀεικὲς,
" Κηρηδὼ τεύξασα πόσει φόνον· ἦτοι ἔφην γε
" Ἀσπάσιος παίδεσσιν, ἰδὲ δμῳῇσιν ἐμοῖσιν,
" Οἴκαδ' ἐλεύσεσθαι· ἡ δ' ἔχεχα λύγρ' εἰδυῖα,
" Ἥτε κατ' αἶσχος ἔχυτε, ϗ ἐσσομένῃσιν ὀπίσσω
" Θηλυτέρῃσι γυναιξὶ, ϗ ἥ κ' εὐεργὸς ἔῃσιν.
" Ὡς ἔφατ'· αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
" Ὦ πόποι, ἦ μάλα δὴ γόνον Ἀτρέος εὐρύοπα Ζεὺς

416 ΜΟΥ. Καταμόνας.
417 ΟΛ. Ἠλίησας.
418 ΠΛΗ. Πεπληρωμένας.
419 ΘΥ. Ἐπλήθωσεν.
420 ΟΙ. Ἐλεεινοπάτλω. ΟΠ. Φάμην, κάππαν.
421 ΚΤΕΙ. Ἀνᾶλεν.
422 ΑΕΙ. Κηφίζων, ἐπαίρων.
423 ΚΥΝ. Ἀναιδεστάτη.
424 ΝΟΣ. Ἐχωρίσθη. ΕΤ. Ἐφρτίρισεν.
425 ΕΛ. Καθηλεῖν, συγκλεῖσαι. ΕΡ. Ἁρμόσαι, ἢ ἐπικλεῖσαι.
426 ΑΙ. Δεινότερον, χαλεπώτερον.
428 ΑΕΙ. Ἀπεοικὸς, ἢ πρέπον.
429 ΤΕΥ. Καζασκεδάσασα,
432 ΑΙ. Αἰσχύνω καὶ ἔνειδος κατέχουσιν. ΕΣ. Ταῖς μεταγενεστέραις.
433 ΕΥ. Σάφρων, κακὰ ἔργα πράσσουσα.

" Ἐκπάγλως

" Ἐκπάγλως ἤχθηρε, γυναικείας ἀλὰ βυλὰς,
" Ἐξ ἀρχῆς· Ἑλένης μὲν ἀπωλόμεθ' εἵνεκα πολλοί·
" Σοὶ δὲ Κλυταιμνήστρη δόλον ἤρτυε πηλόθ' ἑόντι.
" Ὡς ἐφάμην· ὁ δέ μ' αὐτὶκ' ἀμειβόμενος προσέειπεν·
" Τῷ νῦν μή ποτε καὶ σὺ γυναικί περ ἤπιος εἶναι,
" Μηδ' οἱ μῦθον ἅπαντα τιφαυσκέμεν, ὅν κ' εὖ εἰδῇς,
" Ἀλλὰ τὸ μὲν φάσθαι, τὸ δὲ καὶ κεκρυμμένον εἶναι.
" Ἀλλ' ἀ σοί γ', Ὀδυσεῦ, φόνος ἔσσεται ἔκ τε γυναικός·
" Λίλιον γὰ τινυτή τε, καὶ εὖ φρεσὶ μήδεα οἶδε,
" Κούρη Ἰκαρίοιο, περίφρων Πηνελόπεια.
" Ἦ μέν μιν νύμφην γε νέην καλελείπομεν ἡμεῖς,
" Ἐρχόμενοι τολεμόνδε· παῖς δέ οἱ ἦν ἐπὶ μαζῷ,
" Νήπιος, ὅς πού νῦν γε μετ' ἀνδρῶν ἴζεν ἀριθμῷ,
" Ὄλβιος· ἦ γὰ τόν γε πατὴρ φίλος ὄψεται ἐλθὼν,
" Καὶ κεῖνος πατέρα τροσαμύξεται, ἦ θέμις ἐστίν·
" Ἣ δ' ἐμὴ ἀδέ περ ὕος ἐνιπληθῆναι ἄκοιτις
" Ὀφθαλμοῖσιν ἔασε· πάρος δέ με πέφνε καὶ αὐτόν.
" Ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσι,
" Κρύβδην, μηδ' ἀναφανδὰ, φίλην ἐς πατρίδα γαῖαν
" Νῆα κατισχέμεναι· ἐπεὶ οὐκ ἔτι τιστὲ γυναιξίν.
" Ἀλλ' ἄγε μοι τόδε εἰπὲ, καὶ ἀτρεκέως κατάλεξον,
" Εἴπερ ἔτι ζώοντος ἀκούετε παιδὸς ἐμοῖο,

436 ΓΥΝ. Αἰνίττεται τὴν Ἀερόπην.
440 ΕΙ. Ἀντὶ ϐ, ἴσο.
441 ΠΙ. Λέγων. ΕΙ. Καλῶς μάθης.
444 ΠΙΝ. Ὄλβιος, εὐδαίμων, πλουσία, σωφρὴ, σώφρων.
450 ΠΡΟ. Φιλοφρονήσηται.
451 ΥΙ. Τοῦ ὑοῦ. ΕΝ. Πληρωθῆναι.
454 ΚΡΥΒ. Κρύφα, λαθραίως.
455 ΚΑ. Καθεμαίζειν.
457 ΕΜ. Τῆ ἐμῆ.

" Ἦ πού

" Ἦ πᾶ ἐν Ὀρχομενῷ, ἢ ἐν Πύλῳ ἠμαθόεντι,
" Ἦ πᾶ πὰρ Μενελάῳ, ἐνὶ Σπάρτῃ εὐρείῃ;
" Οὐ γάρ πω τέθνηκεν ἐπὶ χθονὶ δῖος Ὀρέστης.
" Ὣς ἔφατ· αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
" Ἀτρεΐδη, τί με ταῦτα διείρεαι; οὐδέ τι οἶδα,
" Ζώῃ ὅγ', ἢ τέθνηκε· κακὸν δ' ἀνεμώλια βάζειν.
" Νῶϊ μὲν ὡς ἐπέεσσιν ἀμειβομένω συγερῶσιν
" Ἕσταμεν ἀχνύμενοι, θαλερὸν κατὰ δάκρυ χέοντες.
" Ἦλθε δ' ἐπὶ ψυχὴ Πηληϊάδεω Ἀχιλῆος,
" Καὶ Πατροκλῆος, καὶ ἀμύμονος Ἀντιλόχοιο,
" Αἴαντός θ', ὃς ἄριστος ἔην εἶδός τε, δέμας τε,
" Τῶν ἄλλων Δαναῶν, μετ' ἀμύμονα Πηλείωνα.
" Ἔγνω δὲ ψυχή με ποδώκεος Αἰακίδαο,
" Καί ῥ' ὀλοφυρομένη ἔπεα πτερόεντα προσηύδα·
" Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
" Σχέτλιε, τίπτ' ἔτι μεῖζον ἐνὶ φρεσὶ μήσεαι ἔργον;
" Πῶς ἔτλης Ἄϊδόσδε κατελθέμεν, ἔνθα τε νεκροὶ
" Ἀφραδέες ναίουσι, βροτῶν εἴδωλα καμόντων;
" Ὣς ἔφατ· αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
" Ὦ Ἀχιλεῦ, Πηλῆος υἱὲ, μέγα φέρτατ' Ἀχαιῶν,
" Ἦλθον Τειρεσίαο κατὰ χρέος, εἴτινα βελὴν

458 ΟΡ. Ἐν Πύλῳ μὲν, ἀφ' τῶν ὑπερφάλλουσιν φιλίαν καὶ δύναμιν Νέστορ, ὡσαύτως δὲ Σπάρτη, ἀφ' τῶν συγγένειαν. ἢ Ὀρχομενῷ ἢ, ἀφ' τὴν ἀσυλίαν καὶ ἀσφάλειαν· ἐκεῖ γὰρ τότε καὶ οἱ χρυσοὶ τῶν πόλεων ἐτίθεντο θησαυροί. αὐτὸς δὲ τούτων φησὶν ὁ Ποιητὴς ἐν Ἰλιάδι, Οὐδ' ὅσ' ἐς Ὀρχομενόν.

465 ΕΣ. Ἰσάμεσθα.

467 ΠΑ. Αὕτη ἡ χθονικὴ ἀπὸ εὐχρίας ἐστὶ τῆ Πατροκλῆς, ὡς Φιλοκλῆς καὶ Σοφοκλῆς.

473 ΜΗ. Βελτίστη, ἐργάσῃ.

474 ΕΤ. Ἐκμαρτύρησας.

475 ΑΦ. Ἀδιανόητοι, ἢ ἀσώματοι. ΕΙ. Αἱ ἐκ τὸ ἰδεῖν μόνον ἐκφυεῖς. ΚΑ. Ἀπεθανόντων.

478 ΧΡΕ. Μάντευμα.

" Εἶποι, ὅπως Ἰθάκην ἐς παιπαλόεσσαν ἱκοίμην.
" Οὐ γάρ πω ὀχεδὸν ἦλθον Ἀχαιΐδος, οὐδέ πω ἀμῆς
" Γῆς ἐπέβην, ἀλλ' αἰὲν ἔχω κακά· σεῖο δ', Ἀχιλλεῦ,
" Οὔτις ἀνὴρ πεπάροιθε μακάρτατος, ὅστ' ἄρ' ὀπίσω.
" Πρὶν μὲν γάρ σε ζωὸν ἐτίομεν, ἶσα θεοῖσιν,
" Ἀργεῖοι, νῦν αὖτε μέγα κρατέεις νεκύεσσιν,
" Ἐνθάδ' ἐών· τῷ μήτι θανὼν ἀκαχίζευ, Ἀχιλλεῦ.
" Ὣς ἐφάμην· ὁ δέ μ' αὐτίκ' ἀμειβόμενος προσέειπεν·
" Μὴ δή μοι θάνατόν γε παρηγόρεε, φαίδιμ' Ὀδυσσεῦ·
" Βουλοίμην κ' ἐπάρουρος ἐὼν θητεύεμεν ἄλλῳ
" Ἀνδρὶ παρ' ἀκλήρῳ, ᾧ μὴ βίοτος πολὺς εἴη,
" Ἢ πᾶσιν νεκύεσσι καταφθιμένοισιν ἀνάσσειν.
" Ἀλλ' ἄγε μοι σοῦ παιδὸς ἀγαυοῦ μῦθον ἐνίσπε,
" Ἦ ἕπετ' ἐς πόλεμον πρόμος ἔμμεναι, ἦε κ' ἔπειτα;
" Εἰπὲ δέ μοι, Πηλῆος ἀμύμονος εἴτι πέπυσαι,
" Ἦ ἔτ' ἔχει τιμὴν πολέσιν μετὰ Μυρμιδόνεσσιν,
" Ἦ μιν ἀτιμάζουσιν ἀν' Ἑλλάδα τε Φθίην τε,
" Οὕνεκά μιν κατὰ γῆρας ἔχει χεῖράς τε, πόδας τε.
" Οὐ γὰρ ἐγὼν ἐπαρωγὸς ὕπαυ αὐγὰς ἠελίοιο,
" Τοῖος ἐών, οἷός πτ' ἐνὶ Τροίῃ εὐρείῃ
" Πέφνον λαὸν ἄριστον, ἀμύνων Ἀργείοισιν.
" Εἰ τοῖος δ' ἔλθοιμι μίνυνθά περ ἐς πατέρος δῶ,
" Τῷ κε τέῳ σὺν καὶ μέγος ἠδὲ χεῖρας ἀάπτοις,

480 ΑΜ. Τῆς ἐμῆς.
482 ΜΑ. Μακαριώτερε, εὐδαιμονέστερος.
485 ΑΚ. Λυπεῖ.
487 ΠΑ. Παραμυθοῦ, παρηγόρει.
488 ΘΗ. Ἐπὶ μισθῷ θελοίσην.
489 ΑΚ. Κλῆρον κὴ ὑσίαν μὴ ἔχοντι.
493 ΠΕ. Ἀχαιοῖς.
494 ΤΙ. Τῶν βασιλέων.
499 ΠΕΦ. Ἀπόλλων, ἰφθίμους.
501 ΤΩ. Οὕτως ἄν τις. ΣΤΥ. Εἰς καταπληξιν ἀναγόμενοι.

" οἳ

" Οἳ κεῖνον βιόωνθ', ἐέργασίν τ' ἀπὸ τιμῆς.
" Ὣς ἔφατ'· αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
" Ἦτοι μὲν Πηλῆος ἀμύμονος ὅττι πέπυσμαι
" Αὐτάρ τοι παιδός γε Νεοπτολέμοιο φίλοιο
" Πᾶσιν ἀληθείην μυθήσομαι, ὥς με κελεύεις·
" Αὐτὸς γάρ μιν ἐγὼ κοίλης ἐπὶ νηὸς ἔσης
" Ἤγαγον ἐκ Σκύρου μετ' ἐϋκνήμιδας Ἀχαιούς.
" Ἦτοι ὅτ' ἀμφὶ πόλιν Τροίην φραζόμεθα βουλάς,
" Αἰεὶ πρῶτος ἔβαζε, καὶ οὐκ ἠμάρτανε μύθων·
" Νέστωρ τ' ἀντίθεος κὴ ἐγὼ νεικέσκομεν οἶω.
" Αὐτὰρ ὅτ' ἀμφὶ πόλιν Τροίην μαρνόμεθ' Ἀχαιοὶ,
" Οὔποτε ἐς πληθὺν μύθων ἀνδρῶν, ὅθ' ἐν ὁμίλῳ,
" Ἀλλὰ πολὺ προθέεσκε, τὸν ὃν μόρος ὀδενὶ ἔικων·
" Πολλὸς δ' ἄνδρας ἔπεφνεν ἐν αἰνῇ δῃοτῆτι·
" Πάντας δ' οὐκ ἂν ἐγὼ μυθήσομαι, ὅθ' ὀνομήνω,
" Ὅσσον λαὸν ἔπεφνεν, ἀμύνων Ἀργείοισιν.
" Ἀλλ' οἷον τὸ Τηλεφίδην κατενήρατο χαλκῷ
" Ἥρω' Εὐρύπυλον, πολλοὶ δ' ἀμφ' αὐτὸν ἑταῖροι
" Κήτειοι κτείνοντο, γυναίων εἵνεκα δώρων·

508 ΣΚΥ. Ἀπὸ τ῀ Σκύρ. Σκῦρος ᾗ, πόλις Δολοπίας.

510 ΕΒ. Ἔλεγον. ΗΜ. Ἀπιτύγχανε. ΜΥ. Τῶν συμβαλλομένων εἰς τὸ κρατεῖν λόγων.

511 ΝΕΙ. Ἐνικῶμεν. ΟΙ. Μόνοι.

518 ΤΗ. Υἱὸν δ' Τηλίφ. ΚΑ. Ἀνελὼν ἰσχυλίσατο.

519 ΕΥΡ. Εὐρύπυλος, ὁ Ἀσυόχης κὴ Τηλίφ, ᾧ Ἡρακλείος, παῖς, λαχὼν τὴν πατρῴαν ἀρχὴν, τ῀ Μυσίας ἀρχῆς ἐκεῖ ἐστ῀ συνόμβμος ᾗ Πριάμος τ῀ θεὸν τότε δυνάμεως, ἔπεμψεν εἰς αὐτὸν, ἵνα παραγένηθ' σύμμαχος· ἐπόντος δὲ αὐτῷ, ὡς οὐκ ἔξον αὐτῷ ἄλλῃ πλὴ τῷ μητρὶ, ἔπεμψεν ὁ Πρίαμος τῇ μητρὶ αὐτῷ Ἀσυόχῃ δῶρον χρυσῆν ἄμπελον. ἡ ᾗ λαβοῦσα τὴν ἄμπελον, ἔπεμψεν τ῀ ὑὸν ἐπὶ στρατίαν. Νεοπτόλεμος δὲ, ὁ Ἀχιλλέως παῖς, τοῦτον ἀναιρεῖ. ἡ δὲ ἱστορία παρὰ Ἀκουσιλάῳ.

520 ΚΗ. Τινὲς ἀπίδεσαν μιγάλοι, παρὰ τὸ κῆτος. Κρεῖσσον ᾗ ἀπὸ δόξης, Μυσῶν ἔθνος τὸς Κητείους. ἦν γὰ ὁ Τήλεφος

" Κεῖνον δὴ κάλλιστον ἴδον, μετὰ Μέμνονα δῖον.
" Αὐτὰρ ὅτ' εἰς ἵππον κατεβαίνομεν, ὃν κάμ' Ἐπειὸς,
" Ἀργείων οἱ ἄριστοι, ἐμοὶ δ' ἐπὶ πάντ' ἐτέταλτο,
" Ἠμὲν ἀνακλῖναι πυκινὸν λόχον, ἠδ' ὑπιθεῖναι·
" Ἔνθ' ἄλλοι Δαναῶν ἡγήτορες, ἠδὲ μέδοντες,
" Δάκρυά τ' ὠμόργνυντο, τρέμεν δ' ὑπὸ γυῖα ἑκάστῳ·
" Κεῖνον δ' ἔπος πάμπαν ἐγὼν ἴδον ὀφθαλμοῖσιν,
" Οὔτ' ὠχρήσαντα χρόα κάλλιμον, ἔτε παρεῖων
" Δάκρυ' ὀμορξάμενον· ὁ δέ με μάλα πόλλ' ἰκέτευεν
" Ἱππόθεν ἐξίμεναι· ξίφεος δ' ἐπεμαίετο κώπην,
" Καὶ δόρυ χαλκοβαρὲς, κακὰ δὲ Τρώεσσι μενοίνα.
" Ἀλλ' ὅτε δὴ Πριάμοιο πόλιν διεπέρσαμεν αἰπὴν,
" Μοῖραν καὶ γέρας ἐσθλὸν ἔχων ἐπὶ νηὸς ἔβαινεν
" Ἀσκηθὴς, ἔτ' ἄρ βεβλημένος ὄξεϊ χαλκῷ,
" Οὔτ' αὐτοσχεδίην ἀτασθαλόων· οἷά τε πολλὰ
" Γίνετ' ἐν πολέμῳ· ὀλοὸν δέ τε μαίνεται Ἄρης.
" Ὡς ἐφάμην· ψυχὴ δὲ ποδώκεος Αἰακίδαο
" Φοίτα, μακρὰ βιβῶσα, κατ' ἀσφοδελὸν λειμῶνα,

λιφος Μυσίας βασιλεύς· καὶ Ἀλκαῖος ὁ φησὶ τὸ Κήτειον, ἀντὶ τοῦ, Μυσόν. ΓΥ. Ἔνιοι μὲν γύναια δῶρα ἀπέδοσαν τῷ Ἀχιλλεῖ ἄμπελον, ἣν ἐχαρίζετο Ζεὺς Τρωὶ, ἀντὶ τοῦ Γανυμήδους ἁρπαγῆς, ἣν κατὰ Δαρδανίαν μετέπεμψεν εἰς Πρίαμον. ἐδέξατο δὲ τάχιον οἶδεν Ὅμηρος. κρεῖσσον ἦν ἀποδιδόναι, ὡς ὑπῆρχεν Πριάμῳ τῇ Εὐρυπύλῃ μίαν τῶν θυγατέρων δόσιν γυναῖκα, ὡς καὶ Ὀθρυονεῖ ὑπῆρχεν. ἐν ᾗ ἄλλῃ, τῶν δοθέντων δώρων τῇ Εὐρυπύλῃ γυναικὶ ὑπὸ Πριάμου, ἵνα πείσῃ τὸν ἄνδρα αὐτῆς ἥκοντα ἐπιστρατεῦσαι, συμμαχήσοντα τοῖς Τρωσίν.

522 ΚΑ. Εἰσήμειν. ΚΑ. Ἐξιπάνησιν.
523 ΕΤ. Ἐπιτίτραπτο.
526 ΩΜ. Ἀπιῶντο, ἀπεμάσσοντο.
528 ΩΧ. Ὠχριάσασα. ΚΑΛ. Καλόν.
529 ΟΜ. Ἀποψησάμενον.
530 ΕΞ. Ἐξιέναι. ΕΠ. Ἐφάπτετο.
531 ΜΕ. Ἐλογίζετο.
534 ΑΣ. Ὑγιής. ΒΕ. Πεπληθυσμένος βληθείς.
536 ΕΠ. Ἐπιμιγνυμένους.
538 ΒΙ. Διαδοιάσας. ΑΣ. Ἀσφόδελον. Ἀσφόδελος δέ ἐστι βοτάνη, ὁμοία σκίλλῃ.

" Γηθοσύνη,

" Γηθοσύνη, ὅ οἱ ἰὸν ἔφλω ἐρισθένεϊον εἶναι.
" Αἱ δ' ἄλλαι ψυχαὶ νεκύων καταθνητῶν
" Ἕστασαν ἀχνύμεναι, ἔφροντο δὲ κήδε' ἑκάστη.
" Οἴη δ' Αἴαντος ψυχὴ Τελαμωνιάδαο
" Νόσφιν ἀφεστήκει, κεχολωμένη εἵνεκα νίκης,
" Τὴν μιν ἐγὼ νίκησα, δικαζόμενος παρὰ νηυσὶ,
" Τεύχεσιν ἀμφ' Ἀχιλῆος· ἔθηκε δὲ πότνια μήτηρ·
" Παῖδες δὲ Τρώων δίκασαν καὶ Παλλὰς Ἀθήνη.
" Ὡς δὴ μὴ ὄφελον νικᾶν τοιῶδ' ἐπ' ἀέθλῳ·
" Τοίῃ γὰ κεφαλὴν ἔνεκ' αὐτῶν γαῖα κατέσχεν,
" Αἴανθ', ὃς τέρεϊ μὲν εἶδος, πέρι δ' ἔργα τέτυκτο
" Τῶν ἄλλων Δαναῶν, μετ' ἀμύμονα Πηλείωνα·
" Τὸν μὲν ἐγὼν ἐπέεσσι προσηύδων μειλιχίοισιν·
" Αἶαν, παῖ Τελαμῶνος ἀμύμονος, οὐκ ἄρ' ἔμελλες
" Οὐδὲ θανὼν λήσεσθαι ἐμοὶ χόλῳ, εἵνεκα τευχέων
" Οὐλομένων; τὰ δὴ πῆμα θεοὶ θέσαν Ἀργείοισιν·
" Τοῖος γὰρ σφιν πύργος ἀπώλεο· σεῖο δ' Ἀχαιοὶ
" Ἶσον Ἀχιλλῆος κεφαλῇ Πηληϊάδαο,
" Ἀχνύμεθα φθιμένοιο Διαμπερές· ἀδὲ τις ἄλλος
" Αἴτιος, ἀλλὰ Ζεὺς Δαναῶν στρατὸν αἰχμητάων

539 ΓΗ. Χαίρουσα. Ο. Ἀντὶ τοῦ, ὅτι.
540 ΚΑ. Τελαυτησάντων.
541 ΕΙ. Ἕλεγον, διηγοῦντο.
543 ΑΦ. Διέκρατο, ἀντεχάρη. ΚΕ. Ὠρχησμένη.
546 ΠΑΙ. Φυλακτέον ὅμως ὁ Ἀχαμέμνων τὸ δόξαν πατρὶ χαρίσασθαι τῷ θεῷ τῷ Ἀχιλλέως ὅπλων ἀμφισβητήσαντι, αἰχμαλώτους τῷ Τρῶας ἀγαγὼν, ἡττησιν ὑπὸ ὁπτίῃ αὐτῶν οἱ Τρῶες μᾶλλον ἐλυπήθησαν. Εἰπόντων δὲ τὸν Ὀδυσσέα τῶ αἰχμαλώτων, δηλαδὴ σαφῶνι ὥσαι τῶ ἄριστον κρίναντες, τῶ πλῆθος λυπήσαντα τὰς ἰχθῦς, ἔδοσαν εὐθὺς τῷ Ὀδυσσεῖ τὰ ὅπλα.
547 ΑΕΘ. Ἄθλῳ, ἀγῶνι.
553 ΔΗ. Ἐπιλαθέσθαι.
554 ΟΥ. Ὀλιγῆσιν.
555 ΠΥΡ. Τεῖχος.
557 ΑΧ. Ἀντάξιον.

" Ἐκπάγλως

" Ἐκπάγλως ἤχθηρε· τεὶν δ' ἐπὶ μοῖραν ἔθηκεν.
" Ἀλλ' ἄγε δεῦρο, ἄναξ, ἵν' ἔπος κ᾽ μῦθον ἀκούσῃς
" Ἡμέτερον· δάμασον δὲ μένος κ᾽ ἀγήνορα θυμόν.
" Ὡς ἐφάμιλλ· ὁ δέ μ' οὐδὲν ἀμείβετο, βῆ δ᾽ μετ' ἄλλας
" Ψυχὰς εἰς Ἔρεβος νεκύων καταταθνειώτων.
" Ἔνθα κ᾽ ὁμῶς προσέφη κεχολωμένος, ἤ κεν ἐγὼ τὸν,
" Ἀλλά μοι ἤθελε θυμὸς ἐνὶ στήθεσι φίλοισι
" Τῶν ἄλλων ψυχὰς ἰδέειν καταταθνειώτων.
" Ἔνθ' ἦτοι Μίνωα ἴδον, Διὸς ἀγλαὸν υἱόν,
" Χρύσεον σκῆπτρον ἔχοντα, θεμιςεύοντα νεκύεσσιν,
" Ἥμενον· οἱ δέ μιν ἀμφὶ δίκας εἴροντο ἄνακτα,
" Ἥμενοι, ἑστῶτές τε, κατ' εὐρυπυλὲς Ἄϊδος δῶ.
" Τὸν δὲ μέτ', Ὠρίωνα πελώριον εἰσενόησα
" Θῆρας ὁμοῦ εἰλεῦντα, κατ' ἀσφοδελὸν λειμῶνα·
" Τὰς αὐτὸς κατέπεφνεν ἐν οἰοπόλοισιν ὄρεσσι,
" Χερσὶν ἔχων ῥόπαλον παγχάλκεον, αἰὲν ἀαγές.
" Καὶ Τιτυὸν εἶδον, γαίης ἐρικυδέος υἱόν,
" Κείμενον ἐν δαπέδῳ· ὁ δ' ἐπ' ἐννέα κεῖτο πέλεθρα·
" Γῦπε δέ μιν ἑκάτερθε παρημένω ἧπαρ ἔκειρον,
" Δέρτρον ἔσω δύνοντες· ὁ δ' οὐκ ἀπαμύνετο χερσί·

561 ΔΑ. Τοῦ θυμοῦ καὶ τῆς ὀργῆς κράτησον.
568 ΘΕ. Δικάζοντα.
570 ΕΥ. Πλατείας πύλας ἔχον.
571 ΕΙ. Εἶδον, ἐθαυμάμιλω.
572 ΕΙ. Σαυτὸν ἔθηκα.
573 ΟΙ. Ἡ ἐρήμοις, ἐν οἷς ἐστι μήτε πολεῖσθαι, ὅ ἐστιν ἀναστρέφεσθαι· ἢ ἠμέροις, ἐν οἷς μήτε ἄν τις παροῦσι λάβοι τὸ ἥμερον, ἢ ἐν οἷς οὔτις ἀναστρέφεται, οἷον ὅπου νέμονται τὰ θηρία.
574 ΠΑΓ. Παρεσχόθην στεναζόμενον.
ΛΑ. Τὸ μηδέποτε κατακυμβον, ὅ ἐστι κλώμβον.
576 ΠΕ. Πλίθρα, λέγει πλίθρα, ὅ ἐστιν ἕκτον μέρος σταδίου· λίχα δέ, ὅτι τοῦ Τιτυοῦ τὸ σῶμα ἐπὶ ἐννέα ἔκειτο πλίθρα, ὥστε κατέχειν τόπον ἐννέα κ᾽ ἡμίσεος σταδίου· ἢν δ᾽ ὁ Τιτυὸς, Διὸς κ᾽ Ἐλάρας υἱός· ἐν δ᾽ ἄλλοι, μίτζον τι γῆς.
577 ΠΑ. Παροικοδομήμενοι, δυϊκῶς. ΚΕΙ. Ἔκειρον, κατήσθιον.
578 ΔΕΡ. Ἤτοι τῷ ὑπὸ τῷ σάρκα πιμπλῶ, ἢ τ᾽ ὑπεκείμενον τῷ ἥπατι ὑμένα.

" Λητὼ δ' ἤλκησε, Διὸς κυδρὴν ἀλοχοίτιν,
" Πυθὼδ' ἐρχομένην, Δηλὸ καλλιχόρῳ Πανοπῆος.
" Καὶ μὴν Τάνταλον εἰσεῖδον, χαλεπ' ἄλγε' ἔχοντα,
" Ἑστεότ' ἐν λίμνῃ· ἡ δὲ προσέπλαζε γλυκέῳ.
" Στεῦτο δὲ διψάων, πιέειν δ' οὐκ εἶχεν ἐλέσθαι·
" Ὁσσάκι γὰρ κύψει ὁ γέρων, πιέειν μνησαίνων,
" Τοσσάχ' ὕδωρ ἀπολέσκετ' ἀναβροχέν· ἀμφὶ δὲ ποσσὶ
" Γαῖα μέλαινα φάνεσκε, κατεζήνασκε δὲ δαίμων.
" Δένδρεα δ' ὑψιπέτηλα καταικρῆθεν χέε καρπὸν,
" Ὄγχναι καὶ ῥοιαὶ, ⟨καὶ⟩ μηλέαι ἀγλαόκαρποι,
" Συκαῖ τε γλυκεραὶ, καὶ ἐλαῖαι τηλεθόωσαι·
" Τῶν ὁπότ' ἰθύσει ὁ γέρων ὀπὶ χερσὶ μάσσασθαι,
" Τάσσ' ἄνεμος ῥίπασκε ποτὶ νέφεα σκιόεντα.
" Καὶ μὴν Σίσυφον εἰσεῖδον, κρατερ' ἄλγε' ἔχοντα,
" Λᾶαν βαστάζοντα πελώριον ἀμφοτέρῃσιν.
" Ἦτοι ὁ μὲν, σκηριπτόμενος χερσίν τε, ποσίν τε,

ὑμίνας· ἤνιοι δ' ἀπίδοσαν τὸ λιχρόμενον ὑπὸ τῶν ἰατρῶν ἦτρον· οὐ δ' ἄκος, τλῶ δειρήν. ΑΠΑ. Ἀπικώλυσεν.

579 ΗΛ. Εἶλκεν, ὠδύνησεν. ΚΥ. Ἐνόδυξεν.

580 ΠΥ. Πόλις τῆς Φωκίδος. ΚΑΛ. Καλὸς τόπος ἐχούσης. ΠΑ. Πανόπη, πόλις Φωκίδος.

581 ΤΑΝ. Τάνταλος, ὁ Διὸς καὶ Πλούτους, συνδιατρίβων τοῖς θεοῖς καὶ συνεστιώμενος αὐτοῖς ἁπλῶς διετέθη· κλίψας γὰρ τὸ νέκταρ καὶ τὴν ἀμβροσίαν, οὐκ ἐξὸν αὐτῷ, ἔδωκε τοῖς ὁμηλίκοις· ἐφ' οἷς ἀγανακτήσαντα τὸν Δία οὐκ ἀκολεῖν αὐτὸν τῷ σὺν ἀρχῇ δαίτης, καὶ ἐξαρτῆσαι ἐπ' ὄρους ὑψηλοῦ, ἀκαδιμίναν τῶν χειρῶν, ἐν τῷ Σίπυλον, ἵνα οἰκήσωσι, ἀνατρίψας· ἡ ἱστορία παρὰ Ἀσκληπιάδῃ.

582 ΕΣ. Ἱσταμένου ἐν μέσῃ τῇ λίμνῃ. ΠΡΟ. Προσήκοντα.

583 ΣΤΕΥ. Ἱσταῖο τινῶν ἐπὶ τῶν ποδῶν· κέχρηται δὲ τῇ λέξει ὁ Δικαιοσύνης παρὰ τῷ Ποιητῇ συνήθειαν.

585 ΑΠ. Ἀπώλλυο. ΑΝ. Ἀναπο-θὶν, ἀναροφητέον.

586 ΚΑ. Κατεξήρανεν· ἄζη γὰρ ἡ ξηρασία.

587 ΚΑ. Κατὰ τὴν κεφαλῆς. ΧΕ. Ἔσακεν.

590 ΜΑ. Ἐφάψασθαι.

592 ΣΙ. Ἀλλὰ καὶ ὁ Σίσυφος, κέρδιστος ὤν, ἀφ' οὗ κολάζεται; τὸ κακότροπον ὁ Γλαῦκος, τοῦ συγγενὴς ὑπάρχων μετήνεγκεν.

593 ΑΜ. Ἀμφοτέραις ταῖς χερσίν.

594 ΣΚΗ. Ἐπειδόμβου.

" Λᾶαν

" Λᾶαν ἄνω ὤθεσκε ποτὶ λόφον· ἀλλ' ὅτε μέλλοι
" Ἄκρον ὑπερβαλέειν, τότ' ἀποστρέψασκε κραταιὸς
" Αὖτις, ἔπειτα πέδονδε κυλίνδετο λᾶας ἀναιδής·
" Αὐτὰρ ὅγ' ἀψ ὤσασκε πιφαυσκόμενος· κατὰ δ' ἱδρὼς
" Ἔρρεεν ἐκ μελέων, κονίη δ' ἐκ κρατὸς ὀρώρει.
" Τὸν δὲ μέτ', εἰσενόησα βίην Ἡρακληείην,
" Εἴδωλον· αὐτὰς δὲ μετ' ἀθανάτοισι θεοῖσι
" Τέρπεται ἐν θαλίῃς, καὶ ἔχει καλλίσφυρον Ἥβην,
" Παῖδα Διὸς μεγάλοιο καὶ Ἥρης χρυσοπεδίλου.
" Ἀμφὶ δέ μιν κλαγγὴ νεκύων ἦν, οἰωνῶν ὡς,
" Πάντοσ' ἀτυζομένων· ὁ δ', ἐρεμνῇ νυκτὶ ἐοικώς,
" Γυμνὸν τόξον ἔχων, καὶ ὀϊστὸν νευρῆφιν ὀϊσθὸν,
" Δεινὸν παπταίνων, αἰεὶ βαλέοντι ἐοικώς.
" Σμερδαλέος δέ οἱ ἀμφὶ θὼρὴξ σήθεσσιν ἀορτὴρ,
" Χρύσεος ἦν τελαμών· ἵνα θέσκελα ἔρχα τέτυκτο,
" Ἄρκτοι τ', ἀγρότεροί τε σύες, χαροποί τε λέοντες,
" Ἰσμῖναί τε, μάχαι τε, φόνοι τ', ἀνδροκτασίαι τε.
" Μὴ τεχνησάμενος, μηδ' ἄλλο τι τεχνήσαιτο,
" Ὃς κεῖνον τελαμῶνα εἷ ἐγκάτθετο τέχνη.
" Ἔγνω δ' αὐτίκα κεῖνος, ἐπεὶ ἴδεν ὀφθαλμοῖσι,

595 ΩΘ. Ὤθ.
596 ΚΡΑ. Ἡ ἰσχυρὰ δύναμις.
597 ΑΝ. Σκληρός.
602 ΘΑ. Ταῖς τῶν θεῶν εὐαρχίαις. ΚΑΛ. Καλῶ, λέγε μέρος· εὔρυθμον.
605 ΑΤ. Ταραττομένων.
608 ΔΟΡ. Ὁ δὲ τελαμὼν θ χειμασθείς, ἐξ ὧ τὸ ξίφ θ ἤρτηται.
610 ΧΑ. Καπαπληκτικοὶ, φοβεροί.
611 ΑΝ. Ἀνδροφονίαι.
612 ΤΕΧ. Ἐπαῦμα σκυτέως· ὁ γὰρ νῶς, ὁ τεχνησάμενος τοιοῦτόν τι τοιοῦτον ἐπὶ τοῦτο τὸ κλῆρ ἔρχον· οὐτ' ἂν ἐξαίς τοιοῦτον τεχνήσαιτο· ὁ καταπεπυάσας σκῦτον τ' τελαμῶνα, ἄλλον τοιοῦτον σκῦτον ἐτεχνήσατο, ἀλλ' ἀδὲ τεχνησίαν· ὡς ἄ τις λέγῃ, οἷον Φειδίας ἐποίησε τ Δία, τοιοῦτο ἀδεὶ ἄλλο, εἰς σκῆπτον γὰ τὸ πᾶν τ ἑαυτῆ τέχνης κατέκλεισεν.
613 ΤΕΧ. Ἐνέθηκεν ἐν τῇ ἑαυτοῦ τέχνῃ, ὁ ἐστι, ἐπίστασιν. ΕΗ. Τῇ ἑαυτοῦ. ΕΓ. Ἐνέθηκεν.

" Καὶ

" Καί μ' ὀλοφυρόμενος ἔπεα πτερόεντα προσηύδα·
" Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
" Ἆ δείλ', ἦ τινα ἢ σὺ κακὴν μόρον ἠγηλάζεις,
" Ὅν περ ἐγὼν ὀχέεσκον ὑπ' αὐγὰς ἠελίοιο.
" Ζηνὸς μὲν πάϊς ἦα Κρονίονος, αὐτὰρ ὀϊζὺν
" Εἶχον ἀπειρεσίην· μάλα γὰρ πολὺ χείρονι φωτὶ
" Δεδμήμην, ὃ δέ μοι χαλεπὰς ἐπετέλλετ' ἀέθλους·
" Καί ποτέ μ' ἐνθάδ' ἔπεμψε κύν' ἄξοντ'· οὐ γὰρ ἔτ' ἄλλων
" Φράζετο τῶνδέ τι μοι χαλεπώτερον εἶναι ἄεθλον.
" Τὸν μὲν ἐγὼν ἀνένεικα καὶ ἤγαγον ἐξ Ἀΐδαο·
" Ἑρμείας δέ μ' ἔπεμψεν, ἰδὲ γλαυκῶπις Ἀθήνη.
" Ὣς εἰπὼν, ὁ μὲν αὖτις ἔβη δόμον Ἄϊδος εἴσω.
" Αὐτὰρ ἐγὼν αὐτοῦ μίμνον ἔμπεδον, εἴ τις ἔτ' ἔλθοι
" Ἀνδρῶν ἡρώων, οἳ δὴ τοπρόσθεν ὄλοντο.
" Καί νύ κ' ἔτι μοῦνον ἴδον ἀνέρας, οὓς ἔθελόν περ,
" Θησέα, Πειρίθοόν τε, θεῶν ἐρικυδέα τέκνα·
" Ἀλλὰ πρὶν ὅτι ἔθνε' ἀγείρετο μυρία νεκρῶν,
" Ἠχῇ θεσπεσίῃ· ἐμὲ δὲ χλωρὸν δέος ἥρει,
" Μή μοι Γοργείην κεφαλὴν δεινοῖο πελώρου

617 ΜΟ. Ἀπόλειαν. ΗΓ. Διάλειες, καὶ ὑπομίνειες.
618 ΟΧ. Εἶχεν, ὑπέφερον.
610 ΑΠ. Ποκὴν.
621 ΔΕ. Ὑποπτάγμαν. ΕΠ. Ἐπετέλλετο, προσέταττεν.
622 ΚΥ. Τὸν Κέρβερον. ΑΞ. Ἀγαπεῖν ὀφείλεται· πῶς γὰρ καὶ Ἡρακλῆς ἐνταῦθα, μέγων θεός; ἢ πῶς εἶον τε τὸν αὐτὸν εἶναι, καὶ ἐν ᾅδου ἢ ἐν ἀρχαῖς; καὶ ἡ Ἥβη δὲ κατ' Ὅμηρον παρθένος, ὅθεν καὶ οἰνοχοεῖ· ἀπίθανον δὲ αὐτὸν ἴσχειν καὶ τὴν σκοτίην· μὴ πῶν δὲ πῶς ὁμιλεῖ; τὴν μὲν σκοτίην ἐχεῖ κατὰ φαντασίαν· τὰς δὲ δύο τίχας καὶ ἡμεῖς ἀθετοῦμεν, Εἴδωλον, καὶ, Τίρπεται ἐν θαλίῃς. Οὐ πάντες γὰρ ἤτοι ἐν τῷ Ἅιδαο εἰσὶ χώρῳ, οἱ μὲν κολαζόμενοι, οἱ δὲ κολάζοντες, ὡς ὁ Μίνως καὶ ὁ Ἡρακλῆς· ἤτοι ἢ μὴ πεπωκότες ἐκ Λήθης ὕδατος, ἢ φθέγγεσθαι χωρὶς αἵματος.
633 ΓΟΡ. Μιθύσας, τῆς Γοργόνος, κεφαλήν.

" Ἐξ Ἀϊδος πέμψειεν ἀγαυὴ Περσεφόνεια.
" Αὐτίκ' ἔπειτ' ἐπὶ νῆα κιὼν, σκέλδυον ἑταίρῃς
" Αὐτός τ' ἀμβαίνειν, ἀνά τε πρυμνήσια λῦσαι·
" Οἱ δ' αἶψ' ἐσβαίνον, ἕ ὄπὶ κληῖσι κάθιζον.
" Τὴν δὲ κατ' Ὠκεανὸν πλῶμὸν φέρε κῦμα ῥόοιο·
" Πρῶτα μὲν εἰρεσίη, μετέπειτα δὲ κάλλιμος ὄρος.

635

636 AM. Ἀνεβαίνειν, ἐσιέναι.
638 ΦΕ. Ἐνθμιζειν. ΡΟ. Τῷ ῥεύματος.
639 EI. Κωπλακτὴ, παρὰ τὸ ἐρίσσω, τὸ κωπηλατῶ, ἐξ οὗ ἕ ἐρέται. ΚΑΛ. Καλὸς ἄνεμος.

ΥΠΟΘΕΣΙΣ

ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΟΔΥΣΣΕΙΑΣ Μ

ΤΟΥ ΟΜΗΡΟΥ

ΡΑΨΩΔΙΑΣ.

Διηγεῖται τῷ ἐξ ᾅδου χθομένῳ αὐτῷ ἐπάνοδον ὡς Κίρκῃ· καὶ ὡς τὰς Σειρῆνας παρέπλευσι, καὶ τὰς Πλαγκτὰς πέτρας, Σκύλλαν τε καὶ Χάρυβδιν· ὡς τῷ τῶ αὐτῶ νεὼς καὶ τῶν ἑταίρων ἀπώλειαν, ἀνελόντων πρὰς τῶν Ἡλίου βοῶν· ὡς μόνος ἐπὶ ξύλῳ ὡς Καλυψὼ διεσώθη.

Μῦ Σειρῆνας ἔχει, πλαγκτὰς, βῆς τ' Ἠελίοιο.

" Αὐτὰρ ἐπεὶ ποταμοῖο λίπεν ῥόον Ὠκεανοῖο
" Νηῦς, ἀτὸ δ' ἵκετο κῦμα θαλάσσης εὐρυπόροιο,
" Νῆσον ἐς Αἰαίην, ὅθι τ' Ἠοῦς ἠριγενείης
" Οἰκία καὶ χοροὶ εἰσι, καὶ ἀντολαὶ Ἠελίοιο·
" Νῆα μὲν ἔνθ' ἐλθόντες ἐκέλσαμεν ἐν ψαμάθοισιν, 5

2 ΑΠΟ. Ἀφίκετο, περιγένηλο. ΕΥ. Πλατὺν πόρον ἰχθύος· οἱονεὶ τὸ ῥεῦμα, ἢ καλὴς πόρης, ἰχθύος.

3 ΟΘ. Οὐχ ὡς ἀνατεθείσης τῷ ἡμέρας ἐν τῇ Αἰαίᾳ, τοῦτο ἔρηκεν· ἀλλ' ὅτι ἀπλούστερον, ἐπεὶ περιεχόμεθα, ὅπου ἡμέρα ἢ ἥλιος· ἢ καὶ σύγκεισιν τῶν Κιμμερίων· ἢ ὡς πρώτῃ φῶς παρέχουσιν, ἀνατολῇ κέκληκεν, ἐπεὶ ὑψηλοῦ ὄντος τοῦ Κιρκαίου, ἥλιος οὐ νυκτὸς ἐπιλάμπει τοῖς τῆ Κίρκης ξοάνοις.

4 ΧΟ. Χῶρος, τόποι· ὡς ἐν εὐρύχορον λείᾳ γῇ, τῷ εὔχωρον καὶ μεγάλῃ. ΑΝ. Ἀνατολαί.

" Ἐκ δὲ σὺ αὐτὸς βῆμεν ἐπὶ ῥηγμῖνι θαλάσσης.
" Ἔνθα δ' ἀποβρίξαντες ἐμείναμεν ἠῶ δῖαν·
" Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠώς,
" Δὴ τότ' ἐγὼν ἑτάρους προΐων εἰς δόματα Κίρκης
" Οἰσέμμαι νεκρὸν Ἐλπήνορα τεθνειῶτα.
" Φιτροὺς δ' αἶψα τάμοντες, ὅθ' ἀκροτάτη πρόσχ' ἀκτή,
" Θάπτομεν ἀχνύμενοι, θαλερὸν κατὰ δάκρυ χέοντες.
" Αὐτὰρ ἐπεὶ νεκρός τ' ἐκάη, καὶ τεύχεα νεκρῷ,
" Τύμβον χεύαντες, καὶ ὑπὲρ σήλην ἐρύσαντες,
" Πήξαμεν ἀκροτάτῳ τύμβῳ εὐῆρες ἐρετμόν.
" Ἡμεῖς μὲν τὰ ἕκαστα διείπομεν· ἂδ' ἄρα Κίρκην
" Ἐξ Ἀΐδεω ἐλθόντες ἐλήλυθμεν, ἀλλὰ μάλ' ὦκα
" Ἦλθ' ἐντυναμένη· ἅμα δ' ἀμφίπολοι φέρον αὐτῇ
" Σῖτον καὶ κρέα πολλὰ, καὶ αἴθοπα οἶνον ἐρυθρόν.
" Ἡ δ' ἐν μέσσῳ ἔστη μετηύδα δῖα θεάων·
" Σχέτλιοι, οἳ ζώοντες ὑπήλυθετε δῶμ' Ἀΐδαο,
" Διθανέες, ὅτε τ' ἄλλοι ἅπαξ θνήσκουσ' ἄνθρωποι.
" Ἀλλ' ἄγετ', ἐσθίετε βρώμην καὶ πίνετε οἶνον
" Αὖθι παννημέριοι· ἅμα δ' ἠοῖ φαινομένῃφι
" Πλώσεσθ'· αὐτὰρ ἐγὼ δείξω ὁδὸν, ἠδὲ ἕκαστα
" Σημανέω· ἵνα μή τι κακοῖρραφίῃ ἀλεγεινῇ,
" Ἢ ἁλὸς, ἢ ἐπὶ γῆς, ἀλγήσετε πῆμα παθόντες.
" Ὣς ἔφαθ'· ἡμῖν δ' αὖτ' ἐπεπείθετο θυμὸς ἀγήνωρ.
" Ὣς τότε μὲν πεθόπην ἦμαρ ἐς ἠέλιον καταδύντα

7 ΑΠ. Ἀποτυτθίζαντες, κομιδῇ ὀλίγης.
11 Φι. Κορυφὴς. ΠΡΟ. Ἐξέσχεν.
14 ΧΕΥ. Χώσαντες. ΕΡ. Νῦν σήσαντες.
16 ΔΙΕ. Ἐνηεῦμεν, ἱπράπομεν.
17 ΕΛ. Ἐλαυθάνομεν.
18 ΕΝ. Παρασκάσασαμένη.
22 Δι. Δὶς ἀποθνήσκοντες.
27 ΑΔ. Ὀδωνήσεσθε.

" Ἡμεθα

" Ἤμεθα δαινύμενοι κρέα τ' ἄσπετα καὶ μέθυ ἡδύ·
" Ἦμος δ' ἠέλιος κατέδυ καὶ ἐπὶ κνέφας ἦλθεν,
" Οἱ μὲν κοιμήσαντο κατὰ πρυμνήσια νηός·
" Ἡ δέ με χειρὸς ἑλοῦσα φίλων ἀπονόσφιν ἑταίρων,
" Εἷσέ τε, καὶ προσέλεκτο, καὶ ἐξερέεινεν ἕκαστα·
" Αὐτὰρ ἐγὼ τῇ πάντα κατὰ μοῖραν κατέλεξα·
" Καὶ τότε δή μ' ἐπέεσσι προσηύδα πότνια Κίρκη·
" Ταῦτα μὲν ἤτω πάντα πεπείραν)· σὺ δ' ἄκουσον
" Ὡς τοι ἐγὼν ἐρέω, μνήσω δέ σε Ϲ θεὸς αὐτός.
" Σειρῆνας μὲν πρῶτον ἀφίξεαι, αἳ ῥά τε πάντας
" Ἀνθρώπους θέλγουσιν, ὅ, τις σφέας εἰσαφίκῃ).
" Ὅστις ἀϊδρείῃ πελάσῃ καὶ φθόγγον ἀκούσῃ
" Σειρήνων, τῷ δ' οὔτι γυνὴ, καὶ νήπια τέκνα,
" Οἶκαδε νοστήσαντι, παρίστανται, οὐδὲ γάνυνται).
" Ἀλλά τε Σειρῆνες λιγυρῇ θέλγουσιν ἀοιδῇ,
" Ἥμεναι ἐν λειμῶνι· πολὺς δ' ἀμφ' ὀστέοφιν θὶς
" Ἀνδρῶν πυθομένων, περὶ δὲ ῥινοὶ μινύθουσιν.
" Ἀλλὰ παρὲξ ἐλάαν· ἐπὶ δ' ἅτ' ἀλεῖψαι ἑταίρων,
" Κηρὸν δεψήσας μελιηδέα, μήτις ἀκούσῃ
" Τῶν ἄλλων· αὐτὰρ αὐτὸς ἀκουέμεν, αἴκ' ἐθέλῃθα.

34 ΠΡΟ. Προσεῖπεν.
37 ΠΕ. Τετίλισμαι.
38 ΜΝΗ. Μεμνησθῦσαι ποιησί.
39 ΣΕΙ. Κατὰ μὲν τὰς πολλὰς, Ἀχελῴου καὶ Στροφάδων τῶν Παρθενοθ αἱ Σειρῆνες· καθ' ἑνὸς δὲ, Ἀχελῴου καὶ Τερψιχόρης, μιᾶς τῶν Μουσῶν· ἐλόμεναι δὲ πατρίδα, ἐμισήθησαν ὑπὸ Ἀφροδίτης, καὶ ἔχουσαι πίστιν ἀπέπλησαν εἰς τὸ Τυρρηνικὸν κλίμα, καὶ νῆσον κατέσχον, Ἀνθεμοῦσσαν ὀνομαζομένην· ἐνόμασε δὲ αὐτὰς, Ἀγλαοφήμην, Θελξιέπειαν, Πεισινόην, καὶ Λίγειαν· καὶ δὲ Ὁμηρος, δύο· Σειρήσοιν γὰρ λέγει. ΑΦ. Παρακλύσῃ.
40 ΘΕΛ. Ἀπατῶσιν.
43 ΓΑ. Χαίρουσιν.
44 ΑΙ. Ἡδείᾳ.
45 ΟΣΤ. Τῶν ὀστέων. ΘΙΣ. Σωρός.
46 ΠΥ. Σηπομένων. ΡΙ. Τὰ δέρματα. ΜΙ. Ἐλαττοῦνται.
47 ΠΑ. Περιλαύειν ἑαυτὸς αὐτῶν.
48 ΔΕΨ. Μαλάξας· ἵνθεν καὶ βυρσοδέψης.

" Δησάντων

" Δησάντων σ' ἐν νηῒ θοῇ χεῖράς τε, πόδας τε,
" Ὀρθὸν ἐν ἰστοπέδῃ· ἐκ δ' αὐτοῦ πείρατ' ἀνήφθω·
" Ὄφρα κε τερπόμενος ὄπ' ἀκούῃς Σειρήνοιϊν.
" Αἱ δέ κε λίσσηαι ἑτάρους, λῦσαί τε κελεύῃς,
" Οἱ δέ σ' ἐνὶ πλεόνεσσι τότ' ἐν δεσμοῖσι δεόντων.
" Αὐτὰρ ἐπειδὴ τάς γε παρὲξ ἐλάσωσιν ἑταῖροι,
" Ἐνθά τοι οὐκ ἔτ' ἔπειτα διηνεκέως ἀγορεύσω,
" Ὁπποτέρη δή τοι ὁδὸς ἔσσεται, ἀλλὰ κ' αὐτὸς
" Θυμῷ βουλεύειν· ἐρέω δέ τοι ἀμφοτέρωθεν.
" Ἔνθεν μὲν γὰρ πέτραι ἐπηρεφέες· πρότι δ' αὐτὰς
" Κῦμα μέγα ῥοχθεῖ κυανώπιδος Ἀμφιτρίτης·
" Πλαγκτὰς δή τοι τάς γε θεοὶ μάκαρες καλέουσι.
" Τῇ μέν τ' οὐδὲ ποτητὰ παρέρχεται, οὐδὲ πέλειαι
" Τρήρωνες, ταί τ' ἀμβροσίην Διῒ πατρὶ φέρουσιν,
" Ἀλλά τε κ' τ' αἰεὶ ἀφαιρεῖται λὶς πέτρη·
" Ἀλλ' ἄλλην ἐνίκησι πατὴρ ἐναρίθμιον εἶναι.

50 ΔΗ. Δησάτωσαν, Ἁπλικῶς.

51 ΙΣ. Τῷ τόπῳ, ἐν ᾧ ὁ ἱστὸς ἐντίθεται. ΑΥ. Ἐκ ᾧ ἱστοῦ. ΠΕΙ. Τὰ χοινίκια. ΑΝ. Διδίοθω.

54 ΔΕ. Δείτωσαν.

55 ΠΑ. Ἐκτὸς ἐλάσωσιν.

56 Δι. Οἷον κ' μίαν παρακλιλίαν, ἢ οἷ' ὅλα.

57 ΟΠ. Ἀντὶ ᾧ, ἀφ' ποίας.

58 ΑΜ. Ἐκατέρωθεν.

59 ΕΠ. Πυκνάς, ἢ ἐπικεκριμάδωμαι, ὑψηλὰς καὶ ἐπίσχιοι. ΠΡ. Πλησίον δὲ αὐτῶν.

60 ΡΟΧ. Ἦχον λέγει. ΚΥ. Μελανοφθάλμους.

61 ΠΛΑ. Ὁ μὲ Κράτης, ὅτι πλάζεται ἀεὶ αὐτὰς τὸ κῦμα· οἱ δ, ὡς τὴν Δῆλον κινεῖσθαι κ' φέρεσθαι. ΘΕ. Ἄνθρωποι δ' ὑδεῖν, καὶ τότε δηλονότι πίπλακεν.

62 ΠΟ. Πτίλωά.

63 ΤΡΗ. Δειλαί. ΑΜ. Ἤτοι μυθικῶς φησὶ, τὰς ὑστέρας ἀφ' τῆς Πλαγκτῶν πετομένας ἀπομίζειν Διῒ ἀμβροσίαν· ἢ φυσικῶς τοῦτο εἴρηκεν· ὅτι γὰρ ἔχθην τῆς Πλαγκτῶν γίνεται τὸ ἄστρον, ὁ λειγόμενος Ταῦρος, τότε συμβαίνει τὴν ἐπὶ τῆς ἕρας αὐτοῦ κειμένων ἀπλανῶν ἀστέρων, οἷ Πλειάδες λέγονται, ἵνα ἀμαυρῶσθαι ἐκ τῆς ἀνακφορᾶς ᾧ κόπου· φέρει δὲ πρόφωλον, ὕδωρ παλαιόν, ἡλίῳ, ὃν κ' Πλάτων ἐν Φαίδρῳ Δίκας ὠθισμοὺς φασιν, Ὁ μὲ δὴ μέγας ἐν οὐρανῷ Ζεὺς ἐλαύνων ἅρμα ἐλαυνῶν.

64 ΛΙ. Λέκα κ' ὁμαλὴ πίτυα.

65 ΕΝ. Ἐντίθησι, ἐπιπέμπει.

" Τῇ δ'

" Τῇ δ' ὅπως τις νῆυς φύγεν ἀνδρῶν, ἥτις ἵκηται,
" Ἀλλά θ' ὁμᾶ πίνακάς τε νεῶν καὶ σώματα φωτῶν
" Κύματ' ἀλὸς φορέουσι πυρός τ' ὀλοοῖο θύελλαι.
" Οἵη δὴ κείνη γε παρέπλω παντοπόρος νῆυς,
" Ἀργὼ παυμέλεσσι, παρ' Αἰήταο βολέεσσι·
" Καί νύ κε τ' ἔνθ' ὧκα βάλεν μεγάλας ποτὶ πέτρας,
" Ἀλλ' Ἥρη παρέπεμψεν, ἐπεὶ φίλος ἦεν Ἰήσων.
" Οἱ δὲ δύω σκόπελοι, ὁ μὲν οὐρανὸν εὐρὺν ἱκάνει

67 ΠΙ. Τὰς πετρίδας.

68 ΦΟ. Νεῶ, φθείρουσι. ΘΥ. Καταιγίδες.

69 ΠΑ. Παρέπλευσε, παρῆλθε.

70 ΠΑ. Ἐπίθετον τῆ Ἀργοῦς. ἀπὸ τοῦ, πᾶσιν ὡς ἐπιμελὲς εἶναι ἀφ' οὗ τὸ κλίθος· ἢ πᾶσι μέλουσα θεοῖς. ΑΡ. Τυρὼ, ἡ Σαλμωνέως, ἔχουσα δύο παῖδας ἐκ Ποσειδῶνος, Νηλέα τε καὶ Πελίαν, ἔγημε Κρηθέα· καὶ ἴσχε παῖδας ἐξ αὐτοῦ τρεῖς, Αἴσονα, Φέρητα, Ἀμυθάονα. Αἴσονος δὲ καὶ Πολυμήλας, καθ' Ἡσίοδον, γίνεται Ἰάσων, ᾧ δὲ Φερεκύδης, ἐξ Ἀλκιμέδης· τελούτων δὲ ἄτερ καταλείπει παῖδος ἐπίτροπον τὸν ἀδελφὸν Πελίαν, ἵνα αὐξηθέντι τῷ υἱῷ παράσχῃ. ἡ δὲ τοῦ Ἰάσονος μήτηρ Ἀλκιμέδη δείσασα, δίδωσιν αὐτὸν τρέφεσθαι Χείρωνι τῷ Κενταύρῳ. τραφεὶς δὲ ὁ ἥρωας ἔρχεται εἰς Ἰωλκόν, ἀπαιτῶν τὸν πατρῷον θρόνον τὸν Πελίαν. ὁ δὲ ἔφασκεν χρῆναι αὐτὸν πρότερον ἀφικέσθαι τὸ χρυσοῦν δέρας ἀπὸ Κόλχων, καὶ τὰς συμφορὰς ἀπολέσαι πάντας. ἀκούσας δὲ ταῦτα ὁ Ἰάσων, λέγει τῷ Χείρωνι, καὶ αὐτῷ ὁ Χείρων συνεπέμπετο τοὺς ἡμιθέους· κωλυσιναύτης δὲ ἡ Ἀθηνᾶ τῆς Ἀργοῦς. πλέουσιν δὲ ἀφικνοῦνται ἐπὶ τὸν Βιθυνῶν χώρον, καὶ ὀρῶσι τὸν Φινέα πρὸν ἀφ' αὐτοῦ τοῦ αἰτίαν. ἔχων γὰρ παῖδας ἐκ Κλεοπάτρας τὸν Βορέου, καὶ ἐπιγάμιος Εὐρυπύλης, δίδωσιν αὐτὸς τῇ μητρυιᾷ ἀφαιρεθέντας, τοὺς ἀναίρεσιν· Ζεὺς δὲ χαλεπήνας λέγει αὐτῷ, Ποτέρου βούλεται ἀποθανεῖν, ἢ τυφλὸς γενέσθαι; ὁ δὲ αἱρεῖται μὴ ὁρᾶν τὸν ἥλιον· ἀγανακτήσας δὲ ὁ Ἥλιος, Ἅρπυιας ἐπιπέμπει αὐτῷ, αἵτινες, ἅπαξ μέλλ ἑσθίειν, τὰ αὐτοῦ διέφθειρον πάντα, ἐμπάλιν φθορόν τινα· καὶ ὅτω Φινεὺς ἐπεμωρεῖτο. τοῦτον οὖν τὸν Φινέα θεραπεύσαντες οἱ περὶ τὸν Ἰάσονα, παρεκάλουν ἀποθέσθαι, πῶς διαπλεῦσιν Πλαγκτὰς λεγομένας πέτρας· ὁ δὲ ἄπιθι, ἐὰν τὰς Ἅρπυιας ἀπαλλάξωσι τοὺς περὶ αὐτὸν ὄρνιθας. θέντες δὲ σωθήκας, ἐπαγγέλλονται αὐτῷ τοῦτο δράσειν. ὁ δὲ λέγει αὐτοῖς, Πόσον δύναται ἔχειν τάχος ἡ Ἀργώ; φάντων δὲ, Πελειάδες, ἐκέλευσεν ἀφεῖναι πρώτιστον τὸν περὶ τοὺς συμπλεόντων πτερῶν, καὶ μὲ μεσηλικιωθῇ, μὴ πλεῖν· ἐὰν δὲ σωθῇ, τότε περαίνειν τὸν πλοῦν· οἱ δὲ ταῦτα ἀκούσαντες ποιοῦσι. καταγιθέσης δὲ τοῦ πρώτιστος ἀφ' ὑψηλοῦ ἀφ' Ἀργοῦς, περιφάσκουσι τῇ Ἀργοῖ ἀφ' Συμπληγάδων, ἃς αἱ πέτραι σπιλάδα συμμύσασαι τῆς νεὸς ἁλόντας συμμύσασαι, αὐτοὶ δὲ σώζονται. οἱ δὲ Βορεάδαι Ζήτης καὶ Κάλαϊς ἀποδιώκουσι τὰς Ἅρπυιας ἀπὸ τοῦ Φινέως δείπνου, ἕως ἔτω παραγενόμενοι εἰς Κόλχους. ἡ δὲ ἱστορία παρὰ Ἀπολλοδώρῳ.

72 ΠΑ. Παρήλασε.

73 ΣΚΟ. Ὑψηλὰ πέτρας.

" Ὀξείῃ

" Ὀξείη κορυφῇ, νεφέλη δέ μιν ἀμφιβέβηκε
" Κυανέη· τὸ μὲν ἄπτ' ἐρωεῖ, ἀδέπτ' αὖθρη
" Κείνῳ ἔχῃ κορυφήν, ἅτ' ἐν θέρῃ, ἅτ' ἐν ὀπώρῃ·
" Οὐδέ κεν ἀμβαίη βροτὸς ἀνὴρ, ὃ καβαίη,
" Οὐδ' εἰ οἱ χεῖρές γε εείκοσι καὶ πόδες εἶεν·
" Πέτρη γὰρ λίς ἐστι, περιξεσὴ εἰκυῖα.
" Μέσῳ δ' ἐν σκοπέλῳ ἐστὶ σπέος ἠερόειδὲς
" Πρὸς ζόφον, εἰς Ἔρεβος τετραμμένον· ἦπερ ἂν ὑμεῖς
" Νῆα σὺν εὖ γλαφυρὴν ἰθύνετε, φαίδιμ' Ὀδυσσεῦ.
" Οὐδέ κεν ἐκ νηὸς γλαφυρῆς αἰζηίος ἀνὴρ
" Τόξῳ ὀϊστεύσας κοῖλον σπέος εἰσαφίκοιτο.
" Ἔνθα δ' ἐνὶ Σκύλλη ναίει, δεινὸν λελακυῖα·
" Τῆς ἦτοι φωνὴ μὲν, ὅση σκύλακος νεογιλῆς,
" Γίνεται, αὐτὴ δ' αὖτε πέλωρ κακός· οὐδέ κε τίς μιν

74 ΝΕ. Νίφει.

75 ΤΟ. Τὸ νίφει. ΤΟ. Σχήμασιος πρὸς τὸ σημαινόμενον ἀκόλουθον· πρὸς γὰρ τὸ σιωπώμενον ἀπήντησε, τὸ οὔ ποτ' ἐρωεῖ. ΕΡ. Ἀποχωρεῖ. ΑΙ. Αἴθρα, αὐγή.

77 ΑΜ. Οὐ δυνηθῇ ἀνιλῆσαι. ΑΠΟ. Οὐδὲ κατέλθῃ.

80 ΣΚΟ. Ὑψηλῷ τόπῳ. ΗΕ. Σκοτεινόν.

81 ΖΟ. Δύσιν. ΕΡ. Εἰς τὸ πρὸς δύσιν μέρη νεῦον. πλανᾶς δὲ, ἵνα μὴ προϊδόντες οἱ ἑταῖροι, παύσωνται τῆς κωπηλασίας.

82 ΙΘ. Ἐπ' εὐθείας ἄγετε.

83 ΑΙ. Νεανίας γλυκεῖος.

84 ΑΦ. Ἀντὶ τοῦ, καταλάβοι.

85 ΣΚΥΛ. Σκύλλα, Φόρκυνος θυγάτηρ ἡ Ἑκάτης, ἔχουσα πρὸς ταῖς πλάγιαις σκύλακας, κατέχουσα δὲ τὸν πρὸς Σικελίαν πορθμὸν, Ἔνθεν μὲν γὰρ Σκύλλ', ἐτέρωθι δὲ ἡ θεὰ Χάρυβδις· ἄκρως, Σκύλλα θυγάτηρ μὲν ἦν Φόρκυνος καὶ Ἑκάτης, τὸ μὲν μέγεθος γυμνασίᾳ· εἶχε δὲ πόδας μὲν δώδεκα, κεφαλὰς δὲ ἓξ· ὧν ἑκάστῃ δὲ τρισμάτων τριῶν σίχας ὀδόντων, ὀφθαλμὸς δὲ πυρσοειδεῖς. καὶ τὸ μὲν ἄκρον σῶμα σκυρώδιστο αὐτῆς ἐν τινι σπηλαίῳ, καὶ βυθοῦ βιβλημένον, συμφυὲς ὂν τῇ πέτρᾳ· τὰς δὲ κεφαλὰς αὐτῆς εἶχεν ἐξῳ ἐκπεμπούσας, ὡς δύνασθαι ἀπὸ τῆς πέτρας ἐς τὴν ναῦν φθάνειν. παύεται λέγεται τὸ Ἡρακλέα, ὁπότε τὰς Γηρυόνου βοῦς ἤγεν, ὡς εἶδεν αὐτὴν ἀπληστευομένην ἀνελεῖν· τὸ δὲ πατέρα Δία πυρὸς ἀνακαύσαι πάλιν αὐτὴν ἀναζῆσαι. ἡ δὲ ἱστορία παρὰ Διονύσῳ. ΛΕ. Ἤτοι, ὑλακτοῦσα· ἢ, οἰκτρὸν ἦχον ἀποπελοῦσα.

86 ΝΕ. Νεογνὸς, γάλακτι τεθραμμένης.

87 ΠΕ. Μίζα.

" Γηθήσειεν

" Γηθήσειεν ἰδὼν, ἀδ' εἰ θεὸς ἀντιάσειεν.
" Τῆς ἦτοι ᾠόδες εἰσὶ δυώδεκα πάντες ἄωροι·
" Ἐξ δέ τε οἱ δειραὶ ᾠβεμήκεες· ἐν δὲ ἑκάστῃ
" Σμερδαλέη κεφαλὴ, ἐν ᾗ τρίστιχοι ὀδόντες,
" Πυκνοὶ καὶ θαμέες, πολέσι μέλανος θανάτοιο.
" Μέσση μέν τε κατὰ σπείους κοίλοιο δέδυκεν·
" Ἔξω δ' ἐξέχεφ κεφαλὰς δεινοῖο βερέθρου.
" Αὐτῇ δ' ἰχθυάα σκόπελον ᾠβμαιμώωσα
" Δελφῖνάς τε, κύνας τε, ϗ εἴποθι μεῖζον ἕλκοι
" Κῆτος, ἃ μυρία βόσκεφ ἀγάστονος Ἀμφιτρίτη.
" Τῇ δ' ὅπω πλέ ναῦται ἀκήδεοι εὐχετόωνται
" Παρφυγέειν σὺν νηΐ· φέρεφ δέ τε κραιτὶ ἑκάστῳ
" Φῶτ' ἐξαρπάξασα νεὸς κυανοπρῴροιο.
" Τὸν δ' ἕτερον σκόπελον χθαμαλώτερον ὄψεφ, Ὀδυσεῦ,
" Πλησίον ἀλλήλων· καί κεν διοϊστεύσειας.

88 ΑΝ. Σωωατήσει, συντύχοι.

89 ΑΩ. Λιπτοί. ἴνιοι ᾗ ἀπίδοται, παραιωρέμβοι, ἓ ἀθιντῖς· πινὶς ᾗ, δυσφύλακτοι, ὃς οὐδεὶς ἂν τις δωηθείη φυλάξασθαι, ἀφ' τὼ ᾠβὶ αὐτὰς δεινότητα· ἀρτῖν γὰς, τὸ φυλάσσειν, ἐνθα ϗ ὁ πυλωρός. ἴνιοι δὲ, δασίως ἀνίγνωσαν ἄωροι, ὠμοὶ, ἄγριοι, οὐ μιλαφορᾶς τῆ ἀώρων, ἓ μὴ πτέρων κραπᾶν· πινὶς, ἀδὲ μιᾶς φρενῖδος ἄξιοι· ὥρα γὰ, ἡ φρονῖς. ἴνιοι ᾗ, ἀώρους τὰς ἐμπροσθίους, ὡς καὶ παρὰ τῷ Κωμικῷ, Οὐ τὰς ἀώρους ἵππασι, μασῖλα, Πόδας κομίζειν; σὺ ᾗ φέρεις ὀπισθίους; ἄμεινον δὲ ἀποδιδόναι, τὰς χαλινὰς ϗ δυσφυλάκλους, παρὰ τὸ ὠρεῖν, ὃ ἐπ φυλάσσειν· ἢ τὰς δυσερμήνευτους, παρὰ τὸ ὀρνεῖν· ἀ γὰ χρῆται αὐτοῖς ἡ Σκύλλα εἰς πορείαν.

90 ΔΕΙ. Τριχῆλοι. ΠΕ. Περιστῶς μακρά.

91 ΚΕ. Κατὰ μὲ τὰς πολλὰς, κυνὸς πυκνότερον δὲ, δράκοντος· ϗ γὰ μόνος δράκων τρῶς στίχας ἰχεῖ ὀδόντων. ΣΜΕΡ. Καταπληκτική. ΤΡΙ. Τρεῖς ταξεις ἔχοντες.

92 ΠΥ. Ἐκ παραλλήλε ἵπαξε τὰς λίξεις ἰσιδωαμένας. ΠΛΕΙ. Πλήρεις. ΜΕ. Δεινῶ, χαλεπῶ.

94 ΕΞ. Ἐκφέρεῖ. ΒΕ. Βάθος.

95 ΙΧ. Ἰχθῦς ἀχρεῖ. ΜΑΙ. Ἐπιτιμᾶν, ἢ ᾠβμμᾶν.

97 ΑΓ. Μεγάλως ψοφῶς λοπτλῶσι· ἢ μεγάλως στιαγμὸς ἐπφέρεται, ἀφ' τὸς ἐν τοῖς ναυαγίοις ἀπολωμένους.

98 ΑΚ. Νεῶν, ἀνὼ κρὸς ϗ θαλάτ· ἀόλαδος.

101 ΧΘΑ. Ταπεινότερον. ΟΨ. Θιάσῃ.

102 ΔΙ. Τοξεύσειας, ἀφαιρέσειας.

" Τῷ δ' ἐν ἐρινεός ἐστι μέγας, φύλλοισι τεθηλώς·
" Τῷ δ' ὕπο δῖα Χάρυβδις ἀναρροιβδεῖ μέλαν ὕδωρ.
" Τρὶς μὲν γάρ τ' ἀνίησιν ἐπ' ἤματι, τρὶς δ' ἀναροιβδεῖ
" Δεινόν· μὴ σύ γε κεῖθι τύχοις, ὅτε ῥοιβδήσειεν·
" Οὐ γάρ κεν ῥύσαιτό σ' ὑπ' ἐκ κακῆ ὀδ' Ἐνοσίχθων.
" Ἀλλὰ μάλα Σκύλλης σκοπέλῳ πεπλημένος, ὦκα
" Νῆα πάρεξ ἐλάαν· ἐπεὶ πολὺ φέρτερόν ἐστιν,
" Ἓξ ἑτάρους ἐν νηῒ ϖοθήμεναι, ἢ ἅμα πάντας.
" Ὣς ἔφατ'· αὐτὰρ ἐγώ μιν ἀμειβόμενος ϖροσέειπον·
" Εἰ δ' ἄγε δή μοι τοῦτο, θεὰ, νημερτὲς ἐνίσπε,
" Εἴπως τὴ ὀλοὴν μὲν ὑπεκϖροφύγοιμι Χάρυβδιν,
" Τὴν δὲ κ' ἀμυναίμην, ὅτε μοι σίνοιτο γ' ἑταίρους;
" Ὣς ἐφάμην· ἡ δ' αὐτίκ' ἀμείβετο δῖα θεάων·
" Σχέτλιε, κὴ δ' αὖ τοι ϖολεμήια ἔργα μέμηλε
" Καὶ ϖόνος· οὐδὲ θεοῖσιν ὑπείξεαι ἀθανάτοισιν;
" Ἡ δέ τοι οὐ θνητὴ, ἀλλ' ἀθάνατον κακόν ἐστι,
" Δεινόν τ', ἀργαλέον τε, κὴ ἄγεμον, οὐδὲ μαχητόν.
" Οὐδέ τις ἔς' ἀλκή· Φυγέειν κάρτιστον ἀϖ' αὐτῆς.
" Ἢν γὰρ δηθύνηθα, κορυσσόμενος ϖαρὰ ϖέτρῃ,
" Δείδω, μή σ' ἐξαῦτις ἐφορμηθεῖσα κίχῃσι

103 ΤΩ. Προμηθεύμενον, ἵνα ὁ Ὀδυσσεὺς χρῆ εὐκριμαθεὶς σωθῆναι. ΤΩ. Ἐν τούτῳ δέ. ΕΡ. Ἀχρεῖα συκῆ. ΤΕ. Θάλλων.

104 ΔΙ. Φοβερά, παρὰ τὸ δίω. ΧΑ. Θαλάσσης βάθος ἀναπολικόν· ἔστι δὲ μεταξὺ τοῦ Ἀδρίου καὶ τοῦ Τυρρηνικοῦ πελάγους.

105 ΑΝ. Ἀναδάλλ. ΑΝ. Ἀναῤῥοφεῖ, ἀναπίνῃ.

106 ΤΥ. Κατὰ τύχην εὑρεθέντος. ΡΟΙΒ. Ἀναῤῥοφήσῃ, ἀναπίοι.

108 ΠΕ. Πλησιάζων, ϖαραπελάζων.

111 ΑΤ. Ἐκπληττόμενος.

114 ΑΜ. Τιμωρησαίμην.

117 ΥΠ. Ὑποχωρήσεις, ἐνδώσεις.

119 ΜΑ. Πολεμεῖσθαι δυνάμενον.

120 ΟΥ. Ἐνταῦθα στατέον· ὁ γὰρ λόγος, ὡδέ ἐστι κῇ τῆς Σκύλλης ἁλίσκησις· φεύγειν ἢ ἀπ' αὐτῆς κρεῖττον· ἀλκὴ γὰρ, ἡ βοήθεια, κὴ ἁλίσκησις.

121 ΔΗ. Χρονίσεις. ΚΟ. Ὁπλιζόμενος.

122 ΕΦ. Ἐπιθῇσι. ΚΙ. Καταλάβοι.

" Τόσσησιν

" Τόσσην κεφαλῆσι, τόσους δ' ἐκ φῶτας ἕληται.
" Ἀλλὰ μάλα σφοδρῶς ἐλάαν, βωστρεῖν δὲ Κραταιΐν,
" Μητέρα τ' Σκύλλης, ἣ μιν τέκε πῆμα βροτοῖσιν·
" Ἣ μιν ἔπειτ' ἀποπαύσῃ ἐς ὕστερον ὁρμηθῆναι.
" Θρινακίην δ' ἐς νῆσον ἀφίξεαι· ἔνθα δὲ πολλαὶ
" Βόσκονθ' Ἠελίοιο βόες καὶ ἴφια μῆλα,
" Ἑπτὰ βοῶν ἀγέλαι, τόσα δ' οἰῶν ὡραῖα κάλλα,
" Πεντήκοντα δ' ἕκαστα· γόνος δ' ἀ γίνετ' αὐτῶν,
" Οὐδὲ πολὺ φθινύθουσι· θεαὶ δ' ἐπιποιμένες εἰσὶν,
" Νύμφαι ἐϋπλόκαμοι, Φαέθουσά τε, Λαμπετίη τε,
" Ἃς τέκεν Ἠελίῳ Ὑπερίονι δῖα Νέαιρα.
" Τὰς μὲν ἄρα θρέψασα, τεκοῦσά τε, πότνια μήτηρ,
" Θρινακίην ἐς νῆσον ἀπῴκισε τηλόθι ναίειν,
" Μῆλα φυλασσέμεναι πατρώϊα καὶ ἕλικας βοῦς.
" Τὰς εἰ μέν κ' ἀσινέας ἐάας, νόστου τε μέδηαι,
" Ἦ τ' ἂν ἔτ' εἰς Ἰθάκην, κακά περ πάσχοντες, ἵκοισθε·
" Εἰ δέ κε σίνηαι, τότε τοι τεκμαίρομ' ὄλεθρον
" Νηΐ τε, καὶ ἑτάροις· αὐτὸς δ' εἴπερ κεν ἀλύξεις,
" Ὀψὲ κακῶς νέεσθαι, ὀλέσας ἅπο πάντας ἑταίρους.
" Ὣς ἔφατ'· αὐτίκα δὲ χρυσόθρονος ἦλυθεν ἠώς.
" Ἡ μὲν ἔπειτ' ἀνὰ νῆσον ἀπέσχετο δῖα θεάων·

123 ΤΟ. Τοσσαύτας. ΕΛ. Λαῶν.
124 ΒΩ. Μέγα βοᾶν, ἐπικαλεῖται. ΚΡΑ. Κραταιὰς καλεῖται ἡ μήτηρ τῆς Σκύλλας· μάχεται δὲ Ἑκάτῳ αὐτῷ καλέσαι.
127 ΘΡ. Νῆσον δὲ ὠκεανῷ ἱερὰν Ἡλίου.
129 ΕΠ. Ἀριστοτέλης φυσικῶς φησὶ λέγει δὲ τὰς καθ' ἡμέρας πεντήκοντα τῶν ταῦς τελακοσίαις. Λεκιανὸς δὲ, ὅτι Ἡλίου τὰς βόας, τὰ δὴ ἐγὼ ἤμαστε εἶναι συμβάλλομαι.
131 ΘΕ. Οὐ κωλύσιν αὐτὴν, εἰδῶσαι κολασθησομένους αὐτούς.
133 ΝΕ. Νεαίρα σύνεσιν ὁ Ἡλίου· ἐπειδὴ νέος ὁ θεός.
135 ΑΠ. Μετῴκισεν.
143 ΑΠ. Ἀπῆλ.

" Αὐτὰρ ἐγὼν ἐπὶ νῆα κιὼν, ὦτρυνον ἑταίρους,
" Αὐτούς τ' ἀμβαίνειν, ἀνά τε πρυμνήσια λῦσαι.
" Οἱ δ' αἶψ' ἐσέβαινον, ἕ ἐπὶ κληῖσι κάθιζον·
" Ἑξῆς δ' ἐζόμενοι, πολιὴν ἅλα τύπτον ἐρετμοῖς.
" Ἡμῖν δ' αὖ κατόπισθε νεὼς κυανοπρῴροιο
" Ἴκμενον ἦρον ἵει πλησίστιον, ἐσθλὸν ἑταῖρον,
" Κίρκη ἐϋπλόκαμος, δεινὴ θεὸς, αὐδήεσσα.
" Αὐτίκα δ' ὅπλα ἕκαστα πονησάμενοι κατὰ νῆα
" Ἥμεθα· τὼ δ' ἄνεμός τε, κυβερνήτης τ' ἴθυνον.
" Δὴ τότ' ἐγὼν ἑτάροισι μετηύδων, ἀχνύμενος κῆρ·
" Ὦ φίλοι, ἃ γὰρ χρὴ ἕνα ἴδμεναι, ἀμφὶ δύ' οἴους,
" Θέσφαθ', ἅ μοι Κίρκη μυθήσατο, δῖα θεάων·
" Ἀλλ' ἐρέω μὲν ἐγών, ἵνα εἰδότες, ἤ κε θάνωμεν,
" Ἦ κεν ἀλευάμενοι θάνατον καὶ κῆρα φύγοιμεν.
" Σειρήνων μὲν πρῶτον ἀνώγει θεσπεσιάων
" Φθόγγον ἀλεύασθαι, καὶ λειμῶν' ἀνθεμόεντα·
" Οἶον ἐμ' ἠνώγει ὄπ' ἀκοῦσαι· ἀλλά με δεσμῷ
" Δῆσαι ἐν ἀργαλέῳ, (ὄφρ' ἔμπεδον αὐτόθι μίμνω,)
" Ὀρθὸν ἐν ἰστοπέδῃ· αὐτὰρ κείρατ' ἀνῆφθω.
" Αἰ δέ κε λίσωμαι ὑμέας, λῦσαί τε κελεύω,
" Ὑμεῖς δὲ πλεόνεσσι τότ' ἐν δεσμοῖσι πιέζειν.
" Ἦτοι ἐγὼ τὰ ἕκαστα λέγων ἑτάροισι πίφαυσκον·
" Τόφρα δὲ καρπαλίμως ἐξίκετο νηῦς εὐεργὴς
" Νῆσον Σειρηΐοιιν· ἔπειγε γὰρ οὖρος ἀπήμων.

157 ΑΛ. Ἐκκλίναντες.
158 ΘΕ. Θεῖα φθεγξομένων.
160 ΟΙ. Ἵνα πεῖρα μάθῃ, ὅτι ἀληθεύει, καὶ ἄλλως ἰδεῖ τινὰ ἆναγ τὸ μηνύσοντα, ὅτι οὐκ ἔτι ἐξακούονται αἱ Σειρῆνες.
164 ΠΙ. Σωσθεσμεῖν.
165 ΠΙ. Πρυμνήσιον, ἀσφαλισάμενον, ἀσφίλεγον.
166 ΕΞ. Περιγένηται, ἴφθιμοι. ΕΥ. Καλῶς ἀρχασμένη.

" Αὐτίκ

" Αὐτίκ' ἔπειτ' ἄνεμος μὲν ἐπαύσατο, ἠδὲ γαλήνη
" Ἔπλετο νωνεμίη, κοίμησε δὲ κύματα δαίμων.
" Ἀνστάντες δ' ἕταροι νέος ἱστία μηρύσαντο,
" Καὶ τὰ μὲν ἐν νηῒ γλαφυρῇ βάλον· οἱ δ' ἐπ' ἐρετμὰ
" Ἑζόμενοι, λεύκαινον ὕδωρ ξεστῆς ἐλάτῃσιν.
" Αὐτὰρ ἐγὼ κηρὸν μέγαν τροχὸν ὀξεῖ χαλκῷ
" Τυθὰς διαμήσας, χερσὶ σιδαρῇσι πέζων·
" Αἶψα δ' ἰαίνετο κηρὸς, ἐπεὶ κέλετο μεγάλη ἶς,
" Ἠελίου τ' αὐγὴ, Ὑπερμονίδαο ἄνακτος·
" Ἐξείης δ' ἑτάροισιν ἐπ' ὄατα πᾶσιν ἄλειψα.
" Οἱ δ' ἐν νηῒ μ' ἔδησαν ὁμῶ χεῖράς τε, πόδας τε,
" Ὀρθὸν ἐν ἰστοπέδῃ, ἐκ δ' αὐτῶ πείρατ' ἀνῆψαν·
" Αὐτοὶ δ' ἑζόμενοι πολιὴν ἅλα τύπτον ἐρετμοῖς.
" Ἀλλ' ὅτε τόσσον ἀπῆμεν, ὅσσην τε γέγωνε βοήσας,
" Ῥίμφα διώκοντες, τάς δ' ὀ λάθεν ὠκύαλος νηῦς
" Ἐγγύθεν ὀρνυμένη· λιγυρὴν δ' ἔντυνον ἀοιδὴν·
" Δεῦρ' ἄγ' ἰών, πολύαιν' Ὀδυσεῦ, μέγα κῦδος Ἀχαιῶν,

168 ΑΥ. Ἐντεῦθεν Ἡσίοδος καὶ τὰς ἀνέμους αὐτὰς θέλγειν ἔφη.

169 ΚΟΙ. Ἴσως ἡ Κίρκη, ἵνα μὴ ἀπροφύλακτοι ὦσιν· ἢ Ποσειδῶν, ἵνα ἀκύσῃ.

170 ΜΗ. Σωίστειλαν ἀφ' τ κώλων.

171 ΒΑ. Καταθίντες δηλονότι τὸ κέρας.

172 ΛΕΥ. Κατὰ σωνεκδοχὴν, ἀντὶ ῦ, σωτόνως ἤριστον, ἀπὸ ῦ παρακλυθέντος· λούκαίνεται γὰρ ὑπὸ τ κωπῶν τὸ ὕδωρ ἀπὸ ῦ σφοδρῶς κωπηλατῆν. ΞΕ. Ταῖς ἀπὸ ἐλάτης δίνδρυ κατασκευασμέναις κώπαις.

174 ΤΥΤ. Ἀσὶ ῦ, ἀς μικρόν. ΣΤΙ. Ἰχυρᾶς, σπερᾶς. ΠΙ. Ἕτοι, Πίτζον, ἁμάλακτον.

175 ΙΑΙ. Ἐθερμαίνετο. ΚΕ. Ἐκέλευεν, ἠνάγκαζεν.

177 ΑΛ. Ἐνίφεσα.

179 ΑΝ. Ἐδίσμεν.

182 ΔΙ. Ἐλαύνοντες. ΩΚ. Ταχέως τὸ θάλασσαν ἀφαιρεσμένην.

183 ΕΓ. Ἐκ ῦ πλησίον. ΟΡ. Κινεμένη, πλέουσα. ΕΝ. Ἑτοίμαζον.

184 ΔΕΥΡ. Μαντικαί τινες αἱ Σειρῆνες, ὅθεν γνωρίζεσι τοὔνομα. πῶς ἄν, ὅτι σὺν ἀκούουσι, οὐ γνωρίζουσι; ὅπου οἷς ἂν μὴ ἐπιστεύσαν, σὺν ἴσασιν.

" Νῆα

" Νῆα κατάφησον, ἵνα νωϊτέρην ὅπ' ἀκόσῃς.
" Οὐ γάρ πώ τις τῇδε παρήλασε νηὶ μελαίνῃ,
" Πρίν γ' ἡμέων μελίγηρυν ἀπὸ στομάτων ὅπ' ἀκοῦσαι·
" Ἀλλ' ὅγε τερψάμενος νεῖται, καὶ πλείονα εἰδώς.
" Ἴδμεν γάρ τοι πάνθ', ὅσ' ἐνὶ Τροίῃ εὐρείῃ
" Ἀργεῖοι, Τρῶές τε, θεῶν ἰότητι μόγησαν·
" Ἴδμεν δ', ὅσσα γαίῃ ἐπὶ χθονὶ πουλυβοτείρῃ.
" Ὡς φάσαν, ἱεῖσαι ὄπα κάλλιμον· αὐτὰρ ἐμὸν κῆρ
" Ἤθελ' ἀκουέμεναι, λῦσαί τ' ἐκέλευον ἑταίρους,
" Ὀφρύσι νεύοντες· οἱ δὲ προπεσόντες ἔρεσσον·
" Αὐτίκα δ' ἀνστάντες Περιμήδης, Εὐρύλοχός τε,
" Πλείοσί μ' ἐν δεσμοῖσι δέον, μᾶλλόν τε πίεζον.
" Αὐτὰρ ἐπειδὴ τάς γε παρήλασεν, οὐδ' ἔτ' ἔπειτα
" Φθογγῆς Σειρήνων ἠκούομεν, οὐδέ τ' ἀοιδῆς,
" Αἶψ' ἀπὸ κηρὸν ἕλοντο ἐμοὶ ἐρίηρες ἑταῖροι,
" Ὅν σφιν ἐπ' ὠσὶν ἄλειψ', ἐμέ τ' ἐκ δεσμῶν ἀνέλυσαν.
" Ἀλλ' ὅτε δὴ τὴν νῆσον ἐλείπομεν, αὐτίκ' ἔπειτα
" Καπνὸν καὶ μέγα κῦμα ἴδον, καὶ δοῦπον ἄκουσα.
" Τῶν δ' ἄρα δειδιάντων ἐκ χειρῶν ἔπλατ' ἐρετμά.
" Βόμβησεν δ' ἄρα πάντα κατὰ ῥόον· ἔσχετο δ' αὐτοῦ
" Νηῦς, ἐπεὶ οὐκ ἔτ' ἐρετμὰ πεφυκέα χερσὶν ἔπειγον.
" Αὐτὰρ ἐγὼν, ἁλὶ νηὸς ἰών, ὤτρυνον ἑταίρους

185 ΚΑ. Καθέρμησον. ΝΩΙ. Τὼ ἡμιτέρων.
186 ΠΑ. Παρῆλθε.
187 ΜΕ. Ἡδεῖαν φωνήν.
188 ΤΕΡ. Τερφθεὶς, ἡδεῖς. ΝΕΙ. Ἀπέρχεται.
190 ΜΟ. Ἔκαμον, ἐκακοπάθησαν.
192 ΙΕΙ. Προφερόμβῳ.
193 ΑΥ. Μακαριεῖται τὴν ἡδονὴν, ὅτι ἐγκρατέστερον ἠπίστατο.
201 ΕΛ. Καπλεύσομεν, ἐάσαμεν.
202 ΚΑΠ. Εἰκῆ καπνὸν, ἢ ἡμέρα γὰρ ἐφαίνετο πῦρ.
203 ΕΠ. Ταχέως ἐξέπιπτον.
205 ΠΡΟ. Προέχοντα, καὶ πεπηγμένα τοῖς νηοῖς.

" Μειλιχίοις

" Μειλιχίοις ἐπέεσσι προσηυδων ἄνδρα ἕκαστον·
" Ὦ φίλοι, ἀ γάρ πώ τι κακῶν ἀδαήμονες εἰμέν.
" Οὐ μὲν δὴ τόδε μεῖζον ἔπι κακὸν, ἢ ὅτε Κύκλωψ
" Εἶλε ἐνὶ σπῆι γλαφυρῷ κρατερῇφι βίῃφιν·
" Ἀλλὰ κ᾽ ἔνθεν ἐμῇ ἀρετῇ, βουλῇ τε, νόῳ τε,
" Ἐκφύγομεν· καί πῃ τῶνδε μνήσεσθαι ὀΐω.
" Νῦν δ᾽ ἄγεθ᾽, ὡς ἂν ἐγὼν εἴπω, πειθώμεθα πάντες·
" Ὑμεῖς μέν κώπῃσιν ἁλὸς ῥηγμῖνα βαθεῖαν
" Τύπτετε, κληῖδεσσιν ἐφήμενοι, αἴκε πόθι Ζεὺς
" Δώῃ τόνδε γ᾽ ὄλεθρον ὑπεκφυγέειν κ᾽ ἀλύξαι.
" Σοὶ δὲ, κυβερνῆθ᾽, ὧδ᾽ ἐπιτέλλομαι, (ἀλλ᾽ ἐνὶ θυμῷ
" Βάλλεο, ἐπεὶ νηὸς γλαφυρῆς οἰήια νωμᾷς·)
" Τάτῃ μὲν καπνὸ καὶ κύματος ἐκτὸς ἔεργε
" Νῆα· σὺ δὲ σκοπέλῳ ἐπιμαίεο, μή σε λάθῃσι
" Κεῖσ᾽ ἐξορμήσασα, κ᾽ ἐς κακὸν ἅμμε βάλῃσθα.
" Ὣς ἐφάμην· οἱ δ᾽ ὦκα ἐμοῖς ἐπέεσσι πίθοντο.
" Σκύλλην δ᾽ οὐκέτ᾽ ἐμυθεόμην, ἄπρηκτον ἀνίην,
" Μήπως μοι δείσαντες ἀπολλήξειαν ἑταῖροι
" Εἰρεσίης, ἐντὸς δὲ πυκάζοιεν σφέας αὐτούς.
" Καὶ τότε δὴ Κίρκης μὲν ἐφημοσύνης ἀλεγεινῆς
" Λανθανόμην, ἐπεὶ ὄτι μ᾽ ἀνώγει θωρήσσεσθαι·
" Αὐτὰρ ἐγὼ καθαδὺς κλυτὰ τεύχεα, καὶ δύο δοῦρε

209 ΕΠ. Ἐπέρχει.
211 ΑΡ. Δωσάμεν.
214 ΡΗ. Νῦν, τὸ ἐπιπολάζον, παρὰ τὸ ῥήγνυσθαι ταῖς κώπαις.
215 ΚΛΗ. Ταῖς τῶν ἱερῶν καθέδραις. ΕΦ. Ἐπικαθήμενοι.
218 ΒΑΛ. Ἐγκαταθέσθαι. ΟΙ. Πηδάλια. ΝΩ. Κατίχας, φέρεις.
219 ΕΕΡ. Ἄπιχε.
220 ΕΠ. Ἐφάπτου.
221 ΒΑ. Ἐωσάλης.
223 ΕΜ. Ἔλιπον. ΑΠ. Οὐδὲ γὼ ἐκ ἔλυπῆσθαι ἠδυναύλου πτᾶξαι.
225 ΠΥ. Κρύπτοιεν.
226 ΕΦ. Ἐντολῆς.
227 ΛΑΝ. Νῶϊ, ἐκὼν ἀμέλων.
228 ΑΥ. Καὶ γὼ εἰ θεοὶ πτερώσειαν, κ᾽ ἄκων. ΚΑ. Ἐνδυσάμενοι.

" Μάχῃ

" Μάκρ' ἐν χερσὶν ἑλὼν, εἰς ἴκελα νηὸς ἔβαινον
" Πρώρης· ἔνθεν γάρ μιν ἐδέγμεθα πρῶται Φαίηκες 230
" Σκύλλην πετραίην, ἣ μοι φέρε πῆμ' ἑταίροισιν.
" Οὐδέ πη ἀθρῆσαι δυνάμην· ἔκαμον δέ μοι ὄσσε
" Πάντη παπταίνοντι πρὸς ἠερόεντα πέτρην.
" Ἡμεῖς δὲ στεινωπὸν ἀνεπλέομεν γοόωντες·
" Ἔνθεν μὲν γὰρ Σκύλλ', ἑτέρωθι δὲ δῖα Χάρυβδις 235
" Δεινὸν ἀνερροίβδησε θαλάσσης ἁλμυρὸν ὕδωρ.
" Ἦτοι ὅτ' ἐξεμέσειε, λέβης ὡς ἐν πυρὶ πολλῷ,
" Πᾶσ' ἀναμορμύρεσκε κυκωμένη, ὑψόσε δ' ἄχνη
" Ἀκροισι σκοπέλοισιν ἐπ' ἀμφοτέροισιν ἔπιπλεν.
" Ἀλλ' ὅτ' ἀναβρόξειε θαλάσσης ἁλμυρὸν ὕδωρ, 240
" Πᾶσ' ἔντοσθε φάνεσκε κυκωμένη· ἀμφὶ δὲ πέτρη
" Δεινὸν ἐβεβρύχει, ὑπένερθε δὲ γαῖα φάνεσκε
" Ψάμμῳ κυανέῃ· τὴν δὲ χλωρὸν δέος ᾕρει.
" Ἡμεῖς μὲν πρὸς πλοῦν ἴδομεν, δείσαντες ὄλεθρον.
" Τόφρα δέ μοι Σκύλλη γλαφυρῆς ἐκ νηὸς ἑταίρους 245
" Ἓξ ἔλεθ', οἱ χερσίν τε, βίηφί τε, φέρτεροι ἦσαν.
" Σκεψάμενος δ' ἐς νῆα θοὴν ἅμα καὶ μετ' ἑταίρους,
" Ἤδη τ' ἐνέησαν πόδας, καὶ χεῖρας ὕπερθεν,
" Ὑψόσ' ἀειρομένων· ἐμὲ δὲ φθέγξαντο καλεῦντες

229 ΕΒ. Ἐπίσαινον, ἰσάμιλω. ΙΚ. Τὰ καθαιρώματα τῆ νεώς.
232 ΑΘ. Ἰδεῖν, πάσασθαι. ΕΚ. Ἐκπίασαν.
234 ΣΤΕ. Σπιλὼ θάλασσαν. ΓΟ. Θρωσκόντες.
236 ΑΝ. Ἀνηκόντισεν.
237 ΕΞ. Ἐξεράσειεν. ΛΕ. Τὰ σὺν τῷ καθόλου χυόμενα περὶ Χάρυβδιν λέγει.
238 ΑΝ. Ἀνεδίδα, ἀνέζει.
240 ΑΝ. Ἀναπίοι, ἀναρροφήσειεν.
242 ΕΒ. Ἦχον ἐποίει.
244 ΙΔ. Νῶϊ, ἀπολίπομεν.
246 ΟΙ. Πάντες ἐπαινοῦμεν τοὺς τολμήσαντας.
247 ΣΚΕ. Ἐπιδὼν, πασάμενος.

" Ἐξονομακλήδην,

" Ἐξοιομακλήδην, τότε γ' ὕστατον, ἀχνύμενοι κῆρ.
" Ὡς δ' ὅτ' ἐπὶ πρυμνῷ ἁλιεὺς πρεμμήκεϊ ῥάβδῳ
" Ἰχθύσι τοῖς ὀλίγοισι δόλον κατὰ εἴδατα βάλλων,
" Ἐς πόντον πρεσίησι βοὸς κέρας ἀγραύλοιο,
" Ἀσπαίρονται δ' ἔπειτα λαβὼν ἔρριψε θύραζε·
" Ὡς οἵγ' ἀσπαίροντες ἀείροντο προτὶ πέτρας·
" Αὐτὰρ δ' εἰνὶ θύρῃσι κατήθιε κεκληγοντας,
" Χεῖρας ἐμοὶ ὀρέγοντας ἐν αἰνῇ δηιστῆτι.
" Οἰκτιστον δὴ κεῖνο ἐμοῖς ἴδον ὀφθαλμοῖσιν
" Πάντων, ὅσσ' ἐμόγησα, πόρος ἁλὸς ἐξερεείνων.
" Αὐτὰρ ἐπεὶ πέτρας φύγομεν, δεινήν τε Χάρυβδιν,
" Σκύλλην τ', αὐτίκ' ἔπειτα θεὸς ἐς ἀμύμονα νῆσον
" Ἱκόμεθ'· ἔνθα δ' ἔπειτα καλαὶ βόες εὐρυμέτωποι,
" Πολλὰ δὲ ἴφια μῆλ' Ὑπερίονος Ἠελίοιο.
" Δὴ τότ' ἐγὼν, ἔτι πόντῳ ἐὼν ἐν νηὶ μελαίνῃ,
" Μυκηθμῷ τ' ἤκουσα βοῶν αὐλιζομένάων,
" Οἰῶν τε βληχήν· καί μοι ἔπος ἔμπεσε θυμῷ
" Μάντιος ἀλαοῦ, Θηβαίου Τειρεσίαο,
" Κίρκης τ' Αἰαίης, ἥ μοι μάλα πόλλ' ἐπέτελλε,
" Νῆσον ἀλευάσθ τερψιμβρότου Ἠελίοιο.

251 ΠΡΟ. Προσοίσθημίην πίτρα· ἢ τόπῳ ἐξίχοντι.

252 ΟΛΙ. Τοῖς μικροῖς τὰς μιγάλας κωκηγῆσι.

253 ΠΡΟ. Προσελάβ. ΚΕ. Ἤτοι τῷ τείχα λίχ, ἢ τὸ ἐπικάμενον τῇ ὁρμιᾷ κέρας· ἐπὶ κέρατι δὲ ἡ ὁρμία πείχ κρεμαμένη. καὶ ἀνιλκομένη· ἐώθασι δὲ οἱ ἁλιῆς μεταξὺ δ' ἀγκίστρα, καὶ τῆς ἀπάρτης, κέρας βόειον προσάπτειν, ἵνα καταπίοντες τὸ ἄγκιστρον οἱ ἰχθύες, μὴ πρώτως τῷ ἀπάρτῃ.

254 ΑΣ. Σκαμίζοντα.

257 ΟΡ. Ἐκτείνοντας. ΔΗ. Νῶ, ἐν τῇ δεινῷ παραγραμ.

259 ΠΟ. Ῥύμα. ΕΠ. Ἐξ-ρύτην, διεκχομβρ.

265 ΜΥ. Τῆς τ' βοῶν φωνῆς. ΑΥ. Εἰς κριτὴν παραγινομένων.

266 ΒΛΗ. Βληχὴ, ἡ τ' προβάτων φωνή. ΕΜ. Ἐπεισῆλθεν.

267 ΜΑΝ. Μάντιος. ΑΛ. Τυφλοῦ.

268 ΕΠ. Ἐντέλλοντο, προστάττον.

269 ΑΛ. Ἐκκλίναι, φυλάξασθαι. ΤΕΡ. Τέρποντα· τὰς βρετας.

" Δὴ τότ' ἐγὼν ἑτάροισι μετηύδων, ἀχνύμενος κῆρ·
" Κέκλυτέ μοῦ μύθων, κακά περ πάσχοντες, ἑταῖροι,
" Ὄφρ' ὑμῖν εἴπω μαντήια Τειρεσίαο,
" Κίρκης τ' Αἰαίης, ἥ μοι μάλα πολλ' ἐπέτελλε,
" Νῆσον ἀλιδύαδε τερψιμβρότου Ἠελίοιο·
" Ἔνθα γὰρ αἰνότατον κακὸν ἔμμεναι ἄμμιν ἔφασκεν.
" Ἀλλὰ παρὲξ τὴν νῆσον ἐλαύνετε νῆα μέλαιναν.
" Ὣς ἐφάμην· τοῖσιν δὲ κατεκλάσθη φίλον ἦτορ.
" Αὐτίκα δ' Εὐρύλοχος συνερῷ μ' ἠμείβετο μύθῳ·
" Σχέτλιος εἶς, Ὀδυσεῦ· περί τοι μέλος, ἠδέ τι γίγα
" Κάμνεις· ἦ ῥά νυ σοί γε σιδήρεα πάντα τέτυκται,
" Ὅς ῥ' ἑτάρους, καμάτῳ ἀδηκότας, ἠδὲ καὶ ὕπνῳ,
" Οὐκ ἐάας γαίης ἐπιβήμεναι· ἔνθά κεν αὖτε
" Νήσῳ ἐν ἀμφιρύτῃ λαρὸν τετυκοίμεθα δόρπον·
" Ἀλλ' αὔτως ἅλα νύκτα θοὴν ἀλάλησθαι ἄνωγας,
" Νήσου ἀποπλαγχθέντας ἐν ἠεροειδέϊ πόντῳ.
" Ἐκ νυκτῶν δ' ἄνεμοι χαλεποὶ, δηλήματα νηῶν,
" Γίνονται· πῇ κέν τις ὑπεκφύγοι αἰπὺν ὄλεθρον,
" Ἤν πως ἐξαπίνης ἔλθῃ ἀνέμοιο θύελλα,
" Ἢ Νότου, ἢ Ζεφύροιο δυσαέος, οἵ τε μάλιστα
" Νῆα ἅλαδε ῥαίουσι, θεῶν ἀέκητι ἀνάκτων;
" Ἀλλ' ἤτοι νῦν μὲν πειθώμεθα νυκτὶ μελαίνῃ,
" Δόρπον θ' ὁπλισόμεθα, θοὴ παρὰ νηὶ μιμνοντες·

272 ΜΑΝ. Τὰς μανίας.
276 ΠΑ. Παρεκτός.
278 ΠΕ. Περιστὴ σοι δύναμις.
281 ΑΔ. Κεκμηκότας, κεκμηοτας.
282 ΕΑ. Οὐ συγχωρεῖς. ΕΠ. Ἐπισθῆναι, σθῆναι.
283 ΤΕ. Παρασκευάσαιμεν.
284 ΑΛ. Πλαγχθῆσθαι. ΑΝ. Κιλινεις.
286 ΔΗ. Βλάψαι.
289 ΔΥ. Σφοδρῶς πνέοντα.
290 ΔΙ. Διαφθείρωσι.
292 ΟΠ. Παρασκευάσωμεν.

" Ἠῶθεν

" Ἠῶθεν δ' ἀναβάντες ἐνήσομεν εὐρεῖ πόντῳ.
" Ὣς ἔφατ' Εὐρύλοχος· ὄπτὶ δ' ἤνεον ἄλλοι ἑταῖροι.
" Καὶ τότε δὴ γίνωσκον, ὃ δὴ κακὰ μήδετο δαίμων·
" Καί μιν Φωνήσας ἔπεα πτερόεντα προσηύδων·
" Εὐρύλοχ', ἦ μάλα δή με βιάζετε μοῦνον ἐόντα·
" Ἀλλ' ἄγε νῦν μοι πάντες ὀμόσσατε καρτερὸν ὅρκον,
" Εἴ κέ τιν' ἠὲ βοῶν ἀγέλην, ἢ πῶϋ μέγ' οἰῶν
" Εὕρωμεν, μήπτε τις, ἀταθαλίῃσι κακῇσιν,
" Ἢ βοῦν, ἢ ἔτι μῆλον, ἀποκτάνῃ· ἀλλὰ ἕκηλοι
" Ἐδθίετε βρῶμην, τὴν ἀθανάτη πόρε Κίρκη.
" Ὣς ἐφάμην· οἱ δ' αὐτίκ' ἀπώμνυον, ὡς ἐκέλευον.
" Αὐτὰρ ἐπεὶ ῥ' ὄμοσάν τε, τελεύτησάν τε τ' ὅρκον,
" Στήσαμεν ἐν λιμνῇ γλαφυρῷ εὐεργέα νῆα,
" Ἄγχι' ὕδατος γλυκεροῖο· κὴ ἐξαπέβησαν ἑταῖροι
" Νηὸς, ἔπειτα δὲ δόρπον ἐπιστάμενως τετύκοντο.
" Αὐτὰρ ἐπεὶ πόσιος κὴ ἐδητύος ἐξ ἔρον ἦντο,
" Μνησάμενοι δὴ ἔπειτα φίλως ἔκλαιον ἑταίρως,
" Οὓς ἔφαγε Σκύλλη, γλαφυρῆς ἐκ νηὸς ἑλοῦσα·
" Κλαιόντεσσι δὲ τοῖσιν ἐπήλυθε νήδυμος ὕπνος.
" Ἧμος δ' τρίτα νυκτὸς ἔην, μετὰ δ' ἄστρα βεβήκει,
" Ὦρσεν ἐπὶ ζαὴν ἄνεμον νεφεληγερέτα Ζεὺς
" Λαίλαπι θεσπεσίῃ, σὺν δὲ νεφέεσσι κάλυψε
" Γαῖαν ὁμοῦ καὶ πόντον· ὀρώρει δ' ἐξ οὐρανόθεν νύξ.
" Ἧμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠώς,

293 EN. Καθελκύσομεν.
295 O. Ὅπ δή.
297 BI. Βιάζεσθε.
306 EΞ. Ἐξῆλθον.
309 MNH. Ὑπομνήσαντες.
312 TPI. Ἤτοι τρία μέρη, ἢ τρίτον μέρος τῆς νυκτός.
313 ZA. Σφοδρῶς πνέοντα.
314 ΛAI. Ὑετῷ, μετὰ ἀνέμων.

" Νῆα μὲν ὡρμίσαμεν, κοῖλον πρὸς εἰσερύσαντες·
" Ἔνθα δ' ἔσαν Νυμφέων καλαὶ χοροὶ, ἠδὲ θόωκοι.
" Καὶ τότ' ἐγὼν ἀγορὴν θέμενος, μετὰ μῦθον ἔειπον·
" Ὦ φίλοι, ἐν γὰρ νηῒ θοῇ βρῶσίς τε, πόσις τε,
" Ἔστιν, τῶν δὲ βοῶν ἀπεχώμεθα, μή τι πάθωμεν·
" Δειναὶ γὰρ θεοὶ αἵδε βόες καὶ ἴφια μῆλα,
" Ἠελίῳ, ὃς πάντ' ἐφορᾷ καὶ πάντ' ἐπακούει.
" Ὡς ἐφάμην· τοῖσιν δ' ἐπεπείθετο θυμὸς ἀγήνωρ.
" Μῆνα μὲν πάντ' ἄλληκτος ἔπη Νότος, οὐδέ τις ἄλλος
" Γίνετ' ἔπειτ' ἀνέμων, εἰ μὴ Εὖρός τε, Νότος τε.
" Οἱ δὲ, ἕως μὲν σῖτον ἔχον καὶ οἶνον ἐρυθρὸν,
" Τόφρα βοῶν ἀπέχοντο, λιλαιόμενοι βιότοιο·
" Ἀλλ' ὅτε δὴ νηὸς ἐξέφθιτο πάντα τὰ σῖτα,
" Καὶ δὴ ἄγρην ἐφέπεσκον ἀλητεύοντες ἀνάγκῃ,
" Ἰχθῦς, ὄρνιθάς τε, φίλας ὅ, τι χεῖρας ἵκοιτο,
" Γναμπτοῖς ἀγκίστροισιν· ἔτειρε γὰρ λαστέα λιμός.
" Δὴ τότ' ἐγὼν ἀνὰ νῆσον ἀπέστιχον, ὄφρα θεοῖσιν
" Εὐξαίμην, εἴτις μοι ὁδὸν φήνειε νέεσθαι.
" Ἀλλ' ὅτε δὴ ᾗ κατὰ νῆσον ἰὼν ἧλυθα ἑταίρους,
" Χεῖρας νιψάμενος, ὅθ' ἐπὶ σκέπας ἦν ἀνέμοιο,
" Ἠρώμην πάντεσσι θεοῖς, οἳ Ὄλυμπον ἔχουσιν·
" Οἱ δ' ἄρα μοι γλυκὺν ὕπνον ἐπὶ βλεφάροισιν ἔχυναν.

317 ΩΡ. Ἔνισι, ἀρμήσαμεν. Ἐνωλκήσαμεν.
318 ΘΟ. Καθέδρας.
321 ΑΠ. Ἀποσχώμεθα.
322 ΔΕΙ. Δέκης καὶ τιμῆς ἀξίη.
325 ΑΛ. Ἀκηλέπαυστος. ΑΗ. Ἔπνεεν.
329 ΗΙ. Βρώματα, δηλονότι.
330 ΕΦ. Ἐνήργουν. ΑΛ. Πλανώμενοι.
334 ΦΗ. Δήξειν.
335 ΗΛ. Ἐξέκλινα, ἐκτὸς ὄψεως αὐτῶν ἐχόμην.
336 ΣΚΕ. Ἔνθα ἦν σκέπη ὥστε τὸ μὴ ἀπομίζεσθαι.
337 ΗΡ. Ηὐχόμην.

" Εὐρύλοχος

" Εὐρύλοχος δ' ἑταίροισι κακῆς ἐξήρχετο βουλῆς·
" Κέκλυτέ μοῦ μύθων, κακά περ πάσχοντες, ἑταῖροι·
" Πάντες μὲν συγεροὶ θάνατον δειλοῖσι βροτοῖσι,
" Λιμῷ δ' οἰκτίστην θανέειν καὶ πότμον ἀπαπτῆν.
" Ἀλλ' ἄγετ', Ἠελίοιο βοῶν ἐλάσαντες ἀρίστας,
" Ῥέξομεν ἀθανάτοισι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν.
" Εἰ δέ κεν εἰς Ἰθάκην ἀφικοίμεθα, πατρίδα γαῖαν,
" Αἶψά κεν Ἠελίῳ Ὑπερίονι τῶνα νηὸν
" Τεύξομεν, ἔνθά κε θεῖμεν ἀγάλματα πολλὰ καὶ ἐσθλά·
" Εἰ δὲ χολωσάμενός τι βοῶν ὠκυπόρων,
" Νῆ' ἐθέλῃ ὀλέσαι, ἐπὶ δ' ἕσπωνται θεοὶ ἄλλοι,
" Βούλομ' ἅπαξ πρὸς κῦμα χανὼν ἀπὸ θυμὸν ὀλέσαι,
" Ἢ δηθὰ στυγεραῖς, ἐὼν ἐν νήσῳ ἐρήμῃ.
" Ὣς ἔφατ' Εὐρύλοχος· ἐπὶ δ' ἤνεον ἄλλοι ἑταῖροι.
" Αὐτίκα δ' Ἠελίοιο βοῶν ἐλάσαντες ἀρίστας
" Ἐγγύθεν, (ἀγὴ γὰρ πλὴν νέος κυανοπεώροις
" Βοσκέσκονθ' ἕλικες καλαὶ βόες, εὐρυμετώποι,)
" Τὰς δὲ περιστήσαντο, καὶ εὐχετόωντο θεοῖσι,
" Φύλλα δρεψάμενοι τέρενα δρυὸς ὑψικόμοιο·
" Οὐ γὰρ ἔχον κρῖ λευκὸν ἐυστέλμου ἐπὶ νηός.
" Αὐτὰρ ἐπεί ῥ' εὔξαντο, καὶ ἔσφαξαν, καὶ ἔδειραν,
" Μηρούς τ' ἐξέταμον, κατά τε κνίσῃ ἐκάλυψαν,
" Δίπτυχα πιήσαντες, ἐπ' αὐτῶν δ' ὠμοθέτησαν·

339 ΕΞ. Ἐξηκοῦτο.
341 ΣΤΥ. Μισητοί.
343 ΕΛ. Ἀπιλάσαντες.
344 ΡΕ. Θύσεμεν.
347 ΘΕΙ. Ἀνακθῶμεν.
349 ΕΣ. Ἀκλεθήσουσιν.
351 ΣΤΡΕΥ. Κατὰ στάχυς, ὅ ἐστι κατ' ὀλίγον, ὑποῤῥεῖν.
355 ΒΟ. Ἐοίσκοντο.
356 ΤΑΣ. Ταύτας δέ.
357 ΔΡΕ. Λακοίμβοι. ΕΡ. Σκιφανοπάμβοι.

" Οὐδ'

" Οὐδ' ἔιχον μέθυ λεῖψαι ἐπ' αἰθομένοις ἱεροῖσιν,
" Ἀλλ' ὕδατι ἀσπένδοντες ἐπώπιων ἔγκαλα πάντα.
" Αὐτὰρ ἐπεὶ κατὰ μῆρ' ἐκάη, καὶ ἀπλάγχν' ἐπάσαντο,
" Μίσυλλόν τ' ἄρα τ' ἄλλα, καὶ ἀμφ' ὀβελοῖσιν ἔπειραν·
" Καὶ τότε μοι βλεφάρων ἐξέαστο νήδυμος ὕπνος·
" Βλῶν δ' ἰέναι ἐπὶ νῆα θοὴν καὶ θῖνα θαλάσσης.
" Ἀλλ' ὅτε δὴ ᾠχεδον ἦα κιὼν νεὸς ἀμφιελίσσης,
" Καὶ τότε με κνίσσης ἀμφ' ἤλυθεν ἡδὺς ἀϋτμή·
" Οἰμώξας δὲ θεοῖσι μετ' ἀθανάτοισι γεγώνδν·
" Ζεῦ πάτερ, ἠδ' ἄλλοι μάκαρες θεοὶ, αἰὲν ἐόντες,
" Ἦ με μάλ' εἰς ἄτλω κοιμήσατε νηλεῖ ὕπνῳ·
" Οἱ δ' ἔταροι μέγα ἔργον ἐμητίσαντο μθόντες.
" Ὠκέα δ' Ἠελίῳ Ὑπερίονι ἄγγελος ἦλθε
" Λαμπετίη τανύπεπλος, ὅ οἱ βόας ἔκτα ν ἑταῖροι.
" Αὐτίκα δ' ἀθανάτοισι μετηύδα, χωόμενος κῆρ·
" Ζεῦ πάτερ, ἠδ' ἄλλοι μάκαρες θεοὶ, αἰὲν ἐόντες,
" Τίσατ δὴ ἑτάρυς Λαερτιάδεω Ὀδυσῆος,
" Οἵ μευ βοῦς ἔκτειναν ὑπέρβιον· ἦσιν ἔγωγε
" Χαίρεσκον μὲν ἰὼν εἰς ἠρανὸν ἀστερόεντα,
" Ἠδ' ὁπότ' ἂψ ἐπὶ γαῖαν ἀπ' ἠρανόθεν πεσοτραπέμην.
" Εἰ δέ μοι ἀ τίσουσι βοῶν ἐπιεικέ' ἀμοιβὴν,
" Δύσομαι εἰς Ἀΐδαο, καὶ ἐν νεκύεσσι φαείνω.
" Τὸν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεὺς·

362 ΛΕΙ. Σπεῖσαι.
369 ΑΜ. Περιῆλθεν.
374 ΩΚ. Πῶς ὁ πάντα ἐφορῶν, οὐκ οἶδε πάντα; ὁρᾷ, ἀλλ' οὐχ ὑπὸ τὸ αὐτό.
378 ΤΙ. Τιμωρῆσαι.
380 ΧΑΙ. Ἔχαιρον.
381 ΠΡΟ. Μεταβάλλομαι, ἀπακλίνω.
382 ΤΙΣ. Ἀποδώσουσιν. ΑΜ. Τιμωρίαν. ΕΠ. Προσήκουσιν.
383 ΔΥ. Ἀπολύσομαι. ΦΑ. Φαιῶ, λάμψω.

" Ἥλι',

" Ἠέλι', ἦτοι μὲν σὺ μετ' ἀθανάτοισι φάεινε,
" Καὶ θνητοῖσι βροτοῖσιν, ἐπὶ ζείδωρον ἄρουραν·
" Τῷ δέ κ' ἐγὼ τάχα νῆα θοὴν ἀρήρτι κεραυνῷ
" Τυτθὰ βαλὼν κεάσαιμι, μέσῳ ἐνὶ οἴνοπι πόντῳ.
" Ταῦτα δ' ἐγὼν ἤκουσα Καλυψοῦς ἠϋκόμοιο·
" Ἡ δ' ἔφη Ἑρμείαο Διακτόρου αὐτὴ ἀκούειν.
" Αὐτὰρ ἐπεί ῥ' ἐπὶ νῆα κατήλυθον ἠδὲ θάλασσαν,
" Νείκεον ἄλλοθεν ἄλλον ἐπισταδὸν, ἐκ δέ τι μῆχος
" Εὑρέμεθα· διὰ γὰρ δὴ βόες δ' ἀποτέθνασαν ἦδη.
" Τοῖσιν δ' αὐτίκ' ἔπειτα θεοὶ τέρατα πρὸ φαινον·
" Εἶρπον μὲν ῥινοὶ, κρέα δ' ἀμφ' ὀβελοῖς ἐμεμύκει,
" Ὀπταλέα τε χὴ ὠμά· βοῶν δ' ὡς γίνετο φωνή.
" Ἑξῆμαρ μὲν ἔπειτα ἐμοὶ ἑρίηρες ἑταῖροι
" Δαίνυντ', Ἠελίοιο βοῶν ἐλάσαντες ἐρίτιμους·
" Ἀλλ' ὅτ' ἄρ' ἕβδομον ἦμαρ ἐπὶ Ζεὺς ἦκε Κρονίων,
" Καὶ τότ' ἔπειτ' ἄνεμος μὲν ἐπαύσατο λαίλαπι θύων·
" Ἡμεῖς δ' αἶψ' ἀναβάντες ἐνήκαμεν εὐρεῖ πόντῳ,
" Ἱστὸν σησάμενοι, ἀνὰ δ' ἱστία λεύκ' ἐρύσαντες.
" Ἀλλ' ὅτε δὴ τὴ νῆσον ἐλείπομεν, οὐδέ τις ἄλλη
" Φαίνετο γαιάων, ἀλλ' οὐρανὸς, ἠδὲ θάλασσα,
" Δὴ τότε κυανέην νεφέλην ἔστησε Κρονίων
" Νηὸς ὑπὲρ γλαφυρῆς· ἦχλυσε δὲ πόντος ὑπ' αὐτῆς.

387 ΑΡ. Λοιμὸν, ἢ πφρώδη.
388 ΚΕ. Σχίσαιμι, ἢ κρούσαιμι.
391 ΚΑ. Κατῆλθον, παρεγβοώμην.
392 ΝΕΙ. Ἐκακολόγουν. ΕΠ. Ἐφιστῶτες.
393 ΔΥ. Ἠδυνάμεθα. ΑΠ. Ἀποθανόντες ἦσαν.
394 ΤΕ. Σημεῖα. ΠΡΟΥ. Προεσήμαινον, ἐδείκνυον.
395 ΕΙΡ. Ἐκινοῦντο, ἐσάλευον. ΕΜΕ. Μυκηθμῷ ὅμοιον ἦχον ἀπέλυον.
397 ΕΗ. Ἐπὶ ἓξ ἡμέρας.
398 ΕΛ. Ἀπελάσαντες.
401 ΕΝ. Ἐπισάλπομεν.
406 ΗΧ. Ἀχλυῖ καὶ σκότῳ πεπιαλήφει, ἐπληρώθη.

" Ἡ δ'

" Ἡ δ' ἔβη ὰ μάλα πολλὸν ἐπὶ χρόνον· αὖψα γὰ ἦλθε
" Κεκληγὼς Ζέφυρος, μεγάλῃ σὺν λαίλαπι θύων·
" Ἰσᾶ δὲ πρωτόνυς ἔρριξ' ἀνέμοιο θύελλα
" Ἀμφοτέρας· ἰσὸς δ' ὀπίσω πέσεν, ὅπλά τε πάντα
" Εἰς ἄντλον κατέχωθ'· ὁ δ' ἄρα πρύμνῃ ἐνὶ νηῒ
" Πλῆξε κυβερνήτεω κεφαλὴν, σὺν δ' ὀξὺ ἄραξε
" Πάντ' ἄμυδις κεφαλῆς· ὁ δ' ἄρ' ἀργαλέῳ ἐνοσφίσατο ἐσικὼς
" Κάππεσ' ἀπ' ἰκριόφιν, λίπε δ' ὀξέα θυμὸς ἀγήνωρ.
" Ζεὺς δ' ἄμυδις βρόντησε, καὶ ἔμβαλε νηῒ κεραυνόν·
" Ἡ δ' ἐλελίχθη πᾶσα, Διὸς πληγεῖσα κεραυνῷ,
" Ἐν δὲ θεείῳ πλῆτο· πέσον δ' ἐκ νηὸς ἑταῖροι.
" Οἱ δὲ κορώνῃσιν ἴκελοι περὶ νῆα μέλαιναν
" Κύμασιν ἐμφορέοντο· θεὸς δ' ἀπανάυτο νόστου.
" Αὐτὰρ ἐγὼ διὰ νηὸς ἐφοίτων, ὄφρ' ἀπὸ τοίχου
" Λῦσε κλύδων τρόπιος· τὴν δὲ ψιλὴν φέρε κῦμα.
" Ἐκ δέ οἱ ἰσὸν ἔαξε ποτὶ τρόπιν· αὐτὰρ ἐπ' αὐτῷ
" Ἐπίτονος βέβλητο, βοὸς ῥινοῖο τετυγχώς.
" Τῷ ῥ' ἄμφω σύνεργον ὁμῶ τρόπιν, ἠδὲ ἱστόν·
" Ἑζόμενος δ' ἐπὶ τοῖς, φερόμην ὀλοοῖς ἀνέμοισιν.

407 ΕΘ. Ἔτρεχεν.
408 ΚΕ. Μεγάλως ἀνεπιτρέπων.
409 ΠΡΟ. Τὰ χοιρία, τὰ κατίσχοντα τὴν ἰσὸν.
411 ΑΝ. Τῷ ἀντλίαι, εἰς ἣν ἐγχίεται τὸ καταπιζόμενον εἰς τὸν ναῦν ὕδωρ. ΚΑ. Ἄφρους ἔπεσεν.
412 ΑΡ. Σωϊτερίψιν.
413 ΑΡ. Κυβερνητῆρα, ὀρχηστῆ.
414 ΙΚ. Τῶν σανιδωμάτων.
416 ΕΛ. Σωϊτιόθη.
417 ΘΕ. Θείῳ. Καπνιζόμενος ἢ εἰς τὸ πυρὸς κεραυνίᾳ.
419 ΑΠ. Ἀφηρῶτο.
420 ΕΦΟ. Περιέκειν.
421 ΛΥ. Διέλυσε. ΚΛΥ. Ὁ τῆς θαλάσσης πάροχθος. ΤΡΟ. Τρόπις, τὸ κατώτατον ξύλον, ἐπὶ ᾧ χίζεται τὸ κῦμα. ΨΙ. Μόνον, καθ' ἑαυτόν.
423 ΕΠ. Ἱμὰς, ἤτοι ὁ τῶν κεράτων δεσμὸς· ἢ ὁ ἱμὰς, ὁ τοῦ ἄκρου τοῦ ἱστοῦ, ὃν ἕλκουσι τὸ ἄρμενον ἀνέλκειν. ΒΕ. Ἐπίκειτο. ΤΕ. Καπνισθεὶς.
424 ΣΥ. Σωϊδίσμων.

" Ἔνθ'

" Ἔνθ' ἦτοι Ζέφυρος μὲν ἐπαύσατο λαίλαπι θύων·
" Ἦλθε δ' ἐπὶ Νότος ὦκα, φέρων ἐμῷ ἄλγεα θυμῷ,
" Ὄφρ' ἔτι τ' ὀλοὴν ἀναμετρήσαιμι Χάρυβδιν.
" Παννύχιος φερόμην· ἅμα δ' ἠελίῳ ἀνιόντι
" Ἦλθον ἐπὶ Σκύλλης σκόπελον, δεινήν τε Χάρυβδιν.
" Ἡ μὲν ἀνερροίβδησε θαλάσσης ἁλμυρὸν ὕδωρ·
" Αὐτὰρ ἐγὼ ποτὶ μακρὸν ἐρινεὸν ὑψόσ' ἀερθείς,
" Τῷ προσφὺς ἐχόμην, ὡς νυκτερὶς, ἁδέπη εἶχον
" Οὔτε σφριξαι ποσὶν ἔμπεδον, οὔτ' ἐπιβῆναι.
" Ῥίζαι γὰρ ἑκὰς ἦσαν, ἀπήωροι δ' ἔσαν ὄζοι,
" Μακροί τε, μεγάλαι τε, κατεσκίαον δὲ Χάρυβδιν.
" Νωλεμέως δ' ἐχόμην, ὄφρ' ἐξεμέσειεν ὀπίσω
" Ἰσὸν κῆρ τρόπιν αὖτις· ἐελδομένῳ δέ μοι ἦλθεν
" Ὄψ'· ἡμὸς δ' ἐπὶ δόρπον ἀνὴρ ἀγορῆθεν ἀνέρχη,
" Κρίνων νείκεα πολλὰ δικαζομένων αἰζηῶν,
" Τῆμος δὴ τάγε δῆρα Χαρύβδιος ἐξεφαάνθη.
" Ἧκα δ' ἐγὼ καθύπερθε ποδὰς καὶ χεῖρε φέρεσθαι,
" Μέσσῳ δ' ἐνδάπτουσι παρὲξ ταρσιμήκεα δοῦρα,
" Ἑζόμενος δ' ἐπὶ τοῖσι διήρεσα χερσὶν ἐμῇσι.
" Σκύλλην δ' οὐκ ἔτ' ἔασε πατὴρ ἀνδρῶν τε θεῶν τε

426 ΘΥ. Ὁρμᾶν.
428 ΑΝ. Διέλθοιμι, περίλθω.
429 ΑΝ. Ἀνίσχουσι, ἀνατέλλουσι.
433 ΠΡΟΣ. Προσπλακείς. ΝΥΚ. Εἶδος ὀρνέου.
434 ΣΤΗ. Στῆναι ἀσφαλῶς.
435 ΕΙ. Ἀντὶ Ϝ, ὑπῆρχον. ΑΠ. Ἦτοι ἀπηρτισμένοι· ἢ πολὺ ἀλλήλων διεστηκότες, οἷον πεπαυμένοι· ἢ ἀπὸ θεν.
436 ΚΑ. Καταπίπτειν.
437 ΕΞ. Ἐκφύγειν, ἀνασῶσαι.
439 ΔΟΡ. Ἐπὶ τὴν δαλιὴν ὥραν.
440 ΚΡΙ. Δικάζων.
442 ΗΚ. Ἀφῆκα.
443 ΔΟΥ. Πιτνὸν ψύχειν ἀπείλησεν. ΠΑ. Τὸ ὅλον, σὺν τοῖς μφορεῖ ξύλα.
444 ΔΙ. Ἀπασασάμην ταῖς χερσὶ τὸ ὕδωρ· ὥσπερ κάπας, ταῖς χερσὶ μου διεπεζάμεθα.

" Εἰσιδέειν· ὃ γάρ κεν ὑπέκφυγον αἰπὺν ὄλεθρον.
" Ἔνθεν δ' ἐννῆμαρ φερόμην· δεκάτῃ δέ με νυκτὶ
" Νῆσον ἐς Ὠγυγίην πέλασαν θεοί· ἔνθα Καλυψὼ
" Ναίῃ ἐϋπλόκαμος, δεινὴ θεὸς, αὐδήεσσα.
" Ἣ μ' ἐφίλῃ τ', ἐκόμειτε. Τί τοι τάδε μυθολογεύω; 450
" Ἤδη γάρ τοι χθιζὸς ἐμυθεόμην ἐνὶ οἴκῳ
" Σοί τε καὶ ἰφθίμῃ ἀλόχῳ· ἐχθρὸν δέ μοι ἐστὶν,
" Αὔτις ἀριζήλως ἐρημάδα μυθολογεύειν.

446 ΕΙ. Ἰδεῖν, σωτυχεῖν.
447 ΔΕ. Οὐ δεῖ ζητεῖν, πῶς Ἀθηνᾶς, Αὐταρ ἐγὼ θεός ἁμι, Ἀθανατὰς ἤ σε φυλάσσω Ἐν πάντεσσι πόνοισιν.
450 ΕΦ. Φιλικῶς ὑπεδέχετο. ΕΚ. Ἐπιμελείας ἠξίωσε. ΜΥ. Διηγεῖσθαι.
453 ΑΡ. Ἐκδήλως. ΕΙ. Τὰ ἤδη ῥηθέντα.

ΥΠΟΘΕΣΙΣ

ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΟΔΥΣΣΕΙΑΣ Ν

ΤΟΥ ΟΜΗΡΟΥ

ΡΑΨΩΔΙΑΣ.

Κοιμώμενον Ὀδυσσέα, μετὰ τῶν δώρων, ἐκπλέουσιν οἱ Φαίακες εἰς τὴν γῆν τῶν Ἰθακησίων· καὶ τὴν μὲν ναῦν αὐτῶν ὑποφέρουσαν, λίθον ποιεῖ Ποσειδῶν. Ἀθηνᾶ δὲ ἐπὶ τῇ αἰχμαλωσίᾳ Ὀδυσσεῖ συμβουλεύει περὶ τῆς μνηστροφονίας· καὶ τὰ χρήματα ἐν τινι σπηλαίῳ ἀποκρύπτει, καὶ εἰς γέροντα μεταμορφοῖ τὸν Ὀδυσσέα.

Νῦν, Ἰθάκης ἐπέβη, Φαίηκων πομπῇ, Ὀδυσεύς.

Ὡς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἀκὴν ἐγέγωντο σιωπῇ,
Κηληθμῷ δ' ἔχοντο κατὰ μέγαρα σκιόεντα.
Τὸν δ' αὖτ' Ἀλκίνοος ἀπαμείβετο, φώνησέν τε·
"Ὦ Ὀδυσεῦ, ἐπεὶ ἵκου ἐμὸν πρὸ χαλκεόδατες δῶ
"Ὑψερεφὲς, τῷ σ' ὄρτι παλιμπλαγχθέντα γ' οἴω 5
"Ἄψ ἀπονοσήσειν, εἰ δὲ μάλα πολλὰ πεπόνθας.
"Ὑμέων δ' ἀνδρὶ ἑκάστῳ ἐφιέμενος πάρος εἴρω,

2 ΚΗ. Τῇ δ' ἀκοῇ ἡδονῇ, θέλξει, τέρψει· κήλησις γάρ ἐστιν, ἡ δ' ᾠδῆς τέρψις, καὶ ἡδονή. Οἷον χαλάσεώς τις ἦσσα.

4 ΙΚ. Παρείσιν. ΧΑΛ. Ἤτοι χαλκῆν ἔδαφος ἔχον· ἢ χαλκῆς ἔχον τὰς βαθμὰς τῶν θυρῶν.

5 ΠΑ. Ὀπιθόρμενον χθιζόμενον.

6 ΑΠ. Ἐπανιλεύσεσθαι.

7 ΕΦ. Ἐκλλακατόμενον, συντελομένου. ΕΦ. Μετὰ εὐθυμίας πάσας λέγω.

"Ὅσσοι

" Ὅσσοι ἐνὶ μεγάροισι γεραίτερον αἴθοπα οἶνον
" Αἰεὶ πίνετ' ἐμοῖσιν, ἀκηράζεσθε δ' ἀοιδῇ·
" Εἵματα μὲν δὴ ξείνῳ εὐῶξεν ἐνὶ χηλῷ
" Κεῖται, ἠ χρυσὸς πολυδαίδαλος, ἄλλά τε πάντα
" Δῶρ', ὅσσ' Φαιήκων βουληφόροι ἐνθάδ' ἔνεικαν·
" Ἀλλ' ἄγε οἱ δῶμεν τρίποδα μέγαν, ἠδὲ λέβητα,
" Ἀνδρακάς· ἡμεῖς δ' αὖτις ἀγειρόμενοι κατὰ δῆμον
" Τισόμεθ'· ἀργαλέον γὰρ ἕνα πρήοσι χαρίσασθαι.

Ὣς ἔφατ' Ἀλκίνοος· τοῖσιν δ' ὑπιήνθανε μῦθος.
Οἱ μὲν κακκείοντες ἔβαν οἰκόνδε ἕκαστος.
Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠώς,
Νῆ' ἄρ' ἐπεσσεύοντο, φέρον δ' εὐήνορα χαλκόν·
Καὶ τὰ μὲν εὖ κατέθηκ' ἱερὸν μένος Ἀλκινόοιο,
Αὐτὸς ἰὼν ἁλὶ νηὸς ὑπὸ ζυγά, μή τιν' ἑταίρων
Βλάπτοι ἐλαυνόντων, ὁπότε πρηχοίατ' ἐρέτμοις.
Οἱ δ' εἰς Ἀλκινόοιο κίον, καὶ δαῖτ' ἀλέγυνον.
Τοῖσι δὲ βοῦν ἱέρευσ' ἱερὸν μένος Ἀλκινόοιο
Ζηνὶ κελαινεφέι Κρονίδῃ, ὃς πᾶσιν ἀνάσσει.
Μηρὰ δὲ κήαντες δαίνυντ' ἐρικυδέα δαῖτα

8 ΓΕ. Τὸν τοῖς ἐντίμοις διδόμενον.
9 ΑΚ. Ἀκροᾶσθε.
10 ΕΥ. Καλῶς ἐξεσμένη, καλῶς εἰρασμένη.
11 ΠΟ. Ὁ ποικίλος, ἢ μὴ τέχνης κατεσκευασμένος· ἢ εἰς τὸ δαιδάλλεσθαι ἢ ποικίλεσθαι εὔητος.
12 ΒΟΥ. Σωτοὶ, φρενητικοί. ΕΝ. Ἤνεγκεν.
14 ΑΝ. Καπὶ ἄνδρα. ΔΗ. Ἐκ τοῦ δήμου.
15 ΤΙ. Εἰσπραττόμεθα, ἢ ἀπολαμβάνομεθα. ΑΡ. Ἡ ποιητὴς γυνικὴ, ἀντὶ τοῦ ποιῆσαι· ὁ γὰρ νοῦς, Χαλεπὸν γὰρ καὶ ἀδύνατον, ἵνα δωρεὰν τοσαύτην χαρίσασθαι.
17 ΚΑΚ. Μίλωνες κοιμηθῆναι.
21 ΖΥ. Ὑπὸ τὰς καθέδρας τῶν ἑρετῶν.
22 ΒΛΑΠ. Ἐμποδίζοι. ΣΠΕΡ. Σπαδάζοιεν ταῖς κώπαις, ὅ ἐστι ταραττοίεν ἐλαύνοντες.
23 ΑΛ. Εὐτρέπιζον, κατεσκεύαζον.
26 ΚΕΙ. Καύσεσιν. ΕΡ. Μεγάλως ἐμόδξεν.

Τερπόμενοι·

Τερπόμενοι· μῖ δὲ σφιν ἐμέλπετο θεῖος ἀοιδὸς
Δημόδοκος, λαοῖσι τεθυμμένος· αὐτὰρ Ὀδυσσεὺς
Πολλὰ πρὸς ἠέλιον κεφαλὴν τρέπε παμφανόωντα,
Δῦναι ἐπειγόμενος· δὴ γὰρ μενέαινε νέεσθαι.
Ὡς δ' ὅτ' ἀνὴρ δόρποιο λιλαίεται, ᾧτε πανῆμαρ
Νειὸν ἀνελκήτην βόε οἰνοπε πηκτὸν ἄροτρον,
Ἀσπασίως δ' ἄρα τῷ κατέδυ φάος ἠελίοιο,
Δόρπον ἐποιχέσθ., βλάδεται δέ τε γούνατ' ἰόντι·
Ὡς Ὀδυσῆι ἀσπασὸν ἔδυ φάος ἠελίοιο.
Αἶψα δὲ Φαιήκεσσι φιληρέτμοισι μετηύδα,
Ἀλκινόῳ δὲ μάλιστα πιφαυσκόμενος φάτο μῦθον·
" Ἀλκίνοε κρεῖον, πάντων ἐριδείκετε λαῶν,
" Πέμπετέ με σπείσαντες ἀπήμονα· χαίρετε δ' αὐτοί·
" Ἤδη γὰρ τετέλεσται, ἃ μοι φίλος ἤθελε θυμὸς,
" Πομπή τ' φίλα δῶρα, τά μοι θεοὶ οὐρανίωνες
" Ὄλβια ποιήσειαν· ἀμύμονα δ' οἶκοι ἄκοιτιν
" Νοστήσας εὑροιμι, σὺν ἀρτεμέεσσι φίλοισιν.
" Ὑμεῖς δ' αὖθι μένοντες εὐφραίνοιτε γυναῖκας
" Κουριδίας, τέκνα· θεοὶ δ' ἀρετὴν ὀπίσειαν
" Παντοίην· καὶ μήτι κακὸν μεταδήμιον εἴη.
Ὡς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἐπήνεον, ἠδ' ἐκέλευον
Πεμπέμεναι τὸν ξεῖνον, ἐπεὶ κατὰ μοῖραν ἔειπεν.
Καὶ τότε κήρυκα προσέφη μῦθος Ἀλκινόοιο·

28 ΤΕ. Τεθυμμένος, τίμιος.
29 ΠΑΜ. Πᾶσι φαίνοντα.
30 ΜΕ. Ἐφρονίζει.
31 ΛΙ. Ἐπιθυμεῖ.
32 ΝΕΙ. Γῆν νενεασμένην. ΑΝ. Ἕλκωσιν. ΠΗ. Τὸ μὴ ἐξ αὐτῆ ἔχον τὸν γύλιν.
37 ΠΙ. Φανεροποιῶν.
40 ΤΕ. Πεπλήρωται.
42 ΟΛ. Εὐτυχῆ.
43 ΑΡ. Τχίσι καὶ πίστις.
45 ΚΟΥ. Τὰς ἐκ παιδιόθεν γεγαμημένας. ΑΡ. Εὐδαιμονίαν.
46 ΜΕ. Ἐνδημεῖν τῇ πόλει.

" Πουτάνοε,

" Ποντόνοε, κρητῆρα κεραασάμενος, μέθυ νεῖμον
" Πᾶσιν ἀνὰ μέγαρον· ὄφρ' εὐξάμενοι Διὶ πατρὶ,
" Τὸν ξεῖνον πέμπωμεν ἐὴν ἐς πατρίδα γαῖαν.
Ὣς φάτο· Ποντόνοος δὲ μελίφρονα οἶνον ἀκίρνα·
Νώμησεν δ' ἄρα πᾶσιν ὑπισχεδόν· οἱ δὲ θεοῖσιν
Ἐπειτεισαν μακάρεσσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν,
Αὐτόθεν ἐξ ἑδρέων· ἀνὰ δ' ἴστατο δῖος Ὀδυσεὺς,
Ἀρήτῃ δ' ἐν χερσὶ τίθη δέπας ἀμφικύπελλον,
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
" Χαῖρέ μοι, ὦ βασίλεια, διαμπερὲς, εἰσόκε γῆρας
" Ἔλθῃ, καὶ θάνατος, τά τ' ἐπ' ἀνθρώποισι τέλονται.
" Αὐτὰρ ἐγὼ νέομαι· σὺ δὲ τέρπεο τῷδ' ἐνὶ οἴκῳ,
" Παισί τε, καὶ λαοῖσι, καὶ Ἀλκινόῳ βασιλῆι.
Ὣς εἰπὼν, ὑπὲρ οὐδὸν ἐβήσετο δῖος Ὀδυσεύς.
Τῷ δ' ἅμα κήρυκα προίη μολὼς Ἀλκινόοιο,
Ἡγεῖσθαι ἐπὶ νῆα θοὴν, καὶ θῖνα θαλάσσης.
Ἀρήτη δ' ἄρα οἱ δμωὰς ἅμ' ἕπεμπε γυναῖκας·
Τὴν μὲν, φᾶρος ἔχουσαν ἐϋπλυνὲς, ἠδὲ χιτῶνα,
Τὴν δ' ἑτέρην, κηλὸν πυκινὴν ἅμ' ἕπεμπε κομίζειν·
Ἡ δ' ἄλλη σῖτόν τ' ἔφερεν, καὶ οἶνον ἐρυθρόν.
Αὐτὰρ ἐπεί ῥ' ἐπὶ νῆα κατήλυθον, ἠδὲ θάλασσαν,
Αἶψα τά γ' ἐν νηὶ γλαφυρῇ πομπῆες ἀγαυοὶ
Δεξάμενοι κατέθεντο, πόσιν καὶ βρῶσιν ἄπασαν.

54 ΕΠ. Ἐπισταμένως, ἐπισημόνως, ἐμπείρως· ἢ, ἐφισταμένος ἑκάστῳ.
56 ΕΔ. Τῶν καθεδρῶν.
59 ΔΙ. Διὶ ὅλῳ Ϝ βίῳ.
61 ΝΕ. Ἀπέρχομαι.
63 ΕΒ. Ἔοη, ἐπορεύθη.
67 ΕΥ. Καλῶς πλωθῆν, καθαρόν.
68 ΠΥ. Σπυρὸν. ΚΟ. Ἄγειν, φέρειν.
70 ΚΑ. Κατῆλθον.
72 ΠΟ. Ποτόν.

Κάδ δ'

Κάδ δ' ἄρ' Ὀδυσῆι σόρεσαν ῥῆγός τε, λίνον τε,
Νηὸς ἐπ' ἰκελόφιν γλαφυρῆς, (ἵνα νήχρετον εὖδοι,)
Πρύμνης· ἂν δὲ κὴ αὐτὸς ἐβήσετο, κὴ κατέλεκτο
Σιγῇ· τοὶ δὲ κάθιζον ὑπὲκ κληῖσιν ἕκαστος
Κόσμῳ· πεῖσμα δ' ἔλυσαν ἀπὸ τρητοῖο λίθοιο.
Ἔνθ' οἱ ἀνακλινθέντες ἀνερρίπτεον ἅλα πηδῷ·
Καὶ τῷ νήδυμος ὕπνος ἐπὶ βλεφάροισιν ἔπιπτε,
Νήχρετος, ἥδιστος, θανάτῳ ἄγχιστα ἐοικώς.
Ἡ δ', ὥς τ' ἐν πεδίῳ τετράοροι ἄρσενες ἵπποι,
Πάντες ἅμ' ὁρμηθέντες ὑπὸ πληγῇσιν ἰμάσθλης,
Ὑψόσ' ἀειρόμενοι, ῥίμφα πρήσσουσι κέλευθον·
Ὣς ἄρα τ' πρύμνη μὲν ἀείρετο, κῦμα δ' ὄπισθε
Πορφύρεον μέγα θῦε πολυφλοίσβοιο θαλάσσης.
Ἡ δὲ μάλ' ἀσφαλέως θέεν ἔμπεδον· οὐδέ κεν ἴρηξ
Κίρκος ὁμαρτήσειεν, ἐλαφρότατος πετεηνῶν.
Ὣς ἡ ῥίμφα θέουσα θαλάσσης κύματ' ἔταμνεν,
Ἄνδρα φέρουσα, θεοῖς ἐναλίγκια μήδε' ἔχοντα·
Ὃς πρὶν μὲν μάλα πολλὰ πάθ' ἄλγεα ὃν κατὰ θυμὸν,
Ἀνδρῶν τε πολέμους, ἀλεγεινά τε κύματα πείρων·
Δὴ τότε γ' ἀτρέμας εὖδε, λελασμένος οἷ' ἐπεπόνθη.

73 ΑΙ. Λιπλὸν ἱμάτιον.
74 ΙΚ. Ἐπὶ τ' κατιγμάτων. ΝΗ. Ἀνίχρειτον, βαθὺν, ἢ δι' ἡδονὴν βραδύν.
77 ΚΟΣ. Ἐν κόσμῳ, ἐν τάξει. ΠΕΙΣ. Τὸ λόγιμον χοινίον. ΤΡΗ. Εἰώθασιν ἐπὶ τ' λιμένων τυπᾶν τὰς λίθους.
78 ΑΝ. Ἀπὸ δ' παρακολυθοῦντος, ἀναῤῥίπτεται γὰρ ὑπὸ τ' κωπῶν τὸ ὕδωρ.
80 ΗΔ. Ἡδύτατος.
81 ΠΕ. Εὖ κίχρηται τῇ παρακολῇ. ὥσπερ γὰρ ἵπποι τρίχωλις ὰν τ' ὀπισθίων μερῶν διελκόντων, ὅταν κὴ ἡ ναῦς ἐλαυνομένη ὰν τ' πρύμνης καθίζηται. ΤΕ. Τέσσαρις ἵπποι ἐζευγμένοι. τετράοροι τὰ ο μικρόν.
82 ΙΜ. Μάσιγες.
83 ΑΕΙ. Ἐπαειρόμενοι, κουφιζόμενοι.
84 ΑΕΙ. Ἐπήρειτο, ὑψοῦτο.
87 ΚΙΡ. Ἴρηξ. ΟΜ. Ἀκολουθήσειεν.
88 ΕΤ. Ἐκπλεν.
92 ΕΠ. Ἔπαθεν, ὑπέστη.

Εὖτ'

Εὖτ' ἀστὴρ ὑπερέχε Φαάντατος, ὅς τε μάλιστα
Ἔρχεται ἀγγέλλων Φάος Ἠοῦς ἠριγενείης·
Τῆμος δὴ νήσῳ προσεπίλνατο ποντοπόρος νηῦς.
Φόρκυνος δέ τις ἐστὶ λιμὴν, ἁλίοιο γέροντος,
Ἐν δήμῳ Ἰθάκης· δύο δὲ προβλῆτες ἐν αὐτῷ
Ἀκταὶ ἀπορρῶγες, λιμένος πολυπευκέος ἁγαί·
Αἵτ' ἀνέμων σκεπόωσι δυσηέων μέγα κῦμα
Ἔκτοθεν· ἔντοσθεν δὲ ἄνευ δεσμοῖο μένουσι
Νῆες εὐαγέλμοι, ὅταν ὅρμου μέτρον ἵκωνται.
Αὐτὰρ ἐπὶ κρατὸς λιμένος, πανύφυλλος ἐλαίη·
Ἀγχόθι δ' αὐτῆς, ἄντρον ἐπήρατον, ἠερόεσσες,
Ἱρὸν νυμφάων, αἳ Νηϊάδες καλέονται.
Ἐν δὲ κρητῆρές τε καὶ ἀμφιφορῆες ἔασι
Λάϊνοι· ἔνθα δ' ἔπειτα πολυεπώνυμοι μέλισσαι.

93 ΥΠ. Ἀνίτειναν. ΦΑ. Λαμπτόπολ. Φωσφόρ. ὃς κάλλιστος ἐν ἐρανῷ ἑσπέρας ἀστήρ.

94 ΑΓ. Προμολούων.

95 ΠΡΟ. Προσεπίλαζεν.

96 ΦΟΡ. Λιμὼν Ἰθάκης, ἐφ' ᾧ λιμήν Φόρκυνός ἐστιν ἱερὸς, τοῦ ἁλικοσίου δαίμονος. ΓΕ. Τὸ Φόρκυνος. ΦΟΡ. Φόρκυν, δαίμων ἁλάσιος, τὸ πρότερον ἀμφιρύτων πρὸς τῷ Ἀργυρίῳ λεγομένῳ ὄρει τῆς Ἀχαΐας, οἰκῶν τὰ πλοῖα Φόρκυνος, ἀπ' αὐτοῦ καλούμενον, βήσας· κἄπα φανεὶς αὐτοῖς, καθελιπὼν τὰς τρίοδους ταύτας, ἀφίκετο εἰς τὴν Κεφαλληνίαν· ᾗ τόπον σκληράρδῳ ἐπιτηδειον αὐτῷ, συνταῦθα ᾤκησεν· λιμένα γὰρ Ἄμμος, ὁ τόπος. προσορμήσας εἰς τὸν τῆς Ἰθάκης λιμένα, ἠξίωσεν αὐτὸν ἀφ' ἑαυτοῦ προσηγορεύσθαι Φόρκυνος· ἢ γὰρ ἱστορία παρὰ Ἡροδότῳ.

98 ΑΠ. Διηρωγῖαι, ἐκ ὧν μέν τι τῶν μιζῶν ἀπετετμῆσθαι. ΠΟ. Ἔσω νενόκυιαι.

99 ΣΚΕ. Σκέπωσι, καλύωσι, σκέπας παρέχωσι. ΔΥ. Κακοπαύσων.

101 ΟΡ. Ὅταν πρὸς τὸ ὁρμιοδῆναι ἀφίκωνται· τὸ μέτρον, ἢ τὸ ἀνακλῆσις τῶν κατεχωγῆς. ΙΚ. Παρεκγίνωνται.

102 ΚΡ. Ἐπὶ τῆ ἀρχῆς. ΤΑ. Τετραμένα φύλακα ἔχουσα, μακρόφυλλον.

103 ΕΠ. Ἐπίρασιν, κλόνον. ΗΕ. Μίγα καὶ ἀνακεκαμένον, ὕσκιον.

104 ΝΥΜ. Νυμφῶν. ΝΗ. Ἀπὸ τῆς Νηΐς ὄρους. ἢ Ναϊάδες· νύμφαι ἐπὶ τῶν ὑδάτων.

105 ΑΜΦ. Εἰδος κεραμέων ἀμφόρων.

106 ΤΙ. Ἀποτίθενται τὴν βόσιν, ὅ ἐστι τὸ μέλι· οἷον ζητωρίζουσι τὰ κηρία, καὶ νεοτίστροφον.

Ἐν

Ἐν δ' ἰσὶ λίθεοι πεπιμήκεες, ἔνθά τε Νύμφαι
Φάρε' ὑφαίνουσιν ἁλιπόρφυρα, θαῦμα ἰδέσθαι.
Ἐν δ' ὕδατ' ἀενάοντα· δύω δέ τε οἱ θύραι εἰσίν·
Αἱ μὲν πρὸς Βορέαο, καταβατὴ ἀνθρώποισιν,
Αἱ δ' αὖ πρὸς Νότου, εἰσὶ θεώτεραι· οὐδέ τι κείνῃ
Ἄνδρες ἐσέρχονται, ἀλλ' ἀθανάτων ὁδός ἐστιν.
Ἔνθ' οἵγ' εἰσέλασαν, πρὶν εἰδότες· ἡ μὲν ἔπειτα
Ἠπείρῳ ἐπέκελσεν, ὅσον τ' ἐπὶ ἥμισυ πάσης,
Σπερχομένη· τοίων γὰρ ἐπείγετο χέρσ' ἐρετάων.
Οἱ δ' ἐκ νηὸς βάντες ἐϋζύγου ἤπειρόνδε,
Πρῶτον Ὀδυσῆα γλαφυρῆς ἐκ νηὸς ἄειραν,
Αὐτῷ σύν τε λίνῳ, καὶ ῥήγεϊ σιγαλόεντι,
Καὶ δ' ἄρ' ἐπὶ ψαμάθῳ ἔθεσαν, δεδμημένον ὕπνῳ.
Ἐκ δὲ κτήματ' ἄειραν, ἃ οἱ Φαίηκες ἀγαυοὶ
Ὤπασαν οἶκαδ' ἰόντι, Διὶ μεγάθυμον Ἀθήνῃ.
Καὶ τὰ μὲν ἔν ῥ' ἀπὸ πυθμέν' ἐλαίης ἀθρόα θῆκαν
Ἐκτὸς ὁδοῦ, μή πού τις ὁδιτάων ἀνθρώπων,
Πρίν γ' Ὀδυσῆ ἔγρεσθαι, ἐπελθὼν δηλήσαιτο.
Αὐτοὶ δ' αὖτ' οἶκόνδε πάλιν κίον· ὃν δ' Ἐνοσίχθων
Λήθετ' ἀπειλάων, τὰς ἀντιθέῳ Ὀδυσῆϊ

107 ΑΙ. Λίθιοι.
109 ΑΕ. Ἀεὶ ῥέοντα.
110 ΚΑ. Βάσιμοι, δι' ὧν καταβάσεις εἰσὶν ἀνθρώποις.
111 ΘΕ. Θειότεραι, δι' ὧν μόνοι θεοὶ εἰσέρχονται.
116 ΒΑΝ. Ἐκβάντες, ἐξελθόντες. ΕΥ. Εὖ σωιζόμενοι.
117 ΑΕΙ. Ἐκέφισαν.
119 ΕΘ. Οὐ Διὶ ἔσαν αὐτοὶ, παρὰ δὲ μὴ δοκῶν, χάριν τῆς παρεμπτῆς ἀπαιτεῖν· ἢ ἵνα μὴ καταχθῶσιν ὑπ' αὐτοῦ· ἢ ὅτως ὠνομάσθη Διὶ τὰ ἐξῆς· ἀνῃρέθη γὰρ ὑπὸ τῶ μνηστήρων, φανερῶς κατιών.
122 ΠΥΘ. Ῥίζαν.
123 ΟΔ. Ὀδυσσέων.
124 ΕΓ. Ἀνασῆναι. ΔΗ. Βλάψοι, ἀντὶ δὲ ἀφίλη).

Πρῶτον ἐπηπείλησε· Διὸς δ' ἐξείρετο βελήν·
" Ζεῦ πάτερ, οὐκέτ' ἔγωγε μετ' ἀθανάτοισι θεοῖσι
" Τιμήεις ἔσομαι, ὅτε με βροτοὶ ὅτι τίσσι
" Φαίηκες, τοί πέρ τοι ἐμῆς ἔξεισι γενέθλης.
" Καὶ γὰρ νῦν Ὀδυσῆα φάμην κακὰ πολλὰ πεδόντα
" Οἴκαδ' ἐλεύσεσθαι· νόσφιν δέ οἱ ὄφρα ἀπήμων
" Πάγχυ, ἐπεὶ σὺ πρῶτον ὑπέσχεο, καὶ κατένευσας.
" Οἱ δ' εὖδοντ' ἐν νηῒ θοῇ ὀπὶ πόντον ἄγοντες
" Κάτθεσαν εἰν Ἰθάκῃ, ἔδοσαν δέ οἱ ἄσπετα δῶρα,
" Χαλκόν τε, χρυσόν τε ἅλις, ἐσθῆτά θ' ὑφαντήν,
" Πόλλ', ὅσ' ἂν ἀδέ ποτε Τροίης ἐξήρατ' Ὀδυσεὺς,
" Εἴπερ ἀπήμων ἦλθε, λαχὼν ἅπο λητίδος αἶσης.
Τὸν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
" Ὤ πόποι, Ἐννοσίγαι εὐρυσθενὲς, οἷον ἔειπες;
" Οὔτι σ' ἀτιμάζουσι θεοί· χαλεπὸν δέ κεν εἴη
" Πρεσβύτατον καὶ ἄριστον ἀτιμήσειν ἰάλλειν.
" Ἀνδρῶν δ' εἴπερ τίς τε βίῃ καὶ κάρτεϊ εἴκων
" Οὔτι τίῃ, σοὶ δ' ἔστι κ' ἐπόπισθε τίσις αἰεί.
" Ἔρξον, ὅπως ἐθέλεις, καί τοι φίλον ἔπλετο θυμῷ.
Τὸν δ' ἠμείβετ' ἔπειτα Ποσειδάων ἐνοσίχθων·
" Αἶψά κ' ἐγὼν ἔρξαιμι, κελαινεφὲς, ὡς ἀγορεύεις·
" Ἀλλὰ σὸν αἰεὶ θυμὸν ὀπίζομαι, ἠδ' ἀλεείνω.

129 ΤΙ. Τίμι©. ΤΙ. Τιμῶσιν.
130 ΕΜ. Ἐν ἠθῇ ταῦτα· ὁ δὲ Φαίαξ, Ποσειδῶν© καὶ Κορκύρας, τῆς Ἀσωπῖδ.
132 ΑΠ. Ἀντὶ Ϝ, ἀφειλόμην.
133 ΠΡΩ. Χρονικῶς.
136 ΑΛ. Ἰκανῶς.
137 ΕΞ. Ἐξαίρεται ἔλαθεν.
142 ΠΡΕΣ. Ἐντιμόταλον· ἢ μᾶ τὰ Δία· ἀλλαχῶ γὰρ λέγει, Ἀλλὰ Ζεὺς πάτερ© μέγιστ. ΑΡ. Δωματώτατον. ΙΑ. Περισσάκιον, διδύμαν, σπατείνην.
143 ΒΙ. Νικάρμ©· ἀπὸ τῆς ἑαυτοῦ βίας, καὶ τὸ ἰσχύος· ὡς ἀφ' τοῦτο ἐξυβρίζειν.
144 ΤΙ. Τιμᾷ.
148 ΟΠ. Φυλάττομαι, αἰδοῦμαι, ὑπτρέπομαι.

" Νῦν

" Νῦν αὖ Φαιήκων ἐθέλω πεῖραλλέα νῆα
" Ἐκ πομπῆς ἀνιᾶσιν ἐν ἠροειδέϊ πόντῳ
" Ῥαΐσας· ἵν' ἤδη ἔχωνται, ἀπολλήξωσι δὲ πομπῆς
" Ἀνθρώπων· μέγα δέ σφιν ὄρος πόλιν ἀμφικαλύψαι.
Τὸν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
" Ὦ πέπον, ὡς μὲν ἐμῷ θυμῷ δοκεῖ εἶναι ἄριστα,
" Ὁππότε κεν δὴ πάντες ἐλαυνομένῳ προσίδωνται
" Λαοὶ ἀπὸ πτόλιος, θεῖναι λίθον ἐγγύθι γαίης
" Νηῒ θοῇ ἴκελον, (ἵνα θαυμάσσωσιν ἅπαντες
" Ἄνθρωποι·) μέγα δέ σφιν ὄρος πόλιν ἀμφικαλύψαι.
Αὐτὰρ ἐπεὶ τόγ' ἄκουσε Ποσειδάων ἐνοσίχθων,
Βῆ ῥ' ἴμεν ἐς Σχερίην, ὅθι Φαίηκες γεγάασιν,
Ἔνθ' ἔμεν· ἡ δὲ μάλα σχεδὸν ἦλυθε πεντοπόρῳ νηῦς
Ῥίμφα διωκομένη· τὸ δὲ σχεδὸν ἦλθ' Ἐνοσίχθων,
Ὃς μιν λᾶαν ἔθηκε, καὶ ἐρρίζωσεν ἔνερθε,
Χειρὶ καταπρηνεῖ ἐλάσας· ὁ δὲ νόσφι βεβήκει.
Οἱ δὲ πρὸς ἀλλήλους ἔπεα πτερόεντ' ἀγόρευον
Φαίηκες δολιχήρεμοι ναυσίκλυτοι ἄνδρες·
Ὧδέ τις εἶπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον·
" Ὤ μοι, τίς δὴ νῆα θοὴν ἐπέδησ' ἐνὶ πόντῳ,
" Οἰκαδ' ἐλαυνομένην; καὶ δὴ πρὸφαίνετο πᾶσι.
Ὣς ἄρα τις εἶπεσκε· τὰ δ' οὐκ ἴσαν, ὡς ἐτέτυκτο.
Τοῖσιν δ' Ἀλκίνοος ἀγορήσατο καὶ μετέειπεν·
" Ὤ πόποι, ἦ μάλα δή με παλαίφατα θέσφαθ' ἱκάνει

150 ΑΝ. Ἀνεχομένην.
151 ΡΑΙ. Διακφῆξαι. ΣΧΩΝ. Ἀπόσχωνται, κωλύσωσιν. ΑΠ. Παύσωσιν.
157 ΘΑΥ. Ὁρῶντες ἐκπλήττων.
163 ΕΡ. Ἀκίνητον ἐποίησεν.
164 ΚΑ. Καταγραμμίνη. ΕΛ. Τύψας, κρούσας.
168 ΕΠ. Κατέχει, ἐνιπόδισεν.
169 ΠΡΟΥ. Προφανὴς ἦν.
170 ΙΣ. Οὐκ ᾔδεισαν.

" Πατρὸς ἐμοῦ, ὃς ἔφασκε Ποσειδάων' ἀγάσασθαι
" Ἡμῖν, ὕνεκα πομποὶ ἀπήμονες εἰμὲν ἁπάντων.
" Φῆ πο|ε Φαιήκων ἀνδρῶν ϖεικαλλέα νῆα
" Ἐκ ϖομπῆς ἀνιοῦσαν ἐν ἠεροειδέϊ πόντῳ
" Ῥαισέμμεναι, μέγα δ' ἧμιν ὄρος ϖόλῃ ἀμφικαλύψαι.
" Ὡς ἀγόρευ' ὁ γέρων· τάδε δὴ νῦν πάντα τελεῖται.
" Ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼν εἴπω, ϖειθώμεθα πάντες.
" Πομπῆς μὲν παύσασθε βροτῶν, ὅτε κέν τις ἵκηται
" Ἡμέτερον ϖροτὶ ἄστυ· Ποσειδάωνι δὲ ταύρους
" Δώδεκα κεκριμένους ἱερεύσομεν, αἴκ' ἐλεήσῃ,
" Μήδ' ἡμῖν ϖεῖμηκες ὄρος ϖόλῃ ἀμφικαλύψῃ.
Ὣς ἔφαθ'· οἱ δ' ἔδδεισαν, ἑτοιμάσαντο δὲ ταύρους.
Ὡς οἱ μὲν ῥ' εὔχοντο Ποσειδάωνι ἄνακτι
Δῆμοι Φαιήκων ἡγήτορες, ἠδὲ μέδοντες,
Ἑστεῶτες ϖεὶ βωμόν· ὁ δ' ἔγρετο δῖος Ὀδυσσεύς,
Εὗδων ἐν γαίῃ ϖατρωΐῃ, οὐδέ μιν ἔγνω,
Ἤδη δὴν ἀπεών· ϖερὶ γὰρ θεὸς ἠέρα χεῦεν,
Παλλὰς Ἀθηναίη, κούρη Διός· ὄφρα μιν αὐτὸν
Ἄγνωστον τεύξειεν, ἕκαστά τε μυθήσαιτο·
Μή μιν ϖρὶν ἄλοχος γνοίη, ἀστοί τε, φίλοι τε,
Πρὶν ϖᾶσαν μνηστῆρσιν ὑϖερβασίην ἀποτῖσαι.
Τοὔνεκ' ἄρ' ἀλλοιοῖα φαινέσκετο πάντα ἄνακτι,

173 ΑΓ. Ἄγαν ὀρθωθῆναι.
182 ΚΕ. Ἐπιλίκτης.
183 ΠΕ. Μέγα. ΑΜ. Περικαλύψῃ.
185 ΩΣ. Κατὰ τὸ συμπώμενοι ἠφανίσθησαν· τὰ γὰρ κυραθέντα ὑπὸ θεῶν, ἐξ ἀνάγκης πληροῦται.
189 ΑΠ. Ἀπὸν, ἀποδημοῦν. ΧΕΥ. Κατίσχειν.
191 ΑΓ. Ἀφανῆ.
192 ΓΝΟΙ. Ἴδοι, ἢ ἐπιγνῷ. ΑΣ. Οἱ πολῖται.
193 ΥΠ. Ἴδεν. ΑΠ. Ἀποδῶναι.
194 ΑΛ. Ἀλλοῖα. ΦΑΙ. Ἐφαίνετο.

Ἀγαπητοί

Ἀτρεπτοί τε δίωνεκέες, λιμένες τε πάνορμοι,
Πέτραι τ' ἠλίβατοι, καὶ δένδρεα τηλεθόωντα.
Στῆ δ' ἄρ' ἀναΐξας, καί ῥ' εἰσιδε πατρίδα γαῖαν·
Ὤιμωξέν τ' ἄρ' ἔπειτα, καὶ ὣ πεπλήγετο μηρὼ
Χερσὶ καταπρηνέσσ', ὀλοφυρόμενος δ' ἔπος ηὔδα·
"Ὤ μοι ἐγὼ, τέων αὖτε βροτῶν ἐς γαῖαν ἱκάνω;
"Ἦ ῥ' οἵγ' ὑβρισταί τε, καὶ ἄγριοι, οὐδὲ δίκαιοι,
"Ἠὲ φιλόξεινοι, καί σφιν νόος ἐστὶ θεουδής;
"Πῆ δὴ χρήματα πολλὰ φέρω τάδε; πῆ δὲ καὶ αὐτὸς
"Πλάζομαι; αἴθ' ὄφελον μεῖναι ὧδε Φαιήκεσσιν
"Αὐτῦ· ἐγὼ δέ κεν ἄλλον ὑπερμενέων βασιλήων
"Ἐξικόμην, ὅς κέν μ' ἐφίλῃ καὶ ἔπεμπε νέεσθαι.
"Νῦν δ' ὅτ' ἄρ' οὔ πη θέσθαι ἐπίστεμαι, οὐδὲ μὲν αὖτε
"Καλλείψω, μήπως μοι ἕλωρ ἄλλοισι γένηται.
"Ὤ πόποι, οὐκ ἄρα πάντα νοήμονες, οὐδὲ δίκαιοι
"Ἦσαν Φαιήκων ἡγήτορες, ἠδὲ μέδοντες,
"Οἵ μ' εἰς ἄλλην γαῖαν ἀπήγαγον· ἦτέ μ' ἔφαντο
"Ἄξειν εἰς Ἰθάκην εὐδείελον· οὐδ' ἐτέλεσσαν.
"Ζεὺς σφέας τίσαιτο ἱκετήσιος, ὅς τε καὶ ἄλλους
"Ἀνθρώπους ἐφορᾷ, καὶ τίνυται, ὅς τις ἁμάρτῃ.
"Ἀλλ' ἄγε δὴ τὰ χρήματ' ἀριθμήσω, καὶ ἴδωμαι,

195 ΑΤ. Αἱ μὴ ἔχουσι ἐκτροπὴν ὁδοῦ. ΔΙ. Μακραί. ΠΑ. Σκέπην ἔχοντες παντὸς ἀνέμου.
196 ΤΗ. Ἄζαν θάλλοντα.
204 ΠΛΑ. Πλανηθῶ. ΑΙ. Τὰ χρήματα δηλονότι.
206 ΕΞ. Ἰκέτιδος.
207 ΘΕ. Θεῖναι, ἀποθέσθαι.
208 ΚΑΛ. Καλλείψω. ΕΛ. Εὕρημα.
212 ΕΤ. Οὐκ ἐπλήρωσαν.
213 ΙΚ. Ἱκετῶν ἐποπτῆς.
214 ΤΙ. Τιμωρεῖται.
215 ΧΡ. Ἵνα τῷ γνώμῃ αὐτῶν Φαιάκων καταμάθῃ· ἢ γὰρ μηδὲν ἄλλο τῶν χρημάτων, ψεύδεις ἦν τὸ εἰς ἀλλοτρίαν γῆν αὐτὸν ἀφῖχθαι· ἢ πιστεύῃ δὲ τῷ δεσμῷ τῆς Κίρκης, ἤτοι ἀφ' ὧν ἔπαθεν, ἢ οἰηθεὶς μεμαθηκέναι αὐτὸς τὸ δεσμόν.

"Μή

" Μή τι μοι οἴχωνται κοίλης ἀπὸ νηὸς ἄγοντες.
Ὡς εἰπὼν, τρίποδας τε καὶ λέβητας,
Ἠρίθμει, καὶ χρυσὸν, ὑφαντά τε εἵματα καλά.
Τῶν μὲν ἄρ' ὅτι πόλλ· ὁ δ' ὀδύρετο πατρίδα γαῖαν,
Ἐρπύζων παρὰ θῖνα πολυφλοίσβοιο θαλάσσης, 220
Πόλλ' ὀλοφυρόμενος· περιδόθεν δέ οἱ ἦλθεν Ἀθήνη,
Ἀνδρὶ δέμας εἰκυῖα νέῳ, ἀπιθώτορι μήλων,
Παναπάλῳ, οἷοί τε ἀνάκτων παῖδες ἔασιν,
Δίπτυχον ἀμφ' ὤμοισιν ἔχων εὐεργέα λώπην·
Ποσσὶ δ' ὑπαὶ λιπαροῖσι πέδιλ' ἔχε, χειρὶ δ' ἄκοντα. 225
Τὴν δ' Ὀδυσεὺς γνῆσεν ἰδὼν, ἐς ἐναντίος ἦλθε,
Καί μιν φωνήσας, ἔπεα πτερόεντα προσηύδα·
" Ὦ φίλ', ἐπεί σε πρῶτα κιχάνω τῷδ' ἐνὶ χώρῳ,
" Χαῖρέ τε, καὶ μή μοι τι κακῷ νόῳ ἀντιβολήσαις·
" Ἀλλὰ σάω μὲν ταῦτα, σάω δ' ἐμέ· σὺ γὰρ ἔγωγε 230
" Εὔχομαι, ὥς τε θεῷ, καί σοὶ φίλα γούνατ' ἰκάνω.
" Καί μοι ταῦτ' ἀγόρευσον ἐτήτυμον, ὄφρ' εὖ εἰδῶ,
" Τίς γῆ; τίς δῆμος; τίνες ἀνέρες ἐγγεγάασιν;
" Ἦ πού τις νήσων εὐδείελος, ἦέ τις ἀκτὴ
" Κεῖθ' ἁλὶ κεκλιμένη ἐριβώλακος ἠπείροιο; 235

216 ΟΙ. Ἀπιληλύθασι. ΑΓ. Ἀπάγοντες.
217 ΠΕ. Ἄγαν εὐπρεπεῖς.
219 ΠΟ. Ἐζήτει. ΟΔ. Ἀπεκλαίετο.
220 ΕΡ. Κατὰ τὸν αὐτὸν τόπον ἀνακυκλούμενος· ἢ ἕρπων, ἢ βαδίζων.
222 ΝΕ. Νεωλίρᾳ. ΕΠ. Ποιμένι, ἀπὸ τῶν βοσκημάτων τιτραινομένῳ.
223 ΠΑ. Τοιούτῳ ὁμοίῳ ἐστὶ τὸ θαρσῆσαι τὸν Ὀδυσσέα· ὅταν ἐπιφέρῃ, Ὀδυσσεὺς γνῆσεν· παναπάλῳ δὲ, ἀπαλῷ. ΟΙ. Τὸ παλαιὸν καὶ οἱ τῶν βασιλέων παῖδες παναπάλοι ἐκαλοῦντο, καὶ ἐπτίμηνον.
224 ΔΙΠ. Ἀντὶ διπλοῦν. ΛΩ. Ἱμάτιον, ἤτοι ἐξωμίδιον· εἴρηται καὶ λωποδύτης, ὁ τούτων ἀφαιρούμενος, ληστής.
225 ΕΧ. Ὑπεδέχετο.
228 ΚΙ. Καταλαμβάνω.
229 ΑΝ. Σωσαντήσας.
230 ΣΑ. Σῶσον.
235 ΚΕ. Πεπιεχειμένη.

Τὸν

Τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
" Νήπιος εἶς, ὦ ξεῖν', ἢ τηλόθεν εἰλήλουθας,
" Εἰ δὴ τήνδε τε γαῖαν ἀνείρεαι· ἀδέ τι λίην
" Οὔτω νώνυμός ἐστιν· ἴσασι δέ μιν μάλα πολλοὶ,
" Ἠμὲν ὅσοι ναίουσι πρὸς ἠῶ τ', ἠέλιόν τε,
" Ἠδ' ὅσοι μετόπιθε πτολίεθρον ἠερόεντα.
" Ἤτοι μὲν τρηχεῖα, χ' ἅχ ἱππήλατός ἐστιν,
" Οὐδὲ λίην λυπρὴ, ἀτὰρ ἀδ' εὐρεῖα τέτυκται.
" Ἐν μὲν γάρ οἱ σῖτος ἀθέσφατος, ἐν δέ τε οἶνος
" Γίγνεται· αἰεὶ δ' ὄμβρος ἔχει, τεθαλυῖά τ' ἐέρση.
" Αἰγίβοτος δ' ἀγαθὴ, χ' βώβοτος· ἔστι μὲν ὕλη
" Παντοίη, ἐν δ' ἀρδμοὶ ἐπηετανοὶ παρέασιν.
" Τῷ τοι, ξεῖν', Ἰθάκης γε χ' ἐς Τροίην ὄνομ' ἶκει,
" Τήν περ τηλῦ φασὶν Ἀχαιΐδος ἔμμεναι αἴης.
Ὣς φάτο· γήθησεν δὲ πολύτλας δῖος Ὀδυσσεὺς,
Χαίρων ἣ γαίῃ πατρωΐῃ, ὥς οἱ ἔειπε
Παλλὰς Ἀθηναίη, κούρη Διὸς Αἰγιόχοιο.
Καί μιν Φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Οὐδ' ὅγ' ἀληθέα εἶπε, πάλιν δ' ὅγε λάζετο μῦθον,
Αἰεὶ ἐνὶ στήθεσσι νόον πολυκερδέα νωμῶν·
" Πωλητανόμην Ἰθάκης γε χ' ἐν Κρήτῃ εὐρείῃ,
" Τηλῦ ὑπὲρ πόντου· νυῦ δ' εἰλήλουθα Ϲ αὐτὸς

239 ΝΩ. Ἀνώνυμον.
241 ΜΕ. Εἰς τὰ ἐναντία μίξη.
243 ΑΤ. Οὐδὲ ὅλως εὐπλοΐης.
245 ΤΕ. Θάλλειν ποιῆσαι χ' αὔξειν τὰ φυτὰ, χ' βόσκειν· πῶς ἂν ἐνδροσον, εἰ σὺ ἠπείρου νέμονται; ἀδὴν καλύξ καὶ σὺ Ἰθάκη. ἢ βούβοτον, βοσκημάτων πλήρης. ΕΕΡ. Δρόσος.
246 ΑΙ. Αἶγας βόσκειν δυναμένη.
247 ΑΡ. Ποσσμοί. ΕΠ. Σωιχᾶς, διήκοντες. ΠΑ. Πάρεισιν, ὑπάρχουσι.
251 ΠΑ. Πατρικῆ.
254 ΠΑ. Εἰς τἐναντίον δ' ἀληθῆς· ὃ ἐστιν οὐ δεύτερος δὲ τὸν λόγον ἀνελάσειτο.
255 ΠΟ. Σωιτὸν, ἢ πανοῦργον. ΝΩ. Διανέμων.
256 ΠΥΝ. Ἥκουσι.

" Χρήμασι

" Χρήμασι σὺν τοῖσδεσσι· λιπὼν δ' ἔτι παισὶ τοκεῦσι
" φεύγω, ἐπεὶ φίλον υἱὸν κατέκτανον Ἰδομενῆος,
" Ὀρσίλοχον τόδας ὠκὺν, ὃς ἐν Κρήτῃ εὐρείῃ
" Ἀνέρας ἀλφηστὰς νίκα ταχέεσσι πόδεσσιν·
" Οὕνεκά με στερέσσαι τ' ληΐδος ἤθελε πάσης
" Τρωϊάδος, τ' εἵνεκ' ἐγὼ πάθον ἄλγεα θυμῷ,
" Ἀνδρῶν τε πολέμους, ἀλεγεινά τε κύματα πείρων·
" Οὕνεκ' ἄρ' οὐχ ὧι πατρὶ χαριζόμενος θεράπευον
" Δήμῳ ἔνι Τρώων, ἀλλ' ἄλλων ἦρχον ἑταίρων·
" Τὸν μὲν ἐγὼ κατιόντα βάλον χαλκήρεϊ δουρὶ
" Ἀγρόθεν, ἐγχὺς ὁδοῖο λοχησάμενος σὺν ἑταίρῳ.
" Νὺξ δὲ μάλα δνοφερὴ κάτεχ' οὐρανὸν, οὐδέ τις ἡμέας
" Ἀνθρώπων ἐνόησε· λάθον δέ ἑ θυμὸν ἀπούρας.
" Αὐτὰρ ἐπειδὴ τόν γε κατέκταμεν ὀξέϊ χαλκῷ,
" Αὐτίκ' ἐγὼν ἐπὶ νῆα κιὼν Φοίνικας ἀγαυοὺς
" Ἐλλισσάμην, καί σφιν μενοεικέα λῃδα δῶκα·
" Τοὺς μ' ἐκέλευσα Πύλονδε καταξῆσαι κ' ἐφέασαι,

258 ΤΟΙΣ. Τούτοις.

259 ΙΔ. Ἰδομενεὺς, παῖς μὲν ἦν Δευκαλίωνος, ὁ δὲ Μίνως· Κρὴς δὲ τὸ γένος, ἄρξας τὰ πολέμια· παρ' ἐκείνοις γὰρ ἐξετάσεις σπουδαὶ φανόμεναι, μέχρι τοῦ νόσον ἄρασθαι διεφυλάχθη· ἀτὰρ δὴ, ὡς λέγεται, χθιζοῦ τὸν κατ' Εὔβοιαν χειμῶνος ὑπὸ τῆς Ἀθηνᾶς, ὠκειλε μὲν ὁ Κάλχαντος καὶ Σπενέλεω, εἰς Κολοφῶνα, καὶ σύνοικον τὸν βίον κατέστησεν. ἡ δὲ ἱστορία παρὰ Λυκόφρονι. ΚΑ. Ἀνῆλον, ἐφόνευσα.

260 ΟΡ. Τὸν παῖδα Ἰδομενέως.

261 ΑΛ. Εὐρυπυλής.

262 ΣΤΕ. Ἀποστερῆσαι.

263 ΤΡΩ. Τρωϊκῆς.

264 ΠΕΙ. Διακπερῶν, διερχόμενος.

267 ΕΓ. Σκηπτέσθω τὸν Ἰδομενέως υἱὸν ἀνηρηκέναι, ἵνα αὐτὸν πεισθέντες οἱ μνηστῆρες, ὡς ἐχθρὸν ὄντα Ὀδυσσέως φίλου· ἑαυτῷ ἢ ὃν Κρήτην ὑφ' ἧς φησὶν εἶναι, ὅπως τοὺς προμνήστευτας ἐξ- ὧν τ' Ὀρσιλόχου ἢ ναύλου λέγῃ διὰ τὴν λιμὸν· δεικνὺς, ὅτι ἐδὲ σώσειν παρεσκευάσατο. Φοίνιξι ἢ πιστεύσῃ λέγῃ, ἵνα μὴ ἀδικήσῃ, λογισάμενος, ὅτι οἱ φιλοκερδέστατοι αὐτῶν ἐφείσαντο.

268 ΑΓ. Ἐκ δ' ἀγορᾶς. ΛΟ. Λοχίσας, ἐνεδρεύσας.

269 ΔΝΟ. Μίλασιν, σκοτεινῇ.

273 ΜΕ. Προσηὶ κ' ἀρίσκοιτεν τῇ ψυχῇ.

274 ΚΑ. Ἀπενοήσησεν. ΕΦ. Ἰδρύσῃ εἰς τὸν νεῶν.

" Ἦ

" Ἦ εἰς Ἴλιδα δῖαν, ὅθι κρατέουσιν Ἐπειοί. 275
" Ἀλλ ἦτοι σφέας κεῖθεν ἀπώσαλο εἰς ἀνέμοιο,
" Πόλλ' ἀεκαζομένους· ὀδ' ἤθελον ἐξαπατῆσαι.
" Κεῖθεν δὴ πλαγχθέντες ἱκάνομεν ἐνθάδε νυκτός·
" Σπουδῇ δ' ἐς λιμένα προερέσαμεν, ὀδέ τις ἡμῖν
" Δόρπα μνῆστις ἔην, μάλα περ κατέουσιν ἐλέσθαι· 280
" Ἀλλ' αὖτως ἀποβάντες ἐκείμεθα νηὸς ἄπαλες.
" Ἔνθ' ἐμὲ μὲν γλυκὺς ὕπνος ἐπήλυθε κεκμηῶτα·
" Οἱ δὲ χρήματ' ἐμὰ γλαφυρῆς ἐκ νηὸς ἑλόντες,
" Κάτθεσαν, ἔνθά περ αὐτὸς ἐπὶ ψαμάθοισιν ἐκείμην.
" Οἱ δ' ἐς Σιδονίην εὖ ναιομβλίην ἀναβάντες 285
" Ὥιχοντ'· αὐτὰρ ἐγὼ λιπέμην ἀκαχήμενος ἦτορ.
Ὣς φάτο· μείδησεν δὲ θεὰ γλαυκῶπις Ἀθηνή,
Χειρί τε μιν κατέρεξε· δέμας δ' ἤϊκτο γυναικὶ
Καλῇ τε, μεγάλῃ τε, καὶ ἀγλαὰ ἔργ' εἰδυίῃ·
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα· 290
" Κερδαλέος κ' εἴη κὴ ἐπίκλοπος, ὅς σε παρέλθοι
" Ἐν πάντεσσι δόλοισι, καὶ εἰ θεὸς ἀντιάσειε.
" Σχέτλιε, ποικιλομῆτα, δόλων ἄτ', οὐκ ἄρ' ἔμελλες,
" Οὐδ' ἐν σῇ περ ἐὼν γαίῃ, λήξειν ἀπατάων,

276 ΑΠ. Ἀπωθήσατο.
277 ΑΕ. Ἄκοιτις, μὴ βλωμίνης. ΕΞ. Ἐπαινεῖ τὰς Φοίνικας, ἵνα ὁ ἀχαιὸς μιμήσηται.
278 ΠΛΑΓ. Πλαγηθέντες. ΙΚ. Παρεγκλίνομεν.
279 ΠΡΟ. Καθειλκύσαμεν, ἀντὶ τοῦ ἀσπάσθημεν.
280 ΜΝΗ. Μνήμη. ΧΑΤ. Χρήζουσι, δειλίους.
281 ΑΠ. Ἐξιλθόντες.
282 ΕΠ. Κατίσχειν.
285 ΣΙ. Τὴν τῶν Σιδώνων χώραν, τῶν Φοινίκων.
288 ΔΕ. Ἐπιθῦναι Ξενοφῶν τῷ Ἀρίστῳ ἢ τῷ Κακίᾳ ἀνέπλασεν. ΗΙΚ. Ὡμοίωτο.
291 ΚΕΡ. Πανοῦργος. ΕΠ. Παραλογισής. ΠΑ. Νικήσῃ, μιζοφορικῶς.
294 ΑΗ. Παύσεσθαι. ΑΠ. Παραλογισμῶν.

" Μύθων τε κλοπίων, οἵ τοι πεδόθεν φίλοι εἰσίν;
" Ἀλλ' ἄγε μηκέτι ταῦτα λεγώμεθα, εἰδότες ἄμφω
" Κέρδε· ἐπεὶ σὺ μὲν ἐσσὶ βροτῶν ὄχ' ἄριστος ἁπάντων
" Βουλῇ καὶ μύθοισιν· ἐγὼ δ' ἐν πᾶσι θεοῖσι
" Μήτι τε κλέομαι καὶ κέρδεσιν· ἀλλὰ σύ γ' ἔγνως
" Παλλάδ' Ἀθηναίην, κούρην Διός, ἥτε τοι αἰεὶ
" Ἐν πάντεσσι πόνοισι παρίσταμαι, ἠδὲ φυλάσσω;
" Καὶ δέ σε Φαιήκεσσι φίλον πάντεσσιν ἔθηκα·
" Νῦν δ' αὖ δεῦρ' ἰκόμην, ἵνα τοι σὺν μῆτιν ὑφήνω,
" Χρήματά τε κρύψω, ὅσα τοι Φαίηκες ἀγαυοὶ
" Ὤπασαν, οἴκαδ' ἰόντι, ἐμῇ βουλῇ τε, νόῳ τε·
" Εἴπω θ', ὅσσα τοι αἶσα δόμοις ἐνὶ πημοῖσι
" Κήδε' ἀναρχέμεν· σὺ δὲ πεπλάμενος καὶ ἀνάγκῃ,
" Μηδέ τῳ ἐκφάσθαι, μήτ' ἀνδρῶν, μήτε γυναικῶν,
" Πάντων, οὕνεκ' ἄρ' ἦλθες ἀλώμενος· ἀλλὰ σιωπῇ
" Πάσχειν ἄλγεα πολλὰ, βίας ὑποδέγμενος ἀνδρῶν.
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
" Ἀρχαλέον σε, θεὰ, γνῶναι βροτῷ ἀντιάσαντι,
" Καὶ μάλ' ὑποψαμένῳ· σὲ γὰρ αὐτίῳ πάντι ἔοικεις.
" Τοῦτο δ' ἐγὼν εὖ οἶδ', ὅτι μοι πάρος ἠπίη ἦσθα,
" Ἕως ἐνὶ Τροίῃ πολεμίζομεν υἷες Ἀχαιῶν·
" Αὐτὰρ ἐπεὶ Πριάμοιο πόλιν διεπέρσαμεν αἰπὴν,

295 ΚΛΟ. Τῶν κεκλεμμένων, καὶ μὴ ἀληθῶν. ΠΕ. Ἐκ νέας ἁλικίας· ἢ ἀπὸ τῆς πόλεως.
299 ΜΗ. Βουλῇ, γνώμῃ. ΚΛΕ. Δοξάζομαι.
303 ΥΦ. Κατασκευάσω.
308 ΜΗ. Μηδέ τινι. ΕΚ. Εἰπεῖν.
310 ΥΠ. Ὑποδεχόμενος.
313 ΣΕ. Ὑπονοήσεις, ὅτι σὺ τοῖς Φαίαξι καὶ παρθένῳ, καὶ ἀνδρὶ ὁμοιωθεῖσα παρώρμησεν αὐτόν.
314 ΗΠ. Πρᾶος.
315 ΠΟ. Ἐπολεμοῦμεν.

" Βῆμεν

" Βῆμεν δ' ἐν νήεσι, θεὸς δ' ἐκέδασσεν Ἀχαιὰς,
" Οὔ σέ γ' ἔπειτα ἴδον, κούρη Διὸς, οὐδ' ἐνόησα
" Νηὸς ἐμῆς ἐπιβᾶσαν, ὅπως τί μοι ἄλγος ἀλάλκῃς·
" Ἀλλ' αἰεὶ φρεσὶν ἦσιν ἔχων δεδαϊγμένον ἦτορ
" Ἠλώμην, εἷως με θεοὶ κακότητος ἔλυσαν·
" Πρίν γ' ὅτε Φαιήκων ἀνδρῶν ἐν πίονι δήμῳ
" Θάρσυνάς τ' ἐπέεσσι, καὶ ἐς πόλιν ἤγαγες αὐτή.
" Νῦν δέ σε πρὸς πατρὸς γνωτόν, (ἀτὰρ οὔ πω
" Ἥκειν εἰς Ἰθάκην εὐδείελον, ἀλλά τιν' ἄλλην
" Γαῖαν ἀναστρέφομαι· σὲ δὲ κερτομέουσαν οἴω
" Ταῦτ' ἀγορεύμεναι, ἵν' ἐμᾶς φρένας ἠπεροπεύσῃς·)
" Εἰπέ μοι, εἰ ἐτεόν γε φίλην ἐς πατρίδ' ἱκάνω.
Τὸν δ' ἠμείβετ' ἔπειτα θεὰ γλαυκώπις Ἀθήνη·
" Αἰεί τοι τοιοῦτον ἐνὶ στήθεσσι νόημα·
" Τῷ σε οὐ δύναμαι προλιπεῖν δύστηνον ἐόντα,
" Οὕνεκ' ἐπητής τ' ἐσσὶ, καὶ ἀγχίνοος, καὶ ἐχέφρων.
" Ἀσπασίως γάρ κ' ἄλλος ἀνὴρ ἀλαλήμενος ἐλθὼν
" Ἴεται ἐνὶ μεγάροις ἰδέειν παῖδάς τ', ἄλοχόν τε·
" Σοὶ δ' ἔπω φίλον ἐστὶ δαήμεναι, οὐδὲ πυθέσθαι,
" Πρὶν γέ τι σῆς ἀλόχου πειρήσεαι, ἤτε τοι αὖτως
" Ἧσται ἐνὶ μεγάροισιν· ὀϊζυραὶ δέ οἱ αἰεὶ
" Φθίνουσιν νύκτες τε καὶ ἤματα δακρυχέουσα.
" Αὐτὰρ ἐγὼ τὸ μὲν οὔποτ' ἀπίστεον, ἀλλ' ἐνὶ θυμῷ

321 ΕΛ. Ἐλυτρώσαντο.
330 ΤΟΙ. Εὐιξαπάτητον· ἀντὶ τοῦ, οὐκ εὐιξαπάτητον, ἢ ἧ ἀσύνετον.
331 ΠΡΟ. Εἰδέναι.
332 ΕΠ. Φρόνιμος, καὶ λόγιος, παρὰ τὸ ἔπος. ΑΓ. Περὶ τὸ νοῆσαι καὶ ἔχειν. ΕΧ. Σώφρων.
333 ΑΛ. Ἀπὸ πλάνης παραλλάμβανε.
335 ΦΙ. Νῦν, ἀντὶ οὖ, ἀφέλιμον.

" Ἦ, δὲ, ὃ νοεήσεις ὀλέσας ἀπὸ πάντας ἑταίρους.
" Ἀλλά τοι οὐκ ἐθέλησε Ποσειδάωνι μάχεσθαι
" Πατροκασιγνήτῳ, ὅς τοι χόλον ἔνθετο θυμῷ,
" Χωόμενος, ὅτι οἱ υἱὸν φίλον ἐξαλάωσας.
" Ἀλλ' ἄγε τοι δείξω Ἰθάκης ἕδος, ὄφρα πεποίθῃς.
" Φόρκυνος μὲν ὅδ' ἐστὶ λιμὴν, ἁλίοιο γέροντος·
" Ἥδε δ' ἐπὶ κρατὸς λιμένος πανύφυλλος ἐλαίη·
" Ἀγχόθι δ' αὐτῆς ἄντρον ἐπήρατον, ἠερόειδες,
" Ἱρὸν Νυμφάων, αἳ Νηιάδες καλέονται.
" Τῦτο δέ τοι σπέος εὐρὺ κατηρεφὲς, ἔνθα σὺ πολλὰς
" Ἕρδεσκες Νύμφῃσι τελήεσσας ἑκατόμβας·
" Τῦτο δὲ Νήριτόν ἐστιν ὄρος, καπνείμενον ὕλῃ.
Ὣς εἰπῦσα θεὰ σκέδασ' ἠέρα· εἴσατο δ' ἠχθών·
Γήθησέν τ' ἄρ' ἔπειτα πολύτλας δῖος Ὀδυσεύς,
Χαίρων ἧ γαίῃ· κύσε δὲ ζείδωρον ἄρουραν·
Αὐτίκα δὴ Νύμφῃς ἠρήσατο χεῖρας ἀνασχών·
" Νύμφαι Νηιάδες, κοῦραι Διὸς, ὄπ' ἔγωγε
" Ὄψεσθ' ὔμμ' ἐφάμην· νῦν δ' εὐχωλῇς ἀγανῇσι
" Χαίρετ'· ἀτὰρ δῶρα διδώσομεν, ὡς τὸ πάρος περ,
" Αἴκεν ἐᾷ πεφίδρων με Διὸς θυγάτηρ ἀγελείη
" Αὐτόν τε ζώειν, καί μοι φίλον υἱὸν ἀέξῃ.
Τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
" Θάρσει, μή σοι ταῦτα μετὰ φρεσὶ σῇσι μελόντων.
" Ἀλλ' ἄγε, χρήματα μὲν μυχῷ ἄντρου θεσπεσίοιο

340 NO. Ὅπ ἐπανίλθοις.
344 ΠΕ. Πιστεύσεις.
349 ΚΑ. Χλωμαλόν, κοίλον καλύπτον, ἢ κοίλης ὑπὸ πέτρης.
351 NH. Ὄρος Ἰθάκης, ἀντικρὺ τῆς Ἠπείρου. ΚΑ. Καπνοειδεσμένον.
357 ΥΜ. Ὑμᾶς. ΑΓ. Προσαγορεύω δὲ πίστιν δυναμένους.
359 ΕΛ. Συγχωρήσει.
360 ΑΕ. Αὐξηθῆναι πιθήσει.

" Θείσμεν

" Θείομεν αὐτίκα νῦν, ἵνα περ τάδε τοι σάα μίμνῃ·
" Αὐτοὶ ἢ φεραζώμεθ', ὅπως ὄχ' ἄριστα γένηται.
Ὣς εἰπὼν, θεὰ δῦνε πρὸς ἠερόεντας,
Μαιομένη κλυτὰ δῶνα· ἀνὰ πρὸς· αὐτὰρ Ὀδυσεὺς,
Ἄορι πάντ' ἐφορᾷ χρυσὸν καὶ ἀτείρεα χαλκὸν,
Εἵματά τ' εὐπήκτα, τά οἱ φαίηκες ἔδωκαν.
Καὶ τὰ μὲν εὖ κατέθηκε· λίθον δ' ἐπέθηκε θύρῃσι
Παλλὰς Ἀθηναίη, κούρη Διὸς αἰγιόχοιο.
Τὼ δὲ καθεζομένω, ἱερῆς ἀπὸ πυθμέν' ἐλαίης,
Φραζέσθην μνηστῆρσιν ὑπερφιάλοισιν ὄλεθρον.
Τοῖσι δὲ μύθων ἦρχε θεὰ γλαυκῶπις Ἀθήνη·
" Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσεῦ,
" Φράζευ, ὅπως μνηστῆρσιν ἀναιδέσι χεῖρας ἐφήσῃς,
" Οἵ δή τοι τρίετες μέγαρον κατανήνυσιν,
" Μνώμενοι ἀντιθέην ἄλοχον, καὶ ἕδνα διδόντες.
" Ἡ δὲ σὸν αἰεὶ νόον ὀδυρομένη κατὰ θυμὸν,
" Πάντας μέν ῥ' ἔλπει, καὶ ὑπίσχεται ἀνδρὶ ἑκάστῳ,
" Ἀγγελίας προϊεῖσα· νόος δέ οἱ ἄλλα μενοινᾷ.
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσεύς,
" Ὦ πόποι, ἦ μάλα δὴ Ἀγαμέμνονος Ἀτρεΐδαο
" Φθίσεθ' κακὸν οἶτον ἐνὶ μεγάροισιν ἔμελλον,
" Εἰ μή μοι σὺ ἕκαστα, θεὰ, κατὰ μοῖραν ἔειπες.
" Ἀλλ' ἄγε μῆτιν ὕφηνον, ὅπως ἀποτίσομαι αὐτός·

364 ΣΟ. Σῶα, ὑγιῆ. ΜΙΜ. Μίμνῃ.
366 ΗΕ. Νῦν, καθαρὸν ἀέρα ἔχειν.
367 ΜΑΙ. Ἐρεύνασα, ζητοῦσα. ΚΕΥΘ. Τὰς κατασύσεις· ἢ, τὰς κοίλας τύπας.
368 ΕΦ. Ἔφερε, παρεκόμιζεν.
373 ΦΡΑ. Ἐσυλεύοντο.
376 ΕΦ. Ἐπιθάλῃς.
378 ΜΝΩ. Μνηστευόμενοι. ΑΝ. Ἴσως ὁμοίαν θεοῖς καὶ ἀριστεύω.
381 ΠΡΟ. Προπέμπουσα.
386 ΑΠ. Τιμωρίαν καὶ κόλασιν ἀπεκδέχομαι.

" Πὰρ

" Πάρ δέ μοι αὐτὴ ϛῆθι, μένος πολυθαρσὲς ἐνεῖσα,
" Οἷον, ὅτε Τροίης λύομεν λιπαρὰ κρήδεμνα.
" Αἶχε μοι ὡς μεμαῦῖα παραϊκυίης, Γλαυκῶπι,
" Καί κε τριηκοσίοισιν ἐγὼν ἄνδρεσσι μαχοίμην,
" Σὺν σοί, πότνια θεὰ, ὅτε μοι πεφραδ' ἐπιρρήσεις.
Τὸν δ' ἠμείβετ' ἔπειτα θεὰ γλαυκῶπις Ἀθήνη·
" Καὶ λίην τοι ἔγωγε παρέσομαι, ὐδέ με λήσεις,
" Ὁππότε κεν δὴ ταῦτα πενώμεθα· καί τιν' οἴω
" Αἵματί τ', ἐγκεφάλῳ τε, παλαξέμεν ἄσπετον ὄδας,
" Ἀνδρῶν μνηϛήρων, οἵ τοι βίοτον κατέδουσιν.
" Ἀλλ' ἄγε σ' ἄγνωϛον τεύχω πάντεσσι βροτοῖσι·
" Κάρψω μὲν χρόα καλὸν ἐνὶ γναμπτοῖσι μέλεσσι,
" Ξανθὰς δ' ἐκ κεφαλῆς ὀλέσω τρίχας, ἀμφὶ δὲ λαῖφος
" Ἕσσω, ὅ κεν συγέῃσιν ἰδὼν ἄνθρωπος ἔχοντα.
" Κυζώσω δέ τι ὅσσε, πάρος περικαλλέ' ἐόντε,
" Ὡς ἂν ἀεικέλιος πᾶσι μνηϛῆρσι φανείης,
" Σῇ τ' ἀλόχῳ, ϗ παιδὶ, τ' ἐν μεγάροισιν ἔλειπες.
" Αὐτὸς δὲ πρώτιϛα συβώτῃν εἰσαφικέσθαι,
" Ὅς τοι ὑῶν ἐπίουρος· ὅμως δέ τοι ἤπια οἶδε,
" Παῖδά τε σὸν φιλέει, ϗ ἐχέφρονα Πηνελόπειαν.

387 ΠΟ. Τολμηρόν.
388 ΛΥ. Κατιλύομεν. ΛΙ. Ἐκδηλα, λαμπρά. ΚΡΗ. Μεταφορικῶς, τὸ τεῖχος.
391 ΠΟΤ. Σεβασμία, τιμία. ΕΠ. Βοηθοίης.
395 ΠΑ. Μολύναι, φῦραι.
397 ΑΓ. Ἀγνάριϛον. ΠΑΝ. Πῶς οὖν ἡ Εὐρύκλεια γνώσκει; ἐπειδὴ χρεία αὐτῆς.
398 ΚΑΡ. Μειώσω, ξηρανῶ.
399 ΛΑΙ. Ἱμάτιον.
400 ΕΣ. Ἐνδύσω. ΣΤΥ. Μισήσῃ, ἀποτροφῇ. ΕΧ. Ἀντὶ ϐ, ενδεδυμένον.
401 ΚΝΥ. Ῥυσώσω, ἀπεχθεῖς ϗ ἐχθρὰς ποιήσω· ὁποῖοι εἰσὶν οἱ τῶν κακῶν, ϗ συμπλάσω, ϵ κακώσω.
404 ΣΥ. Συοτρόφον, χοιροβοσκόν.
405 ΥΩΝ. Χοίρων. ΕΠ. Ἐπίσκοπος, φύλαξ.
406 ΕΧ. Ἔμφρονα, σωφρονοῦντα.

" Δῆεις

" Δήεις τόν γε σύεσσι παρήμενον· αἱ δὲ νέμονται
" Πὰρ Κόρακος πέτρῃ, ὅπί τε κρηὼ Ἀρεθούσης,
" Ἔδμεναι βάλανον μενοεικέα, καὶ μέλαν ὕδωρ
" Πίνουσαι, τά θ' ὕεσσι τρέφει τεθαλυῖαν ἀλοιφήν.
" Ἔνθα μιν, ἣ πάντα παρήμενος ἐξερέεσθαι,
" Ὄφρ' ἂν ἐγὼν ἔλθω Σπάρτηνδε καλλιγύναικα,
" Τηλέμαχον καλέσσαι, τὸν φίλον υἱόν, Ὀδυσσεύς·
" Ὃς τοι ἐς εὐρύχορον Λακεδαίμονα πὰρ Μενέλαον
" Ὤιχετο, πυθόμενος μὴ σὺν κλέος, εἴπερ ἔτ' ἔστι.
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς,
" Τίπτε τ' ἄρ' ἔπος ἔειπες, ἐνὶ φρεσὶ πάντ' εἰδυῖα;
" Ἦ ἵνα πως καὶ κεῖνος ἀλώμενος ἄλγεα πάσχῃ
" Πόντον ἐπ' ἀτρύγετον; βίοτον δέ οἱ ἄλλοι ἔδουσι.
Τὸν δ' ἠμείβετ' ἔπειτα θεὰ γλαυκῶπις Ἀθήνη·
" Μὴ δή τοι κεῖνός γε λίην ἐνθύμιος ἔσσο·
" Αὐτή μιν πόμπευον, ἵνα κλέος ἐσθλὸν ἄροιτο,
" Κεῖσ' ἐλθών· ἀτὰρ ὅττιν' ἔχῃ πόνον· ἀλλὰ ἔκηλος
" Ἧστο ἐν Ἀτρείδαο δόμοις, πολλὰ δ' ἄσπετα κεῖται.
" Ἦ μέν μιν λοχόωσι νέοι σὺν νηῒ μελαίνῃ,
" Ἱέμενοι κλεῖναι, πρὶν πατρίδα γαῖαν ἰκέσθαι.
" Ἀλλὰ τά γ' οὐκ ὀΐω, πρὶν καί τινα γαῖα καθέξει
" Ἀνδρῶν μνηστήρων, οἵ τοι βίοτον κατέδουσιν.
Ὣς ἄρα μιν φαμβὴν ῥάβδῳ ἐπεμάσσατ' Ἀθήνη·

407 ΔΗ. Εὑρήσεις.
408 ΚΟ. Οὗτος ὁ Κόραξ κωπηγῶν, ἀπὸ τῆς πέτρας πεσὼν, ἐπλεύτησε· καὶ ἡ μήτηρ αὐτὸν Ἀρέθουσα ἑαυτῇ ἀπήγξατο. Ἀρέθουσαι δὲ τέσσαρες, αἱ Συρακούσῃ, αἱ Σμύρνη, αἱ Χαλκίδι, καὶ αἱ Ἰθάκῃ.
ΑΡ. Ἀρέθουσα, κρηὼ Ἰθάκης ἡ Ἀρέτης.
410 ΑΛ. Λίπαρα, πιμελῆ.
411 ΜΕ. Ἀντὶ δέ, μᾶλλον.
413 ΚΑ. Καλέσαι ὀφείλουσα.
421 ΕΝ. Διὰ φροντίδος.
422 ΠΟΜ. Παρέπεμπον.
423 ΠΟ. Νῦν, ἀληθῶς.
429 ΕΠ. Καθήψατο.

Κάρψε

Κάρψε μέν οἱ χρόα καλὸν ἐνὶ γναμπτοῖσι μέλεσσι,
Ξανθὰς δ' ἐκ κεφαλῆς ὄλεσε τρίχας, ἀμφὶ δὲ δέρμα
Πάντοσιν μελέεσσι παλαιῷ θῆκε γέροντος.
Κνύζωσεν δέ οἱ ὄσσε, πάρος περικαλλέ' ἐόντε.
Ἀμφὶ δέ μιν ῥάκος ἄλλο κακὸν βάλεν, ἠδὲ χιτῶνα,
Ῥωγαλέα, ῥυπόωντα, κακῷ μεμορυγμένα καπνῷ.
Ἀμφὶ δέ μιν μέγα δέρμα ταχείης ἔσσ' ἐλάφοιο
Ψιλόν· δῶκε δέ οἱ σκῆπτρον καὶ ἀεικέα πήρην,
Πυκνὰ ῥωγαλέην· ἐν δὲ στρόφος ἦεν ἀορτήρ.
Τὼ γ' ὡς βουλεύσαντε διέτμαγον· ἡ μὲν ἔπειτα
Εἰς Λακεδαίμονα δῖαν ἔβη μετὰ παῖδ' Ὀδυσῆος.

430 ΚΑΡ. Ἐξήραναν.

435 ΡΩ. Διεῤῥωγότα. ΜΕ. Μεμολυσμένα, πεφυρμένα.

438 ΠΥΚ. Ἤτοι στιχεῖς ἔχουσα ῥαγάδας, ἢ πολλῶν ῥημάτων πεπληρωμένον, ἢ στιγματισμένον. ΣΤΡΟ. Ἐκ χοινίκων ἱερογλυφικῶν, ἢ ἱμᾶς περιγεγραμμένον. ΑΟΡ. Ἐξ ὧν ἀπῆρτο· ὅ ἐστι, περικείμενον.

ΥΠΟΘΕΣΙΣ